non admodum pristina incolarum dignitate inferior. Sunt enim Franci non campestres, ut fere plerique barbarorum, sed et politia, ut plurimum, utuntur Romana et legibus iisdem; eandem etiam contractuum et nuptiarum rationem et divini numinis cultum tenent. Christiani enim omnes sunt, rectissimeque de Deo sentiunt. Habent et magistratus in urbibus et sacerdotes; festa etiam perinde atque nos celebrant, et pro barbara natione valde mihi videntur civiles et urbani; nihiloque a nobis differre, quam solummodo barbarico vestitu et linguae proprietate. Ego certe eos cum ob alia quibus praediti sunt bona, tum vero ob mutuam inter se iustitiam et concordiam summopere miror. Frequenter enim iam et olim et mea aetate modo inter tres, modo inter plures diviso ipsis imperio, nunquam adversus sese mutuo bellum movisse, neque civili sanguine patriam inquinasse constat. Atqui fit fere, ut ubi magni sunt exercitus aequalis aut dubiae inter se potentiae, ibi etiam animi elatiores inflatioresque evadant, et ambitiosae aemulationes et de primo honoris gradu contentiones aliique innumeri affectus tumultibus

A. C. 552 καὶ στάσεων γονιμώτατα πάθη. ὅμως παρ' ἐκείνοις εἰ καὶ ἐς
I. I. 26 πλείστας ὅσας ἀρχὰς τύχοιεν διῃρημένοι, οὐδὲν ὅ, τι τοιόνδε
ξυμφέρεται. ἀλλ' εἴπερ ἄρα καί τινα ἔριν τοῖς βασιλεῦσιν ἐγ-
γενέσθαι ξυνενεχθείη, παρατάττονται μὲν ἅπαντες ὡς πολε-
C μήσοντες καὶ τοῖς ὅπλοις διακριθησόμενοι, καὶ εἶτα ὁμόσε
χωροῦσιν· ἰδόντες δὲ ἀλλήλους ἑκατέρωθεν ἡ πληθὺς, αὐτίκα
τὸ χαλεπαῖνον ἀποβαλόντες ἐς ὁμοφροσύνην μεταχωροῦσι,
καὶ τοὺς ἡγεμόνας κελεύουσι δίκῃ μᾶλλον τὰ ἀμφίβολα διευ-
κρινήσασθαι· εἰ δὲ μὴ, μόνους ἐκείνους ἀγωνίζεσθαι, καὶ ἐν
σφίσιν αὐτοῖς διακινδυνεύειν, ὡς οὐχ ὅσιον ὂν οὐδὲ πάτριον,
ἰδίας αὐτῶν ἕνεκα δυσμενείας τὰ κοινὰ πημαίνεσθαι καὶ ἀνα-
τετράφθαι· εὐθὺς δὴ οὖν τάς τε φάλαγγας διαλύουσι, καὶ τὰ
ὅπλα τίθενται, καὶ τολοιπὸν εἰρήνη αὖθις καὶ ἡμερότης, φοι-
τήσεις τε παρ' ἀλλήλους ἀφύλακτοι καὶ ἐπιμιξίαι, καὶ φροῦ-
δα οἴχεται τὰ δεινά. οὕτως ἄρα αὐτοῖς τὸ μὲν ὑπήκοον δί-
V. 11 καιον καὶ φιλόπατρι, τὸ δέ γε ἄρχον εὐμενὲς ἐν δέοντι καὶ
D πειθήνιον· ταῦτά τοι καὶ διατελοῦσι δύναμιν βεβαίαν ἔχοντες,
καὶ νόμοις χρώμενοι τοῖς αὐτοῖς· καὶ τῶν μὲν οἰκείων οὐδὲν
ὅ, τι ἀποβεβληκότες, πλεῖστα δὲ ὅσα ἐπικτησάμενοι. δικαιο-
σύνη γὰρ καὶ φιλότης αἷς ἂν ἐντραφείη, εὐδαίμονα τίθησι
πολιτείαν καὶ μόνιμον, καὶ ἥκιστα πολεμίοις ἁλώσιμον.

γʹ. Οὕτω μὲν οὖν οἱ Φράγγοι ἄριστα βιοῦντες, σφῶν τε

2. οὐ τὸ R. pro ὅ, τι. 3. τινα R. et fr., τιν' vulg. 7. ἀποβαλόντες fr. et R., ἀποβάλλοντες vulg. 12. δὴ R. et fr, τε vulg. 20. φιλότης R. fr. mg. Lugd. et Intpr. *charitas*, φιλοτιμία vulg.

et seditionibus gignendis aptissimi suboriantur: apud illos tamen, tametsi in quam plurimos principatus eos esse divisos contingat, nihil tale usu venit; sed si quae forte inter principes oriatur controversia, omnes quidem aciem instruunt tanquam ad bellandum remque armis decernendam; deinde simul conveniunt, conspicatae vero sese utrinque copiae, statim abiecta offensione, ad concordiam redeunt, iubentque ut principes iure potius controversias decernant; sin minus, ut singulari inter se certamine agant, et suorum ipsimet capitum periculum adeant. Neque enim aequitati aut patriae consuetudini consentaneum censent, ut privatae ipsorum simultatis causa res publica labefactetur et subvertatur. Confestim itaque et exercitum solvunt, et arma deponunt, paceque redintegrata tuto rursus inter se commeant, sublatis e medio difficultatibus. Adeo apud illos subditi sunt iustitiae et patriae studiosi; principes vero, ubi opus est, placidi et obsecundantes. Idcirco utique et firmam degunt habentes potentiam, iisdem legibus utentes, sua tuentes, nihilque amittentes, quam plurima vero acquirentes. Iustitia enim et amicitia ubi vigent, beatam firmamque efficiunt rem publicam et nequaquam hostibus expugnabilem.

3. Franci itaque hoc modo optime vitam suam instituentes, et sibi

αὐτῶν καὶ τῶν προσοίκων κρατοῦσι, παῖδες ἐκ πατέρων τὴν A. C. 552 βασιλείαν διαδεχόμενοι. ἀλλὰ γὰρ καὶ ἐς ἐκεῖνο τοῦ καιροῦ, I. I. 26 ὅτε δὴ οἱ Γότθοι ὡς αὐτοὺς ἐπρεσβεύοντο, τρεῖς αὐτοῖς ἡγεμόνες ἐτύγχανον ὄντες. οὐκ ἄπο τρόπου δέ μοι εἶναι δοκεῖ P. 14 βραχύ τι ἄνωθεν ἀρξαμένῳ τοῦ γένους καὶ τῶν ξυνενεχθέντων τῷ πρὸ τοῦ ἐλάχιστα διεξελθόντι, ἔπειτα ἐς ἐκείνους οἳ δὴ ἐν τῷ τότε ἐκράτουν, τὴν ἐκδρομὴν καταπαῦσαι τοῦ λόγου. Χιλδίβερτος μὲν γὰρ καὶ Χλωθάριος, ἔτι δὲ Θευδέριχος καὶ Χλωθομῆρος ἀδελφοὶ ἐγεγένηντο. οὗτοι δὲ ἐπειδὴ αὐτοῖς Χλωθοαῖος ὁ πατὴρ ἐτεθνήκει, διενείμαντο τέτραχα τὴν βασιλείαν, κατά τε πόλεις καὶ ἔθνη ἐς ὅσον οἶμαι τῶν ἴσων ἑκάστῳ μετεῖναι. οὐ πολλῷ δὲ ὕστερον Χλωθομῆρος κατὰ Βουργουζιώνων ἐπιστρατεύσας, (γένος δὲ τοῦτο Γοτθικὸν, αὐτουργόν τε περιφανῶς τὰ πολέμια,) ἐν αὐτῷ δὴ τῷ πολέμῳ ἀκοντίῳ τὰ στέρνα τυπεὶς, ἀνῃρέθη. πεσόντος δὲ αὐτοῦ, ἐπειδὴ τὴν κόμην οἱ Βουργουζίωνες καθειμένην καὶ ἄφετον ἐθεάσαντο καὶ B μέχρι τοῦ μεταφρένου κεχαλασμένην, αὐτίκα ἔγνωσαν τὸν ἡγεμόνα τῶν πολεμίων ἀποκτανόντες. θεμιτὸν γὰρ τοῖς βασιλεῦσι τῶν Φράγγων οὐπώποτε κείρεσθαι, ἀλλ' ἀκειρεκόμαι τέ εἰσιν ἐκ παίδων ἀεὶ, καὶ παρηώρηνται αὐτοῖς ἅπαντες εὖ

1. *πατέρων* R. et fr., *πατρῶν* vulg. 2. *ἐς ἐκεῖνο* Cl., *ἐς ἐκείνου* vulg., *ἐς κείνου* R. 5. *ξυνενεχθέντων* R. fr. et Intpr.: *quae contigissent*, *ξυνεχόντων* vulg. 8. *Χελλίβερτος* Lugd. et ed. pr. *μὲν γὰρ* R., *γὰρ* fr., *μὲν* vulg. *Χλωθάριος* R. et fr., *Λωθάριος* vulg. *Θευδέριχος* R. et fr., *Θεοδέριχος* vulg. 14. *περιφανῶς* R., *περιφανὲς* Lugd. et fr., *καὶ περιφανὲς* edd. *τὰ στέρνα* om. fr. 18. *ἀποκτανόντες* R., *ἀπεκτονότες* vulg.

ipsis et finitimis imperant. Filii patribus in regnum succedunt. Sed eo tempore, quo Gothi legationem ad eos miserunt, tres ipsis erant principes; neque vero abs re facturus mihi videor, si paulo altius repetito genere, brevissimeque enarratis iis qui antea eos rexerunt, in iis, qui eo tempore imperabant, digressionis finem fecero. Chlldibertus quidem et Chlotharius, praeterea vero Theodericus et Chlothomerus germani fratres fuerunt. Hi mortuo patre Chlothoaeo in quatuor partes regnum partiti, secundum urbes et populos, ita ut aequas singuli portiones, ut arbitror, acciperent. Non multo post tempore Chlothomerus adversus Burgusiones exercitum ducens, (natio autem haec Gothica est per se laboriosa et bellica laude clara,) in ipso proelio, pectus iaculo ictus, interiit. Quo humi iacente Burgusiones promissam illius laxamque comam et ad scapulas usque pertingentem conspicati, confestim intellexerunt se ducem hostium interfecisse. Solemne enim est Francorum regibus nunquam tonderi: sed a pueris intonsi manent; caesaries tota decenter eis in humeros propendet, anterior coma e fronte discriminata in utrumque latus deflexa. Neque vero quemadmodum Turcis et Avaris impexa iis et squallida sordidaque est

A. C. 552 L. I. 26 μάλα ἐπὶ τῶν ὤμων οἱ πλόκαμοι· ἐπεὶ καὶ οἱ ἐμπρόσθιοι ἐκ τοῦ μετώπου σχιζόμενοι, ἐφ' ἑκάτερα φέρονται. οὐ μὴν ὥσπερ οἱ τῶν Τούρκων τε καὶ Ἀβάρων ἀπέκτητοι καὶ αὐχμηροὶ καὶ ῥυπῶντες, καὶ ἐνέρσει ἀπρέπως ἀναπεπλεγμένοι, ἀλλὰ ῥύμματα γὰρ ἐπιβάλλουσιν αὐτοῖς ποικίλα, καὶ ἐς τὸ ἀκριβὲς διαξαίνουσι. τοῦτο δὲ ὥσπερ τι γνώρισμα καὶ γέρας ἐξαίρετον C τῷ βασιλείῳ γένει ἀνεῖσθαι νενόμισται· ἐπεὶ τό γε ὑπήκοον περίτροχα κείρονται, καὶ κομᾶν αὐτοῖς περαιτέρω οὐ μάλα ἐφεῖται. τότε δὴ οὖν τοῦ Χλωθομήρου τὴν κεφαλὴν οἱ Βουργουζίωνες ἀποτεμόντες, καὶ τοῖς ἀμφ' αὐτὸν στρατεύμασιν ἀναδείξαντες, ψοφοδεεῖς αὐτίκα πεποίηνται ἅπαντας καὶ δυσέλπιδας, καὶ κατεάγη αὐτοῖς ἀγεννῶς τὰ φρονήματα, κατεπτηχότες τε ἦσαν, καὶ οἷοι οὐκ ἔτι ἐθέλειν ἀναμαχέσασθαι. καὶ δὴ τοῖς μὲν νενικηκόσιν, ᾗπερ ἄριστα αὐτοῖς ἔχειν ἐδόκει, καὶ ἐφ' αἷς ᾤοντο χρῆναι συνθήκαις, ὁ πόλεμος διελέλυτο. τοῦ δὲ Φραγγικοῦ ὁμίλου ὅ, τι ἐσέσωστο, ἄσμενοι ἐς τὰ σφέτερα ἐπανήεσαν. οὕτω δὲ τοῦ Χλωθομήρου διαφθαρέντος, αὐτίκα ἐς τοὺς ἀδελφοὺς (οὐ γὰρ δὴ παῖς αὐτῷ ἐγεγόνει) ἡ ἐκείνου ἀρχὴ ἐμερίζετο. οὐκ ἐς μακρὰν δὲ καὶ Θευδέριχος νόσῳ D ἁλοὺς ἀπεβίω, καταλιπὼν Θευδιβέρτῳ τῷ υἱῷ τά τε ἄλλα ἀγαθὰ καὶ μὲν δὴ καὶ τὸ τῆς ἡγεμονίας ἀξίωμα.

δ'. Παραλαβὼν δὲ τὴν πατρῴαν ἀρχὴν ὁ Θευδίβερτος τούς τε Ἀλαμανοὺς κατεστρέψατο καὶ ἄλλα ἄττα πρόσοικα ἔθνη.

3. Ἀβάρων R. et Intpr., vulg. βαρβάρων. 5. αὐτοῖς R., ἑαυτοῖς vulg. 6. γέρας ἐξαίρετον καὶ γνώρισμα fr. 8. περίτροχα R. et fr., περίτροχον vulg. 12. ἀγεννῶς add. ex R. et Intpr. *ignaviter*. 19. νόσῳ add. ex R. et Intpr. *morbo correptus.*, vulg. lac. 23. Ἀλαμνοὺς R.

coma, vel complicatione indecenter cirrata, sed smigmata varia ipsi sibi adhibent, diligenterque curant; idque velut insigne quoddam eximiaque honoris praerogativa regio generi apud eos tribuitur. Subditi enim orbiculatim tondentur, neque eis prolixiorem comam alere facile permittitur. Burgusiones itaque praeciso Chlothomeri capite, cum illud copiis quae circum eum erant ostentassent, magnam statim trepidationem desperationemque iniecerunt, adeoque eis animi metu ceciderunt, ut in posterum bellum detrectarent: et victores quidem ex animi sui sententia, et quibus oportere videbatur conditionibus et pactis, bello sese exsolverunt. E Francico exercitu qui supererant, libentes in sua se receperunt. Caeso itaque Chlothomero, statim fratres ipsius, (neque enim ullos adhuc liberos susceperat,) regnum illius inter se sunt partiti; neque multo post Theodericus morbo correptus interiit, Theodiberto filio praeter alia bona etiam principatus dignitate relicta.

4. Theodibertus accepto paterno regno et Alemannos et alias nonnullas finitimas gentes subegit. Erat enim summopere et audax

τολμητίας τε γὰρ ἦν ἐς τὰ μάλιστα καὶ ταραχώδης, καὶ πέρα A. C. 552
τοῦ ἀναγκαίου τὸ φιλοκίνδυνον κεκτημένος. ἡνίκα γοῦν τοῖς I. I. 26
Ῥωμαίοις ὁ πρὸς Τώτιλαν τὸν ἡγεμόνα τῶν Γότθων ὠδίνετο
πόλεμος, τούτῳ δὴ τότε τῷ Θευδιβέρτῳ ἐβεβούλευτό οἱ καὶ διε-
σπούδαστο, ἕως ἐν Ἰταλίᾳ Ναρσῆς τε καὶ τὰ στρατεύματα
ἐμόχθει καὶ ἐνησχόλητο, αὐτὸς πλήθη ἀγείρας ἄλκιμά τε καὶ P. 15
μαχιμώτατα, ἐς τὰ ἐπὶ Θρᾴκης ἀφικέσθαι χωρία, ἅπαντά τε
τὰ τῇδε καταστρεψάμενος, ἀμφὶ τὸ Βυζάντιον τὴν πόλιν τὴν
βασιλίδα τὸν πόλεμον μεταστῆσαι. οὕτω δὲ ἐνεργὸν τὸ βού-
λευμα ἐποιεῖτο καὶ τὴν παρασκευὴν ἐμβριθεστάτην, ὡς καὶ
πρεσβεύεσθαι πρός τε Γήπαιδας καὶ Λογγιβάρδους καὶ ἄλλα
ἄττα πρόσοικα ἔθνη, ἐφ' ᾧ καὶ οἵδε ξυλλάβοιντο τοῦ πολέμου.
οὐ γὰρ ᾤετο ἀνεκτὰ εἶναι, ὅτι δὴ βασιλεὺς Ἰουστινιανὸς ἐν τοῖς
προγράμμασι τοῖς βασιλείοις, Φραγγικός τε καὶ Ἀλαμανικὸς,
ἔτι δὲ Γηπαιδικός τε καὶ Λογγιβαρδικὸς, καὶ ἑτέροις τοιοῖσδε
ὀνόμασιν ἀνεκηρύττετο, ὡς δὴ τούτων αὐτῷ τῶν ἐθνῶν ἁπάν-
των δεδουλωμένων. αὐτός τε δὴ οὖν χαλεπῶς ἔφερε τὴν ὕβριν, V. 12
καὶ τοὺς ἄλλους ξυγχαλεπαίνειν ἠξίου, ἅτε δὴ καὶ ξυνυβρι- B
σμένους. οἶμαι μὲν οὖν εἰ καὶ τήνδε τὴν ἐκστρατείαν ἐποιήσατο,
ἀπώνατο ἂν οὐκ ἐν καλῷ τῆς προπετείας, ἀλλὰ τυχὸν μὲν

4. τῷ Θευδιβέρτῳ R., τοῦ Θευδιβέρτου vulg. 7. μαχιμώτατα R., ἰσχυρότατα vulg. 8. καταστρεψάμενος Cl., καταστρεψόμενος vulg., καταστρεψάμενοι R. 9. ἐνεργὸν R. Lugd., ἐνεργὲς edd. 11. Γήπαιδας R., Γίπεδας vulg. Λογγιβάρδους R., Λαγγοβ. vulg. 13. ἀνεκτὰ R. et Suidas s. v., ἀνεκτὸν vulg. 14. προσγράμμασι R. 15. Γηπαιδ. et Λογγιβ. ut 11. 16. αὐτῷ R., Intpr. *se subactas habere*, αὐτῶν vulg. 20. οὐκ ἐν καλῷ R. Suidas s. v. ἀπώνοτο: ἀπώνατο οὖν τῆς προπετείας ἐν καλῷ., in Lugd. spatium, οὐδὲν 2. m. et edd.

et turbulentus et periculorum praeter modum amans. Cum itaque Romanis bellum adversus Totilam Gothorum ducem esset ortum, Theodibertus hoc animo agitabat, summaque diligentia procurabat, ut interea dum in Italia Narses pariter et exercitus laborarent occupatique essent, ipse fortissimis validissimisque copiis coactis in Thraciae regionem penetraret, eaque tota vastata et subiugata, Byzantium regiam urbem bellum transferret. Hoc vero consilium suum adeo gnaviter re ipsa tantoque apparatu est persequutus, ut etiam ad Gepidas et Longobardos aliasque nonnullas finitimas gentes legationem instituerit, ut et hi in societatem belli venirent. Neque enim tolerandum esse censebat, quod imperator Iustinianus in edictis imperatoriis Francici et Alemannici, nec non Gepidici et Longobardici, aliosque huiuscemodi titulos sibi vindicaret, perinde ac si omnes hasce gentes subiugasset. Quocirca et ipse graviter hanc iniuriam ferebat, et alios ut communi secum iniuria contumeliaque affectos ad indignationis societatem sollicitabat. Ego vero ita statuo, si hanc ille expeditionem suscepisset, audaciam ei suam nulli bono futuram

A. C. 552 ἐν Θρᾴκῃ, τυχὸν δὲ ἐν Ἰλλυρίοις τάγμασι περιπεσὼν Ῥωμαϊκοῖς I. L. 26. ἀκλεῶς ἂν διεφθάρῃ. τό γε μὴν ἐς ἔννοιαν ταῦτα βαλέσθαι, καὶ εἶτα θελῆσαί τε καὶ ἐφίεσθαι, καὶ τό γ' ἐκείνου μέρος ἅπαντα ἤδη πεπρᾶχθαι, κράτιστον ἂν εἴη τὸν ἄνδρα τεκμηριῶσαι, ὡς δεινός τε ἦν καὶ αὐθάδης καὶ οἷος τὸ μανιῶδες καὶ ἔμπληκτον ἀνδρείαν ἡγεῖσθαι. εἰ γὰρ μὴ ἔφθασεν ἡ τοῦ βίου τελευτὴ τὸ ἐγχείρημα, ἴσως ἂν καὶ ἐνήρξατο τῆς πορείας· νῦν δὲ ἐπὶ θήραν ἰὼν ταῦρος αὐτῷ ὑπαντιάζει, μέγας τε καὶ ὑψί- C κερως, οὐ των τιθασσῶν δήπου τούτων καὶ ἀροτήρων, ἀλλ' ὑλονόμος καὶ ὄρειος, καὶ τοῖς κέρασι τὸ ἀντίπαλον διαφθείρων· βουβάλους οἶμαι τόδε τὸ γένος καλοῦσι. πλεῖστοι δὲ ἀνὰ τὴν ἐκείνῃ ἤπειρον νέμονται· ἀμφηρεφεῖς τε γὰρ αἱ νάπαι, καὶ τὰ ὄρη λάσια, καὶ δυσχείμερα τὰ χωρία, ἅπασι δὲ τούτοις το ζῶον ἥδεσθαι πέφυκε. τοῦτον δὴ οὖν ὁ Θευδίβερτος ἔκ τινος νάπης ἰδὼν ἀναθορόντα καὶ ἐπερχόμενον, εἱστήκει εὖ διαβὰς, ὡς τῷ δόρατι ὑπαντιάσων· ὁ δὲ, ἐπειδὴ ἀγχοῦ ἐγεγόνει, τῇ ῥοπῇ τοῦ δρόμου φερόμενος ἐς δένδρον τι τῶν οὐ λίαν μεγάλων

1. ἐν Θρᾴκῃ add. ex R. et Intpr., vulg. lacunae signum. 2. ἂν addidi ex R. βαλέσθαι R., λαβέσθαι vulg. 3. γ' ἐκείνου R., γε ἐκείνου vulg. 4. τεκμηριῶσαι R., τεκμηριᾶσαι vulg. 6. ἀνδρείαν Lugd. et Suidas s. v. ἔμπληκτος, ἀνδρίαν R. et edd. 7. τὸ ἐγχείρημα R., καὶ τὸ ἐγχείρημα vulg. 9. τῶν τιθασσῶν δήπου τούτων καὶ ἀροτήρων em. Vulcanii, quam confirmant R. et Intpr., vulg. τῷ τιθασῷ δήπου τούτῳ καὶ ἀροτήρῳ. τιθασσῶν pro τιθασῶν R. 10. Post ὄρειος add. Intpr.: *ferusque et cornupeta et magna corporis mole.* 12. ἐκείνῃ N., ἐκείνην vulg. et R. 13. ἅπας καὶ τοῦτο R. 15. ἀναθορόντα R., ἀνθορόντα vulg.

fuisse; sed sive in Thraciam, sive in Illyrios venisset, in praesidiarias iis in locis Romanorum legiones incidisset, turpiterque periisset. Sed hoc ipsum quod eiuscemodi consilium animo concepisset, et vellet et optaret, omnemque quod ad se attinet ad hoc lapidem movisset, evidentissimo argumento esse potest, qualis ille vir, quamque ferox et arrogans fuerit, quippe qui furorem temeritatemque fortitudinem esse existimabat. Nisi enim vitae finis conatus ipsius antevertisset, expeditionem hanc aggressus fuisset. Nunc vero quum venatum ivisset, taurus ei ingens et excelsis cornibus praeditus occurrit, non domito cuidam et aratori tauro similis, sed silvester et montanus, et quidquid obvium habet, disperdens. Bubalos, uti arbitror, hoc genus illi appellant; plurimos vero fert illa regio. Densissimae enim in ea silvae, horridi montes, et tractus frigidissimi, quibus omnibus gaudere solet hoc animal. Quem quidem taurum conspicatus Theodibertus e saltu quodam prosilientem atque in se irruentem, constitit tamquam hasta occursurus. Taurus vero iam propior factus, impetu cursus delatus in arborem quandam non ita magnam, fronte et cornibus eam ferit, et subversa tota arbore et in solum depressa, maximus quidam ex iis, qui inde confracti erant

τῷ μετώπῳ κορύττεται, καὶ τὸ μὲν διεσείσθη τε ἅπαν καὶ ἐπὶ A.C. 552 θάτερα κατεκλίθη, ξυμβέβηκε δὲ ἀθρόον ὅρπηκα μέγιστον τῶν I. I. 26 ἐνθένδε κεχαλασμένων βιαιότερον προσραχθέντα τὴν κεφαλὴν D τοῦ Θευδιβέρτου πατάξαι· ὁ δὲ, καιρία γὰρ ἦν ἡ πληγὴ καὶ ἀνύποιστος, αὐτίκα ὕπτιος ἐπεπτώκει, καὶ μόλις φοράδην ἐς τὰ οἰκεῖα ἠγμένος, αὐθημερὸν ἀπεβίω. διαδέχεται δὲ τὴν ἀρχὴν Θευδίβαλδος ὁ παῖς, ὃς δὴ, εἰ καὶ νέος ἦν κομιδῇ, καὶ ἔτι ὑπὸ παιδοκόμῳ τιθηνούμενος, ἀλλ' ἐκάλει γε αὐτὸν εἰς τὴν ἡγεμονίαν ὁ πάτριος νόμος.

έ. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, ἐν ᾧ Τεΐας μὲν ἐτεθνήκει, τοῖς δὲ τῶν Γότθων πράγμασιν ὀθνείας τολοιπὸν ἔδει P16 ἐπικουρίας, τότε δὲ βασιλεῖς παρὰ Φράγγοις Θευδίβαλδός γε ἦν τὸ μειράκιον, καὶ μὲν δὴ Χιλδίβερτός τε καὶ Χλωθάριος οἱ τοῦ παιδὸς μέγιστοι θεῖοι, ὡς ἂν οἱ Ῥωμαίων εἴποιεν νόμοι. ἀλλ' ἐπὶ τούτους μὲν, πορρωτάτω γὰρ ἐτύγχανον ἀπῳκισμένοι, οὐ χρῆναι ᾤοντο οἱ Γότθοι ἰέναι, πρὸς δὲ Θευδίβαλδον ἀναφανδὸν ἐπρεσβεύοντο. οὐ μὴν ἅπαν γε τὸ ἔθνος, μόνοι δὲ οἱ ἐκτὸς Πάδου ποταμοῦ ἱδρυμένοι· οἱ γὰρ δὴ ἄλλοι ἥδοντο μὲν καὶ οἱ τῷ νεωτερισμῷ καὶ τῇ τῶν καθε-

1. κορύττεται N., κορύπτεται vulg. 3. προστραχθέντα edd. 4. κατάξαι Par. 8. ἐκάλει γε R. Lugd., ἐκάλει τε edd. 10. Hic locus usque ad p. 17. D. extr. exscriptus est in cod. Bav. Excerpt. de Legat. 11. Post ἔδει R. καὶ inserit. 12. τότε δὲ R. et Cod. Bav., δὲ abest vulg. βασιλεῖς R. Lugd. Intpr., βασιλεὺς edd. Θευδίβαλογος (sic) omisso γε Bav. 13. Pro ἦν R. ὢν. καὶ μὴν δὴ καὶ οἱ τούτου θεῖοι Χιλδ. καὶ Χλωθ. ἐπὶ τούτ., om. intermediis, Bav. Χλωθάριος R., Κλωθ. vulg. 14. εἴποιεν R., εἴπειεν vulg. 17. ἅπαν γε R. Lugd. Bav., ἅπαν τε edd. 18. ἐκτὸς Πάδου Bav. Intpr. *iuxta Padum*, ἐκ τοῦ Πάδου vulg. et R. ἱδρυμένοι R. Bav. et Intpr. *habitarunt*, ὡρμημένοι vulg. 19. τῇ addidi ex R. Bav., (qui paullo ante καὶ οἱ omittit,) et Suida s. v. καθεστώτων.

ramus violentissimo ictu ita eius caput sauciavit, ut lethali intolerabilique plaga accepta confestim supinus prociderit, aegreque a suis domum reportatus eodem die e vita decesserit. Theodibaldus itaque eius filius in regno succedit; qui quidem tametsi iuvenis admodum atque adhuc sub magistri cura institutioneque esset, patria tamen lex eum ad regnum vocabat.

5. Eo itaque tempore, quo Teias excessit e vivis et Gothicae res peregrinis auxiliis egerent, Francorum reges erant Theodibaldus iste adolescentulus et Childibertus et Chlotharius eius maximi patrui, prout leges Romanorum loquerentur. Verum ad hos utpote remotissime inde degentes Gothi nequaquam eundum censuerunt: ad Theodibaldum vero aperte legationem instituerunt; non tamen universa natio, sed soli qui iuxta Padum fluvium degebant: alii vero gaudebant quidem et rerum innovatione et status immutatione, perculsi

A.C. 552 l. I. 26 στώτων κινήσει, ἐτεθήπεσαν δὲ ὅμως ἀμφιγνοοῦντες τὰ ἐσόμενα, καὶ τὸ ἀστάθμητον δεδιότες τῆς τύχης, μετεώρους τε καὶ ἀμφιβόλους εἶχον τὰς γνώμας, καραδοκοῦντες μὲν καὶ B διαπυνθανόμενοι τὰ ποιούμενα, βουλευόμενοι δὲ τῶν κρατούντων γενέσθαι. οἱ δὲ τῶν ἑτέρων πρέσβεις ἀφικόμενοι, ἐς ὄψιν τε τῷ ἡγεμόνι καταστάντες καὶ ἅπασι τοῖς ἐν τέλει, ἐδέοντο μὴ σφᾶς περιϊδεῖν ὑπὸ Ῥωμαίων πιεζομένους, συλλαβέσθαι δὲ μᾶλλον τοῦ ἀγῶνος, καὶ ἀνακαλέσασθαι γένος πρόσοικόν τε καὶ φίλιον καὶ ἄρδην οἰχήσεσθαι κινδυνεῦον. ἐδίδασκον δὲ ὡς καὶ αὐτοῖς ἐς τὰ μάλιστα συνοίσει, μὴ ἐφιέναι Ῥωμαίοις ἐπὶ μέγα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ σθένει τὴν αὔξην κολούειν· „εἰ γὰρ ἅπαν τὸ Γοτθικὸν γένος ἐκποδὼν ποιήσονται, οὐκ ἐς μακρὰν" ἔφασαν οἱ πρέσβεις „καὶ καθ' ὑμῶν αὐτῶν ἥξουσι, καὶ ἀνανεώσονται τοὺς προτέρους πολέμους. ἐπιλείψει γὰρ αὐτοὺς οὐδ' ὁπωστιοῦν εὐπρόσωπος αἰτία ἐς προκάλυμμα C τῆς πλεονεξίας, ἀλλὰ σὺν δίκῃ γε ὑμᾶς δόξουσι μετιέναι, Μαρίους τινὰς καὶ Καμίλλους, καὶ τῶν Καισάρων τοὺς πλείστους ἀπαριθμούμενοι, ὡς δὴ πάλαι ποτὲ τοῖς ἄνω Γερμανοῖς πολεμήσαντας, καὶ τὰ ὑπὲρ Ῥῆνον ἅπαντα κατασχόντας· ταύτῃ τε οὐ βιάζεσθαι δόξουσιν, ἀλλ' ὁσίως ἐπιστρατεύειν, ὡς οὐ-

6. τε omittit Bav. 8. πρόσοικόν τε καὶ φίλιον καὶ R. et Bav., πρόσοικον καὶ φιλικὰ vulg. 10. αὐτοῖς — συνοίσει R. et Bav. et sic emendaverat Toup. ad Suid. I. p. 58., αὐτοὺς — συνοίσειν vulg. 11. μεγάλα Bav. κωλύειν Suid. s. v. αὔξῃ, quod placet Toupio. 13. ἔφθασαν Bav. 14. ἐπιλήψει Bav. 15. εὐτρόπως Bav. ἐς προκάλυμμα R. et Bav., εὐπροκάλυμμα vulg. 16. γε om. Bav. 20. οὐ βιάζεσθαι R. mg. Lugd. Bav., εὖ βιάζ. vulg.

tamen erant, de eventu dubitantes et fortunae instabilitatem pertimescentes, et suspensis dubiisque animis observabant sciscitabanturque quid ageretur, statuentes iis, qui potiores superioresque essent, sese adiungere. Aliorum vero oratores cum in regis conspectum venissent et omnium primorum regni, orabant, ne sese a Romanis oppressos despicerent; sed sociale cum ipsis bellum susciperent, et genti finitimae atque amicae suppetias ferrent, quae alioqui in discrimine erat ne funditus everteretur. Ostendebant praeterea hoc etiam ex illorum re maxime futurum, si non paterentur Romanos ad tantam potentiam evehi, sed potius omnibus viribus eorum incremento officerent. Si enim universam gentem Gothicam deleverint, statim etiam in vos, dicebant oratores, exercitum ducent et pristina bella instaurabunt. Neque enim illis est defutura speciosa aliqua causa, quam avaritiae suae praetexant: quin potius iustum sese vobis inferre bellum putabunt, Marios quosdam et Camillos et Caesarum plerosque recensentes, qui olim bella adversus priscos Germanos gesserunt, et trans Rhenum universa occuparunt: quocirca non vim illaturi videbuntur, sed iustum bellum movere, tanquam nihil alienum quaesituri, sed maiorum suorum possessiones recupe-

δέν τι ὀθνεῖον μαστεύσαντες, ἀλλὰ κτήματα τῶν σφετέρων προ- A. C. 552
γόνων ἀνακομιούμενοι. τοιοῦτο γὰρ δή τι καὶ ἡμῖν ἐπαγαγόντες I. I. 26
ἐπίκλημα, ὡς δὴ Θευδερίχου πάλαι τοῦ ἡμετέρου ἡγεμόνος καὶ
οἰκιστοῦ οὐ προσηκόντως τῆς Ἰταλίας ἐπιλαβομένου, ἀφῄρην- V. 13
ται μὲν ἡμᾶς τὰ οἰκεῖα, τὸ δὲ πλεῖστον ἀπεκτόνασι τοῦ γένους, D
γύναια δὲ καὶ παῖδας τῶν παρ' ἡμῖν εὐδαιμόνων ἀνδρῶν ἀφει-
δῶς ἠνδραποδίσαντο. καίτοι Θευδέριχος οὐ βίᾳ ἑλὼν, ἀλλὰ
Ζήνωνος πρότερον τοῦ σφῶν βασιλέως ἐπιτρέψαντος τὴν Ἰτα-
λίαν προσηγάγετο, οὐδὲν Ῥωμαίους ἀφελόμενος, (ἤδη γὰρ
αὐτῆς ἀπεστέρηντο,) ἀλλ' Ὀδόακρον καθελὼν τὸν ἐπηλύτην,
τὸν τύραννον, τἀκείνου ἅπαντα κατέσχε τῷ τοῦ πολέμου θε-
σμῷ. οἱ δὲ, ἐπειδὴ βιάζεσθαι αὐτοῖς μᾶλλον ἐξῆν, οὐδὲν ἐν-
δίκως πεπράχασιν, ἀλλὰ Θευδάτῳ πρότερον Ἀμαλασούνθης
δῆθεν ἕκατι χαλεπήναντες, καὶ ταύτην ἀρχήν τε καὶ πρό-
φασιν τῷ πολέμῳ θέμενοι, εἶτα μέχρι νῦν οὐ μεθίασιν, ἀλλὰ P. 17
φέρουσι βιαίως ἅπαντα· οὗτοι δὴ οἱ σοφοί τε καὶ δεισιδαί-
μονες, καὶ μόνοι σὺν δικαιοσύνῃ πολιτεύεσθαι βρενθυόμενοι.
ἵνα δὴ οὖν μὴ ταὐτὰ παθοῦσιν ὑμῖν μεταμελήσῃ τῆς ῥαθυ-
μίας ὕστερον οὐκ ἐν δέοντι, προτερητέον ἐν τῷδε τοὺς πολε-

1. μαστεύσαντες R. et Bav., μαστεύσοντες vulg. 2. γὰρ post τοιοῦτο add. R. et Bav. 3. ἐπίβλημα R. Post Θευδερίχου Intpr. add.: *qui Gothis post undevigesimum regem tum imperabat.* 5. ἀπεκτείνασι Bav. 6. γυναῖκα Bav. 7. Pro ἑλὼν Bav. λαβών. 8. τὴν Ἰταλίαν προσηγάγετο R., προσηγ. τ. Ἰ. vulg. 9. Ῥωμαίους R. Lugd. Bav., Ῥωμαίοις edd. 11. τὰ κατ' ἐκεῖνον Bav. 12. οἱ δὲ R. Bav., ὁ δὲ vulg. βιάζεσθαι αὐτοῖς R., αὐτοῖς βιάζεσθαι vulg. 17. μόνοι R. (Cl.), Intpr. *soli*, μόνοις vulg. 18. ταὐτὰ N., ταῦτα vulg. ὑμῖν Lugd. Bav. (Cl.), ἡμῖν edd. et R. 19. προτηρητέον Bav.

raturi. Tale porro etiam nobis crimen obiicient, quod scilicet quum Theodericus noster olim princeps et coloniae deducendae auctor non decenter Italiam occupasset, nostris quidem rebus nos spoliarunt; maiorem gentis nostrae partem trucidarunt, uxores et liberos opulentiorum apud nos hominum atrociter sub hastam miserunt. Atqui Theodericus non vi captam, sed Zenonis antea ipsorum regis permissu, sibi adiunxerat Italiam, nihil Romanis eripiens (iam enim ea privati erant,) quin potius caeso Odoacro advena tyranno, quae illius erant omnia occupavit belli iure. At posteaquam ipsis maior vim inferendi potestas fuit, mox nihil iuste agere coeperunt, sed Theodato antea Amalasunthae causa infensi, idque initium occasionemque belli statuentes, deinceps in hunc usque diem violenter omnia agere ac rapere non desistunt. Hi nimirum sunt sapientes et religiosi, quique soli se iuste rem publicam administrare gloriantur. Ne igitur vos huiuscemodi malis affectos vecordiae vestrae sero poeniteat, antevertendi vobis sunt hostes, neque negligenda est occasio, quae modo sese

A. C. 552 μίους, καὶ οὐ διαμαρτητέον τοῦ παρόντος καιροῦ, ἀλλὰ στρά-
I. I. 26 τευμά τε στέλλειν ἐπ' αὐτοὺς ἀξιόμαχον, καὶ στρατηγὸν ἐξ
ὑμῶν αὐτῶν ἀγαθὸν τὰ πολέμια, ὃς δὴ τὸν πρὸς Ῥωμαίους
πόλεμον ἄριστα διανύσας, ἀπελάσει τε αὐτοὺς ἐνθένδε ὡς τά-
χιστα, καὶ τὴν χώραν ἡμῖν ἀνασώσει. οὕτω γὰρ ποιοῦντες τῷ
τε Γοτθικῷ γένει ἐς τὰ μάλιστα χαριεῖσθε, σωτῆρες ἀναφανέν-
τες καὶ ἀλεξίκακοι, τά τε ὑμέτερα αὐτῶν ἐν τῷ ἀσφαλεῖ θήσε-
B σθε, εἴγε μηδὲν ὑμῖν ἔτι πολέμιον ἐκ γειτόνων παρείη· πρὸς
δέ γε καὶ χρήματα ὑμῖν ἔσονται μυρία, οὐ μόνον τὰ Ῥωμαίων
ληϊσαμένοις, ἀλλὰ γὰρ δὴ καὶ αὐτοὶ ἕτερα καταθήσομεν."

ϛ'. Ταῦτα ἐπειδὴ ἔφασαν οἱ πρέσβεις, Θευδίβαλδος μὲν
(ἦν γὰρ μειράκιον ἀγεννὲς καὶ ἀπόλεμον, ἤδη τε νοσώδης κο-
μιδῇ ἐγεγόνει, καὶ τὸ σῶμά οἱ πονήρως διέκειτο,) τούτων δὴ οὖν
ἕκατι οὐ μάλα ὅ γε τῶν πρέσβεων ἦν, οὐδὲ ᾤετο χρῆναι ὀθνείων
ἕνεκα συμφορῶν οἰκείους καρπώσασθαι πόνους. Λεύθαρις δὲ
καὶ Βουτιλῖνος, εἰ καὶ τὸν βασιλέα σφῶν ἥκιστα ἤρεσκεν, ἀλλ'
C αὐτοὶ ἀνεδέχοντο τὴν ξυμμαχίαν. τούτω δὲ τὼ ἄνδρε ἤστην
μὲν ἀδελφώ, καὶ τὸ γένος Ἀλαμανώ, δύναμιν δὲ παρὰ Φράγ-
γοις μεγίστην εἰχέτην, ὡς καὶ τοῦ σφετέρου ἔθνους ἡγεῖσθαι,
Θευδιβέρτου πρότερον παρασχόντος. οἱ δὲ Ἀλαμανοί, εἴγε χρὴ

5. ἡμῶν Bav. 6. χαριεῖσθε et v. s. θήσεσθε R. Bav. Lugd. var. (Cl.) Intpr., χαριεῖσθαι et θήσεσθαι vulg. 8. ἡμῖν R., sed in mg. ὑμῖν. ἔτι abest in R. πρὸς δή γε Bav. 10. ληϊσαμένοις R. Bav. Lugd. 2. m., ληϊσμένοις vulg. αὐτοῖς Bav. 11. ἐπειδὴ R., ἐπεὶ vulg. 13. οἱ add. R. et Bav. τούτων R. et Bav., τούτῳ vulg. 15. Pro πόνους Bav. πολέμους. 18. Ἀλαμανὼ R. Lugd. 2. m. Intpr., Ἀλανὼ vulg. 20. Θευδιβέρης τοῦ Lugd. πρότερον R. Lugd., τοῦ προτέρου edd.

offert; quin potius iustus in eos exercitus est mittendus, et ex vobis ipsis dux aliquis rei bellicae peritus ei praeficiendus, qui bello adversus Romanos optime confecto, hinc eos quam citissime exigat, nostrasque nobis terras recuperet. Hoc enim facientes, et Gothicae nationi summopere gratificabimini, servatores malorumque profligatores declarati, vestrasque simul res in tuto collocaveritis, si nihil vobis amplius hostile ex vicinis reliquum fiat. Ad haec immensa vobis fiet pecuniae accessio, non solum ex praeda, quam de Romanis facietis, sed et aliis quas nos persolvemus.

6. Haec cum dixissent legati, Theodibaldo quidem (erat enim parum generosus et belli imperitus, atque adeo morbidus etiam corporeque invalido) eorum petitio non admodum probabatur, neque putabat oportere ob alienas calamitates privatis difficultatibus laboribusque involvi. Leutharis vero et Butilinus, tametsi id regi ipsorum minime placebat, belli cum eis societatem inierunt. Erant hi duo germani fratres, genere quidem Alemanni, maximam vero apud Francos potentiam consecuti, adeo ut nationi ipsorum praeessent,

Ἀσιννίῳ Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ Ἰταλιώτῃ καὶ τὰ Γερ- A. C. 552 μανικὰ ἐς τὸ ἀκριβὲς ἀναγεγραμμένῳ, ξύγκλυδές εἰσιν ἄνθρω- I. I. 26 ποι καὶ μιγάδες, καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. τούτους δὲ πρότερον Θευδέριχος ὁ τῶν Γότθων βασιλεὺς, ἡνίκα καὶ τῆς ξυμπάσης Ἰταλίας ἐκράτει, ἐς φόρου ἀπαγωγὴν παραστησάμενος, κατήκοον εἶχε τὸ φῦλον. ὡς δὲ ὁ μὲν ἀπεβίω, ὁ δὲ μέγιστος Ἰουστινιανῷ τε τῷ Ῥωμαίων αὐτοκράτορι καὶ D τοῖς Γότθοις πόλεμος ξυνεῤῥάγη, τότε δὴ οἱ Γότθοι ὑποθωπεύοντες τοὺς Φράγγους, καὶ ὅπως ἂν αὐτοῖς φίλοι τε ἐς τὰ μάλιστα καὶ εὖνοι γένοιντο μηχανώμενοι, ἑτέρων τε πολλῶν ἐξίστανται χωρίων, καὶ μὲν δὴ καὶ τὸ Ἀλαμανικὸν γένος ἀφίεσαν. ἀγείρειν τε γὰρ ἐν τῷ τότε πανταχόθεν τὰς σφετέρας ᾤοντο χρῆναι δυνάμεις, καὶ τῆς ὑπηκόου ὁπόσα περιττὰ καὶ οὐ λίαν ἐπίκαιρα μεθιέναι, ὡς οὐκέτι ἀρχῆς τε πέρι καὶ δόξης ἀγωνιούμενοι, ἀλλ' ἤδη τὸν ὑπὲρ αὐτῆς τῆς Ἰταλίας, καὶ τοῦ μὴ πάμπαν ἀπολωλέναι ἀναῤῥίψοντες κίνδυνον. καὶ τοίνυν τὸ P. 18 τοῦ μέλλοντος σφαλερὸν τῷ αὐθαιρέτῳ δῆθεν τῆς γνώμης προκαταλαβόντες, ἑκουσίαν πεποίηνται τὴν ἀνάγκην. οὕτω δὴ οὖν καὶ τὸ τῶν Ἀλαμανῶν ἔθνος ὑπὸ Γότθων ἀφειμένον Θευδίβερτος αὐτὸς ἐχειρώσατο· ἐκείνου τε διαφθαρέντος, ἧπέρ μοι ἤδη ἐῤῥήθη, ἐπὶ τὸν παῖδα Θευδίβαλδον τῇ λοιπῇ ἅμα ὑπηκόῳ καὶ οἵδε ἐχώρουν.

1. Κουαδράτῳ R. et Intpr., Καδράτῳ vulg. 2. ἀναγεγραμμένῳ R., ἀναγραψαμένῳ vulg. ξύγκλυδες R., ξύγκλιδες Lugd., ξυνήλιδες mg. Lugd. et edd. 5. ἐπαγωγὴν R. 7. τῷ R., τῶν vulg. 13. χρῆναι om. R. 21. ἐῤῥέθη R.

a Theodiberto primum accensi. Alemanni autem, si Asinio Quadrato homini Italo, quique res Germanicas accurate conscripsit, credimus, convenae sunt et colluvies; quod et appellatio ipsa satis indicat. Hos antea Theodericus Gothorum rex, cum etiam universa Italia potiretur, tributarios fecerat totamque hanc gentem subegerat. Simulatque vero is e vivis excessit, atrocissimumque bellum inter Iustinianum Romanorum Imperatorem et Gothos exarsisset: tum Gothi Francis adulantes, eorumque amicitiam et benevolentiam quibuscumque poterant modis sibi conciliantes, et aliis multis locis eiecti sunt, et Alemannicam gentem dimiserunt. Cogendas enim sibi tum temporis undequaque vires suas putabant, subditosque quotquot supervacanei neque admodum opportuni viderentur missos faciendos, quippe qui non amplius de principatu et gloria essent concertaturi, sed iam pro Italia ipsa, neve funditus delerentur, periculum adituri. Quocirca cum futurum periculum ipsi animis suis praecepissent et praevidissent, voluntatem suam ad necessitatem aggregarunt. Hoc itaque modo etiam Alemannorum nationem a Gothis dimissam in suam potestatem redegit: quo mortuo, ut supra dictum est, Theodibaldo filio una cum reliquis subditis etiam hi cesserunt.

A. C. 552 ζ. Νόμιμα δὲ αὐτοῖς εἰσι μέν που καὶ πάτρια, τὸ δέ γε ἐν
I. I. 26 κοινῷ ἐπικρατοῦν τε καὶ ἄρχον τῇ Φραγγικῇ ἕπονται πολιτείᾳ,
μόνα δέ γε τὰ ἐς θεὸν αὐτοῖς οὐ ταὐτὰ ξυνδοκεῖ. δένδρα τε γάρ
τινα ἱλάσκονται, καὶ ῥεῖθρα ποταμῶν καὶ λόφους καὶ φάραγγας,
καὶ τούτοις, ὥσπερ ὅσια δρῶντες, ἵππους τε καὶ βόας καὶ
V. 14 ἄλλα ἄττα μυρία καρατομοῦντες ἐπιθειάζουσιν. ἀλλὰ γάρ
B ἡ τῶν Φράγγων αὐτοὺς ἐπιμιξία, εὖ ποιοῦσα, καὶ ἐς τόδε
μετακοσμεῖ, καὶ ἤδη ἐφέλκεται τοὺς ἐμφρονεστέρους, οὐ πολ-
λοῦ δὲ οἶμαι χρόνου καὶ ἅπασιν ἐκνικήσει. τὸ γὰρ τῆς δόξης
παράλογόν τε καὶ ἔκπληκτον, καὶ αὐτοῖς οἶμαι τοῖς χρωμένοις,
εἰ μὴ πάμπαν εἶεν ἠλίθιοι, γνώριμόν τέ ἐστι καὶ εὐφώρατον,
καὶ οἷον ἀποσβῆναι ῥᾳδίως. ἐλεεῖσθαι μὲν οὖν μᾶλλον ἢ χα-
λεπαίνεσθαι δίκαιοι ἂν εἶεν, καὶ πλείστης μεταλαγχάνειν συγ-
γνώμης ἅπαντες ὅσοι δὴ τοῦ ἀληθοῦς ἁμαρτάνουσιν. οὐ γὰρ
δήπου ἑκόντες εἶναι ἀλῶνται καὶ ὀλισθαίνουσιν, ἀλλὰ τοῦ
ἀγαθοῦ ἐφιέμενοι, ἔπειτα σφαλέντες τῇ κρίσει τολοιπὸν ἔχον-
C ται τῶν δοκηθέντων ἀπρὶξ, ὁποῖα ἄττα καὶ τύχοιεν ὄντα. τήν
γε μὴν τῶν θυσιῶν ὠμότητα καὶ κακοδαιμονίαν, οὐκ οἶδα εἰ
οἷόν τε λόγῳ ἀκέσασθαι, εἴτε ἄλσεσιν ἐπιτελοῖντο ὥσπερ ἀμέ-
λει παρὰ βαρβάροις, εἴτε τοῖς πάλαι νενομισμένοις θεοῖς, ὁποῖα
αἱ τῶν Ἑλλήνων ἐθέλουσιν ἁγιστεῖαι. ἐγὼ μὲν γὰρ ἡγοῦμαι

2. ἐπικρατοῦν τε καὶ ἄρχον — ἕπονται. Sic R. et Lugd., Intpr. quoque *sectantur*, ἐπικρατοῦνται καὶ ἄρχονται — ἕποντες edd. ex mg. Lugd. 3. μόνα R. (Cl.), μόνῳ vulg. 5. καὶ βόας add. R. et Intpr. 7. τόδε R. et Lugd., τὸ δέον edd. ex mg. Lugd. 9. οἶμαι χρόνου R., χρόνου οἶμαι vulg. 10. τε καὶ R. Lugd., γε καὶ edd. 12. μᾶλλον add. R. (Cl.), Intpr. *potius*. 15. εἶναι add. Lugd., edd. et R. om. 18. οἶμαι R. pro οἶδα.

7. Sunt vero etiam his patria quaedam instituta: in rei publicae vero administratione Francorum politiam sequuntur: tantum in iis, quae ad Deum pertinent, sententia variant. Arbores enim quasdam colunt, et fluminum lapsus et colles et saltus: atque his, tanquam iusta facientes, equos bovesque aliaque quamplurima resectis capitibus immolant. Porro consuetudo, quam cum Francis habent, ipsis conducit, in melius transferens et quodammodo pertrahens cordatiores: et brevi, uti spero, tempore hoc ipsum apud omnes evincet. Opinionis enim absurditas et vesania etiam ab ipsis arbitror, qui ea imbuti sunt, nisi plane stolidi sint, cognoscitur, facileque iis eximi possit. Et sane commiseratione et venia potius, quam odio digni sunt quotquot a vero aberrant. Neque enim volentes errant et labuntur, sed boni ac recti studiosi; iudicio autem decepti conceptas semel opiniones mordicus tenent, cuiuscumque generis fuerint. Porro sacrificiorum immanitas et sinister cultus, non satis scio an verbis curari possint, sive saltibus et lucis praestetur, ut apud barbaros; sive iis, qui olim habiti sunt dii, quales Graecorum religio tenuit. Equidem ita statuo

μηδέν τι εἶναι τὸ ἡδόμενον βωμοῖς αἵματι μιαινομένοις, καὶ A. C. 552
ζώων ὀλέθρῳ βιαιοτάτῳ· εἰ δέ γε ἄρα καὶ ὁτιοῦν τὰ τοιάδε I. I. 26
προσίεσθαι πέφυκεν, ἀγαθὸν μὲν οὐκ ἂν εἴη οὐδὲ ἥμερον, ἄγρι-
ον δέ τι ἴσως καὶ μανιῶδες, ὁποῖον τὸν Δεῖμον ἀναπλάττουσι
μάτην οἱ ποιηταὶ καὶ τὸν Φόβον, Ἐνυώ τέ τινα, καὶ Ἄτην,
καὶ Ἔριν, ὡς ἂν αὐτοὶ φαῖεν, τὴν ἀμαιμάκετον· προστίθει
δὲ τούτοις, εἰ βούλει, καὶ τὸν παρὰ Πέρσαις καλούμενον Ἀρει-
μάνην, καὶ τῶν ἄλλων χθονίων φασμάτων ὁπόσα κακοῦργα D
καὶ μιαιφόνα. ταῦτα μὲν οὖν εἰ καὶ ἴσως ἄν τῳ δοκοῖεν οὐ μάλα
τῇ ἐπαγγελίᾳ προσήκειν, εἶναι δὲ περιττὰ καὶ ἀλλότρια τῶν
ἐφ' ἃ ἰέναι ἡμῖν διεσπούδασται, ἀλλ' ἔμοιγε καὶ λίαν ἀρέσκει
ἅπαντα ἐς μέσον ἄγειν τὰ ἐγνωσμένα, καὶ τὰ μὲν χρηστὰ τῶν
πραγμάτων ἐν ἐπαίνῳ ποιεῖσθαι, τῶν δὲ οὐχὶ τοιῶνδε κατη-
γορεῖν ἀναφανδὸν, καὶ τὸ ἀσύμφορον διελέγχειν. εἰ γὰρ μὴ
τοῦτο ἔχοιεν αἱ ἱστορίαι, ὡς ταύτῃ γε καὶ μᾶλλον χρήσιμοί
τε εἶναι καὶ βιωφελέστατοι, μόνη δὲ ἀφήγησις εἶεν τῶν γεγενη-
μένων ἁπλῆ τε καὶ ἀνεξέταστος, κινδυνεύσαιεν ἴσως ἂν παρ' P. 19
ἐνίοις, εἰ μὴ λίαν δεινὸν εἰπεῖν, οὐ πολλῷ εἶναι ἀμείνους τῶν
ἐν γυναικωνίτιδι παρὰ τὴν ταλασίαν ᾀδομένων μυθολογημά-
των. τούτων μὲν οὖν πέρι ὥςπη ἑκάστῳ φίλον τῇδε οἰέσθω,
ἐμοὶ δὲ ᾗπερ ὁ πρότερος ἐφέρετο λόγος, ταύτῃ ἰτέα. Λεύθα-

8. *κακοῦργα* R., *καὶ κακοῦργα* vulg. 9. *εἰ* om. R. Post *τῳ* iterat *καὶ* vulg. *δοκοῖεν* R., *δοκεῖεν* vulg. 14. *εἰ γὰρ μὲν* R. 15. *ταύτῃ τε* R., Intpr. add.: *hoc modo divariatae* (*πεποικιλμέναι*). 17. *κινδυνεύσαιεν* Cl., *κινδυνεύσειεν* vulg. et R. 18. *ἐνίαις* R. 19. *ἐν τῇ γυν.* vulg. 20. *ὥσπερ* R. *τῇδε* R., *ὧδε* vulg. 21. *ἐφέρετο λόγος* R., *λόγος ἐφέρετο* vulg.

nihil iucundi accidere aris sanguine pollutis, et animalibus violentissima nece affectis. Quidquid vero omnino huiusmodi res appetere consuevit, bonum quidem non fuerit, neque benignum, sed immane potius atque insaniae affine, quale Pavorem vane fingunt poëtae et Timorem et Enyo quandam et Aten et Erida, ut ipsi dixerint *ἀμαιμάκετον*. Adde vero his, si placet, etiam illum quem Persae nominant Arimanem, et e terrenis spectris quaecumque malefica sunt et sanguinaria. Atqui haec tametsi cuipiam videri possint promissioni meae nequaquam convenire, sed potius supervacanea atque ab instituto meo aliena: iuvat tamen me et quidem magnopere, omnia, quae cognita mihi sunt, in medium proferre, et recta collaudare, prava aperte damnare, inutilia coarguere. Nisi enim hoc haberent historiae, ut hac etiam ex parte et quidem praecipue utiles humanaeque vitae conducibiles essent; sed sola rerum gestarum narratione eaque simplici minimeque accurata constarent: in periculum venirent apud nonnullos, ne (nisi hoc asperum dictu sit) non multo meliores censerentur fabulis, quae in coetibus muliebribus in lanificio decantantur. De his itaque quisque ut velit sentiat; mihi vero

A. C. 552 ρις γὰρ καὶ Βουτιλῖνος ἐπειδὴ τὴν ἀρχὴν κατὰ Ῥωμαίων ἐπι-
L. I. 26 στρατεύειν ὡρμηθήτην, ἐπηρμένω γε ἤστην ἄμφω ταῖς ἐλπίσι καὶ οἴω οὐκ ἔτι ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν. Ναρσῆν μὲν γὰρ τὸν στρατηγὸν οὐδὲ τὴν προσβολὴν ὑποστήσεσθαι ᾤοντο, ἅπασαν δὲ τὴν Ἰταλίαν οἰκεῖον αὐτοῖς ἔσεσθαι κτῆμα, καὶ πρός γε Σικελίαν καθέξειν. θαυμάζειν δὲ ἔφασαν τῶν Γότθων,
B εἰ μάλα οὕτω πεφρίκασιν ἀνδράριόν τι θαλαμηπόλον σκιατραφές τε καὶ ἁβροδίαιτον, καὶ πόῤῥω τοῦ ἀῤῥενωποῦ τεταγμένον. οἱ μὲν δὴ βρενθυόμενοι τῇ τοιαύτῃ δόξῃ, καὶ ἀγέρωχον ποιούμενοι τὴν παράταξιν, ἔκ τε Ἀλαμανῶν καὶ Φράγγων στράτευμα ἐς πέντε καὶ ἑβδομήκοντα χιλιάδας ἀλκίμων ἀνδρῶν ἀγείραντες, παρεσκευάζοντο τὰ πολέμια, ὡς αὐτίκα μάλα ἐς τὴν Ἰταλίαν καὶ δὴ ἐμβαλοῦντες.

ή. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς, εἰ καὶ τάδε ἐς τὸ ἀκριβὲς οὔπω ἐπέπυστο, ἀλλὰ προμηθείᾳ γε πλείστῃ χρώμενος καὶ φθάνειν ἀεὶ τὰς τῶν πολεμίων ἐθέλων ὁρμὰς, αὐτίκα τὰ ἐς Τουσκίαν πολίσματα, ὑπὸ τῶν Γότθων ἔτι κατεχόμε-
C να, ἔγνωκε βιαιότατα παραστήσασθαι. οὔτε γὰρ τῇ νίκῃ πέρα τοῦ μετρίου φρυαττόμενος ἐς ἀπειροκαλίαν ἐπῆρτο, οὔτε, ὅπερ ἕτερος ἂν ἐπεπόνθει, ἐς ῥαστώνην τε καὶ ἡδυπάθειαν μετὰ τοὺς

1. στρατεύειν R. 2. Suid. s. v. καθεστῶτι pro γε habet δὲ. 5. ἔσεσθαι κτῆμα R., κτ. ἔσ. vulg. 6. τοὺς Γότθους Suid. s. v. ἀνδράριον. 9. τοιαύτῃ R. et Intpr. *dum ita sentirent*, σφετέρᾳ vulg. 11. πέντε. Intpr. *duo.* 13. Post καὶ δὴ edd. add. Σικελίαν, quod om. R. Lugd. Intpr. 14. Pro εἰ καὶ R. εἰς. 15. γε add. R. 17. τῶν add. R. 18. ἔγνωκε R., ἔγνω vulg. βιαιότατα R. Intpr. *summa vi*, βιαιότερον vulg. παραστήσασθαι R., παραστήσεσθαι vulg. 20. τε add. R.

ad ea quae coeperam progrediendum. Leutharis itaque et Butilinus ubi primum exercitus contra Romanos ducere coeperunt, magna ambo spe erecti erant, tanquam non amplius eo in statu mansuri: Narsem enim ne primum quidem impetum sustinere posse credebant; omnem vero Italiam, una cum Sicilia, in ipsorum potestatem venturam. Mirari vero se Gothos dicebant, si tantopere homuncionem thalamo et umbratili delitiosaeque vitae assuetum, nihilque masculum et virile prae se ferentem, reformidarent. Hi itaque sua gloria elati ac fastuosi, validis copiis coactis, exercituque ex Alemannis et Francis ad duo et septuaginta strenuorum virorum millia collecto, sese ad bellum instruebant, veluti iamiam Italiam invasuri.

8. Narses vero Romanorum dux tametsi eorum consilia non plane habebat explorata, maxima tamen utens prudentia, hostiumque conatus semper antevertere cupiens, statim oppida quaedam in Tuscia quae adhuc in Gothorum potestate erant, summa vi subigere statuit. Neque enim vir ille victoria praeter modum insolescens indecenter efferebatur; neque, quod aliis accidere solet, post labores otio vo-

πόνους ἐξέκλινεν, ἀλλ' εὐθὺς, ὅπως εἶχεν ὁρμῆς, κινήσας τὸν A. C. 552
στρατὸν ἐπὶ τὴν Κύμην ἐχώρει· πόλισμα δὲ Ἰταλικὸν ἡ Κύμη I. 1. 26
ἐχυρώτατον, καὶ οἷον οὐ ῥᾷστα πολεμίοις ἁλῶναι. ἵδρυται μὲν
γὰρ ἐπὶ λόφῳ τινὶ δυσπροσόδῳ τε καὶ ἀνάντει· ἔστι δὲ καὶ ἐν
περιωπῇ τοῦ πελάγους τοῦ Τυρσηνικοῦ. ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος
ἀνέχει, ὡς καὶ ἀμφ' αὐτὸν δήπου τὸν πρόποδα ῥοχθεῖν τε καὶ
περικλᾶσθαι τὸ ῥόθιον, ἄνω δὲ ἔρυμα περιβέβληται, πύργοις V. 15
τε καὶ ἐπάλξεσι καρτερώτατα ἐξειργασμένον. Τωτίλᾳ τε οὖν D
καὶ Τεΐᾳ τοῖς βασιλεῦσι πρότερον τῶν Γότθων γεγενημένοις,
ὁπόσα ἐπίτιμά τε ἦν καὶ ἀξιάγαστα τῶν κτημάτων, ἐν τῷ-
δε τῷ φρουρίῳ, ὡς βέβαιον ὄν, ἐφυλάττετο. ἐνταῦθα δὲ οὖν ὁ
Ναρσῆς ἀφικόμενος, περὶ πλείστου ἐποιεῖτο ἑλεῖν τε ὡς τάχιστα
τὸ χωρίον καὶ τῶν χρημάτων κρατῆσαι, ὡς μήτε οἱ Γότθοι
ὁρμητήριον ἀσφαλὲς ἔχοιεν, αὐτῷ τε τὰ τῆς νίκης τελεώτατα ἐς
ὅ,τι μάλιστα ἐξειργασθείη. Ἀλίγερνος γὰρ ὁ Τεΐα νεώτατος ἀδελ-
φὸς τοῦ ἡγεμόνος τῶν Γότθων γεγενημένου, ἔνδον γε ἦν τοῦ
περιβόλου, καὶ στράτευμα, ὁπόσον οἷόν τε ἦν, ἀμφ' αὐτὸν ἀγεί-
ρας, οὐδέν τι εἰρηναῖον ἐβουλεύετο· καὶ ὅτι μὲν Τεΐας ἐν τῷ
πολέμῳ ἀνῄρητο, καὶ τὰ τῶν Γότθων πράγματα ἐκεκμήκει τε
καὶ διελέλυτο, ἤδη που ἐς τὸ ἀκριβὲς ἠκηκόει, ὁ δὲ οὐδ' ὣς P. 20
ἀνίει, οὐδὲ τὴν ξυνενεχθεῖσαν ἐδείμαινε τύχην, ἀλλὰ τῷ τε

4. λησω R., sed margo λόφῳ. καὶ post δὲ add. R. 6. καὶ ἀμφ' R. et Intpr. *ad inferiorem partem*, vulg. καὶ. 8. Τωτίλᾳ et Τεΐᾳ Cl., Τώτιλα et Τεΐας Par., Τώτιλα et Τεΐα R. Lugd. et ed. pr. 14. αὐτῷ R., αὐτοῦ vulg. 15. ἐξεργασθείη R. 16. γεγενημένος R. et Intpr. γὰρ R. pro γε. 19. τε om. R. 20. οὐδ' ὣς R., οὐδαμῶς vulg.

luptatique se tradebat; sed confestim moto exercitu ad Cumas processit. Est vero id oppidum Italicum munitissimum, neque facile expugnatu. Situm enim est in arduo quodam et difficilem aditum habente colle, et veluti specula maris Tyrrheni. Imminet enim littori collis, ita ut ad eius pedem fluctus maris illisi frangantur; editiore loco vallo cinctum est, turribusque et propugnaculis validissimae structurae. In hoc itaque munitissimo tutissimoque oppido Totilas et Teias priores Gothorum reges quicquid ipsis erat preciosarum atque admirandarum rerum repositum habebant. Quo simulac Narses venisset, summa vi contendit, ut quam citissime et oppido et pecuniis potiretur, ne Gothis tuta belli sedes, unde Italiam excursionibus infestarent, relinqueretur, eoque oppido expugnato plena absolutaque victoria efficeretur. Aligernus enim minimus natu frater Teiae, qui Gothorum dux fuerat, intra oppidum erat et collecto non exiguo exercitu nihil pacificum animo agitabat, tum quod Teias in bello caesus esset, tum quod Gothorum res labefactatas dissipatasque plane intellexisset. Nequaquam itaque animum despondebat, neque adversae fortunae ictus pertimescebat, sed et loci situs et re-

A. C. 552 χώρῳ πίσυνος καὶ τῇ τῶν ἀναγκαίων εὐπορίᾳ, θρασύς τε ἦν
I. I. 26 ἔτι καὶ ὑψαύχην καὶ οἷος ἀμύνεσθαι, ἤν τις ἐπίοι.

θ'. Εὐθὺς δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος προσῆγε τὸν στρατόν. οἱ δὲ σὺν πολλῷ πόνῳ ἐς τὸ γεώλοφον ἀναβάντες, καὶ τῷ φρουρίῳ πελάσαντες, αὐτίκα τοῖς δορατίοις ἠκόντιζον τῶν ἐν ταῖς ἐπάλξεσι φαινομένων, καὶ τὰ τόξα ἐπήχουν θαμὰ τῶν βελῶν ἀναπεμπομένων, σφενδόναι τε ἐφέροντο μετάρσιοι, καὶ μηχανήματα ὁπόσα πρὸς τειχομαχίαν ἀνεῖται, ἅπαντα ἐκινεῖ-
B το. οἱ δὲ ἀμφὶ τὸν Ἀλίγερνον ἀνὰ τὰ μεταπύργια τοῦ τείχους ξυνειλεγμένοι, οὐ σχολαίτερον ἀντακοντίζοντές τε καὶ ἀντιτοξεύοντες διεμάχοντο, λίθους τε ἐκ χειρῶν μεγάλους ἐπαφιέντες, καὶ φιτροὺς καὶ πελέκεις, καὶ ὅπερ ἂν οὐ πόῤῥω τῆς χρείας ἐδόκει, μηχαναῖς τε ἐχρῶντο καὶ ἀμυντηρίοις, καὶ οὐδὲν ὅ, τι παρεῖτο. τά γε μὴν Ἀλιγέρνου τοξεύματα καὶ μάλα τοῖς Ῥωμαίοις ἀρίδηλα ἦν. ῥοίζῳ τε γὰρ πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ τὰ ἐκείνου ἐφέρετο βέλη· ὡς εἴπερ καὶ ἐς λίθον τινὰ ἐμπέσοιεν, ἢ ἕτερόν τι σκληρὸν καὶ ἀτέραμνον, διαῤῥήγνυσθαι ἅπαν τῇ βίᾳ τῆς ῥύμης. Παλλάδιον γοῦν ἐκεῖνον (ἦν δὲ οὐ τῶν
C ἐῤῥαθυμημένων παρὰ τῷ Ναρσῇ ὁ Παλλάδιος, ἀλλὰ στρατεύματός τε ἡγεῖτο Ῥωμαϊκοῦ, καὶ ἐν τοῖς μεγίστοις ταξιάρχοις

1. τε R., γε vulg. 15. οὐ σταθμητῇ R. Lugd. in mg. et Suid. s. v. Ἀλιγέρνης, οὐκ ἀριθμητῇ edd. 17. ἐμπέσοιεν R. et Suid., ἐμπέσειεν vulg. 18. τῶν ἐῤῥαθυμημένων R. et Intpr., τῷ ἐῤῥαθυμημένῳ vulg. 19. Post Ναρσῇ R. om. ὁ Παλλάδιος. 20. ταξιάρχοις R., ταξιάρχαις vulg.

rum necessariarum affluentia eius confidentiam arrogantiamque ita augebat, ut facile hostiles insultus se repulsurum speraret.

9. Statim itaque Narses suos adhortatus, exercitum oppido admovit. Illi vero cum in editiorem collem maximo labore conscendissent, et propugnaculo appropinquassent, iacula in eos qui ad pinnas murorum consistebánt torquebant, et arcus assidua sagittarum remissione clangebant, fundae in altum excutiebantur, et machinae quotquot oppugnationi murorum inserviunt, omnes admovebantur. Aligerni vero milites e muris ad intermedia turrium spatia collecti, nihilo segnius iacula telaque retorquentes propugnabant, saxa ingentia manibus in subeuntes mittebant, et truncos et secures et quidquid opportunum usui videbatur; machinis itidem utebantur instrumentisque propulsandae hostili violentiae idoneis, nihilque omnino omittebatur. Tela vero quae Aligerni ipsius manibus emittebantur, Romani prae aliorum telis facile cognoscebant. Magno enim stridore et velocitate immani illius sagittae deferebantur, adeo ut in saxum aliquod aut aliud quiddam durum fractuque difficile delatae, totum illud impetus violentia perfringerent. Palladium itaque illum (erat autem is non vulgari apud Narsetem loco, sed et Romani exercitus ductor erat, et e praecipuis cohortium praefectis,) illum, inquam, conspi-

ἐτέλει,) ἰδὼν γοῦν Ἀλίγερνος αὐτὸν, σιδήρῳ τε τεθωρακισμένον, A. C. 552 καὶ φρονήματι ξὺν πολλῷ τῷ τείχει ἐπιφερόμενον, ἀφίησι βέ- I. I. 26 λος αὐτῷ ἐκ τοῦ μετεώρου, καὶ αὐτίκα διεπερόνησεν τὸν ἄνδρα διαμπὰξ αὐτῷ θώρακι καὶ ἀσπίδι· οὕτω δή τι δυνάμει τε τῶν πολλῶν περιῆν, καὶ καρτεραὶ αὐτῷ ἐρύσαι τόξον αἱ χεῖρες· πολλαῖς μὲν οὖν καὶ ἐφεξῆς ἡμέραις οἱ τοιοίδε ἀκροβολισμοὶ ἐγίγνοντο, καὶ οὐδὲν οὐδὲ ὁποτέροις προὐχώρει τῶν ἐλπισθέντων· τοῖς τε γὰρ Ῥωμαίοις αἰσχρὸν ἐδόκει ἡ ἀναχώρησις πρὶν παραστήσασθαι τὸ χωρίον, καὶ οἱ Γότθοι ἔνδηλοι D ἦσαν ὡς οὐδέν τι μᾶλλον ἐνδωσείοντες τῇ πολιορκίᾳ.

ι΄. Ναρσῆς δὴ οὖν ὁ στρατηγὸς ἤσχαλλέ τε ἄγαν καὶ ἐχαλέπαινεν, εἰ χρόνος τοῖς Ῥωμαίοις πολὺς ἐν ἐλαχίστῳ πολιχνίῳ τετρίψεται. ἀλύοντι δέ οἱ καὶ ἕκαστα γνωματεύοντι, ἔδοξεν χρῆναι ἀποπειρᾶσθαι τοῦ φρουρίου ἀμηγέπη τρόπῳ τοιῷδε. ἐν τῷ πρὸς ἥλιον ἀνίσχοντα τοῦ λόφου τετραμμένῳ ἀγκῶνι ἄντρον τι ὕπεστιν ἀμφηρεφές τε καὶ γλαφυρώτατον, ὡς ἄδυτά τε ἔχειν αὐτόματα καὶ κύτος εὐρὺ καὶ βαραθρῶδες· ἐνταῦθα δὴ πάλαι φασὶ τὴν Σίβυλλαν τὴν πάνυ, τὴν Ἰταλὴν, ἐνδιαιτωμένην, φοιβόληπτόν τε εἶναι καὶ ἔνθουν, καὶ προαγορεύειν τὰ ἐσόμενα τοῖς πυνθα- P. 21 νομένοις. λέγεται δέ ποτε καὶ Αἰνείαν τὸν Ἀγχίσου αὐτοῦ ἀφι-

1. γοῦν R. vulg. οὖν. Ἀλίγ. αὐτὸν R., αὐτὸν Ἀλίγ. vulg. τε add. R. 2. τάχει R., Intpr. *nimia celeritate.* Num legebat φρ. πολλῷ, πολλῷ τε τάχει? 4. Pro τι Suid. τῇ. 5. τῶν om. R. 10. ὡς add. R. 11. δὴ οὖν R., γοῦν vulg. 13. τετρίψεται R., τετρίψηται vulg. χρῆναι add. R. et Suid. s. v. ἀλύειν. 14. τοῦ φρουρίου ἀμηγέπη R., ἀμηγέπη τοῦ φρουρίου vulg. 15. τετραμμένῳ R., τετραμμένων vulg. Pro ἄντρον τι R. ἄντιτρον. 16. ἀντώματα R. 18. φοιβολήπτοντες Par. 19. Pro τὰ ἐσόμενα lacuna est in R. 20. ποτε καὶ Αἰνείαν R., καὶ Αἰνείαν ποτὲ vulg.

catus Aligernus ferrea lorica indutum, magnaque confidentia muro imminentem, sagittam in eum ex edito torquet, qua statim totum hominem per scutum et loricam traiecit: tantopere viribus alios superabat, validaeque ei erant ad torquendum arcum manus. Multis itaque deinceps diebus eiuscemodi velitationes sunt habitae, neutrisque ex animi sententia res procedebant. Nam et Romanis turpe videbatur si infecta re neque redacto in potestatem oppido recederent, et Gothi aperte satis videbantur obsidione ad deditionem non venturi.

10. Narses itaque indigne molestissimeque ferebat, si Romanis longius tempus in perquam exigui oppidi expugnatione esset terendum. Fluctuanti itaque ipsi singulaque perpendenti visum tandem est propugnaculi expugnationem hoc pacto tentare. Ad orientalem collis flexum antrum quoddam suberat omni ex parte tectum valdeque cavum, adeo ut adyta quaedam nativa haberet et sinum ingentem ac profundum instar barathri. In hac aiunt habitasse olim Italicam Sibyllam numine afflatam, divinam, et sciscitantibus futura

A. C. 552 χόμενον ἅπαντά οἱ τὴν Σίβυλλαν φάναι τὰ ὕστερον ξυνενε-
I. I. 26 χθέντα. ὑπὲρ ταύτην δὴ οὖν τὴν σπήλυγγα μέρος τι τοῦ περιβόλου ἐρήρειστο καὶ ἐφειστήκει. Ναρσῆς δὲ τοῦτο ἐπιφρασάμενος πρὸς αὑτοῦ εἶναι ᾠήθη, καὶ οὖν αὐτίκα ἄνδρας ὡς πλείστους ὑπὸ τὰ κοῖλα ἐμβαλὼν τοῦ σπηλαίου, ὄργανα φέροντας λιθοτόμα καὶ τειχωρύχα, ἐξεκόλαπτεν ἠρέμα καὶ διέτεμεν τοῦ ἄντρου τὸν ὄροφον, ἔνθα τὸ ἔρυμα ἥδραστο, καὶ ἐς τοσοῦτον ἐξέκοπτεν καὶ διεκάθαιρεν τὴν βάσιν τῆς οἰκοδομίας, ἐς ὅσον
V. 16 ἤδη τὴν ἀρχὴν τοῦ θεμελίου ἀπογυμνοῦσθαι. τότε δὲ ξύλα ὄρθια ἐν κόσμῳ ὑπεστήριζε, ταύτῃ τε ἀνεῖχεν ἅπαν τὸ ἄχθος
B τοῦ τείχους, ὡς μὴ ὑποῤῥέοι κατὰ βραχὺ καὶ διαλύοιτο ἡ ἁρμονία, συναίσθησίς τε τοῦ δρωμένου ταχεῖα γίγνοιτο τοῖς Γότθοις. ἢ γὰρ ἂν κατ' ἀρχὰς εὐθὺς ἐπιβοηθοῦντες, καὶ τὸ πεπονθὸς ἀκεσάμενοι, διεφύλαττον τολοιπὸν βεβαιότατα· ἵνα δὲ μὴ πάμπαν τὰ ποιούμενα ἐπιγνοῖεν, μηδὲ τοῦ πατάγου τῆς λατομίας ἐπαΐοιεν, τότε δὴ ἐς ὅτι μάλιστα ἐπεφέροντο ἄνωθεν τῷ τείχει ὁ τῶν Ῥωμαίων στρατὸς, ἀλαλάζοντες καὶ ἐπικροτοῦντες· θόρυβός τε ἦν πέρα τοῦ ἀναγκαίου πολὺς καὶ ταραχώδης ἡ πολιορκία. ἐπεὶ δὲ ἅπαν ἤδη τὸ τεῖχος ὁπόσον τῷ ἄντρῳ παρετέτατο, ἐκκρεμές τε ἦν καὶ μετέωρον, καὶ μόνοις ἐπεβεβήκει τοῖς ξύλοις, ἃ δὴ ὀρθοστάδην ἐτύγχανον ἐρηρει-

2. σπήλυγγα R., σπήλυγγον vulg. 6. διέτεμεν R., διέτεμνε vulg. 14. διεφύλαττον τολοιπὸν R., διεφυλάττοντο λοιπὸν vulg. 15. μηδὲ R. Lugd., Intpr. *neve*, μὴ δὴ vulg. 16. ἐπεφέροντο R., ἐπιφέρονται vulg. 19. τὸ τεῖχος add. R. et Intpr. 21. ἐπιβεβήκει R.

praedicere. Aiunt vero etiam Aeneam Anchisae filium cum eo venisset, Sibyllam ei omnia quae deinceps acciderunt dixisse. Super hanc itaque speluncam pars quaedam moenium incumbebat atque innitebatur. Quod cum animadvertisset Narses, pro se facere censuit, immissisque statim in illas antri concavitates viris quamplurimis adferentibus secum instrumenta exscindendis saxis et suffodiendis muris idonea, excavavit paulatim atque excidit antri convexum, qua parte propugnaculum ei innitebatur; eoque tandem exscindendo et abradendo basim aedificii processit, ut iam initium fundamenti nudaretur. Tum erecta in ordinem tigna substituit, quae totum muri pondus sustentarent, ne paulatim resoluta compages corrueret, et Gothi quid ageretur statim cognoscerent. Nam alioqui statim initio occurrentes, reparataque iactura firmissime deinceps sua custodissent. Ne itaque omnino quae agebantur eis innotescerent, neve fragor caesorum saxorum exaudiretur, tum utique Romanus exercitus summa vi in editiorem murum impetum faciebat, magnis clamoribus et armorum complosionibus excitatis. Tumultus itaque erat ultra quam par erat magnus et turbulenta obsidio. Cum vero iam murus qua erat in antri longitudinem porrectus totus suffossus et e sublimi pendulus esset, et tantum tignis firmiter in altum erectis sus-

σμένα, τότε δὴ φυλλάδα νήσαντες, καὶ ὅ, τι τῆς ὕλης ταχυ- A. C. 552 δαές τε καὶ αὖον, καὶ εἶτα ὑποθέντες πῦρ τε ἐναύσαντες, ἐκ- L. I. 26 τὸς ἀπεχώρουν. οὐκ ἐς μακρὰν δὲ τῆς φλογὸς ἀρθείσης, τὰ C μὲν στηρίγματα εὐθὺς ἀνθρακούμενα κατεθραύετο, καὶ πρὸς τὴν ἀντίθεσιν ἐνεδίδου· τοῦ δὲ ἐρύματος ὁπόσον ἐπ' αὐτοῖς ᾐωρεῖτο, ὑφίζανεν ἀθρόον καὶ κατωλίσθαινεν τῇ κενότητι, πύργοι τε οἱ ἐνθένδε καὶ προμαχεῶνες ἐξαπιναίως ἀποῤῥαγέντες τῶν ἄλλων, ἐς τὸ πρανὲς ἐξεκυλίσθησαν· ἥ τε πύλη ἡ τῷδε τῷ μέρει προσαραρυῖα, ξυνεκέκλειστο μὲν εὖ μάλα βεβαιότατα, ὡς δὴ πολεμίων παρόντων, καὶ τὰ κλεῖθρα ὑπὸ τῶν φυλάκων D κατείχετο, ἡ δὲ αὐτοῖς μοχλοῖς τε καὶ βαλανάγραις ἐκτιναχθεῖσα, ἐς τὴν ἠϊόνα καὶ τὰς σπιλάδας ἐρήριπτο, ἅμα τε ἅπαντα τὰ ξυμπεπηγότα ἔτι ἐκλύζετο, σταθμοὶ καὶ γεῖσον καὶ ὑπερθύριον καὶ οἱ θαιροὶ τῷ οὔδῳ ἐνηρμοσμένοι· τούτων δὲ γεγενημένων, τοῖς Ῥωμαίοις ῥᾳδίως τολοιπὸν εἰσιτητέα εἶναι ἐδόκει ἀνὰ τὸ πόλισμα, καὶ περιοπτέα τῶν πολεμίων, ἡμάρτανον δὲ καὶ ὡς τῆς ἐλπίδος. σήραγγές τε γάρ τινες καὶ ἀποῤῥῶγες τοῦ τε λόφου καὶ τῶν ἔνδοθεν περιαυλισμάτων ἐπὶ μέγα ἐκτεινόμεναι, κρημνῶδες ἀτεχνῶς καὶ δυσέμβολον οὐχ ἧσσον P 22 ἀπεδείκνυσαν τὸ χωρίον. καὶ Ναρσῆς μὲν θαρσαλεώτερον τῷ

obsessos, muro intrepide appropinquavit, statimque machinae oppidis capiendis accommodatae admovebantur, et in pinnas interioremque ambitum murorum ignita tela emittebantur; quique in turrium intervallis comparebant, saxis et sagittis petebantur: quadam etiam ex parte moenia iam erant diruta, atque adeo omne mali genus urbem premebat. Tum itaque qui antea obsides fuerant, obnixius pro Romanis apud suos agebant; neque per ipsos stetit, quo minus universa civitas ad deditionem inclinaret: nunc vero Francorum moderatores qui intus erant ad praesidium custodiamque urbis constituti, infestis animis eos ad pugnandum concitabant, utque armis obsidionem propulsarent. Statim itaque apertis portis repentinam in Romanos eruptionem fecerunt, existimantes se hac ratione fore superiores. Sed re ipsa visi sunt hi quam minimum hostibus profuisse, immo potius maximo damno eos affecisse. Plerique enim Lucenses persuasi iam ab iis, qui intus eos ad deditionem sollicitabant, de industria minus strenue pugnabant. Postquam vero re frequenter tentata irriti essent conatus, et multis suorum desideratis turpiter parumque generose pedem retro ferre cogerentur, denuoque intra muros repulsi, acrius obsessi clausique tenerentur, perinde ac si iam ipsis omnis excundi

A.C. 552 μας, καὶ τὸ παρὸν εὖ διαθεῖναι ἠβούλοντο. καὶ οὖν αὐτίκα τὰ I. I. 26 πιστὰ κομισάμενοι πρὸς Ναρσοῦ, ὡς οὐδὲν αὐτοῖς τῶν προγεγενημένων ἕνεκα ὀργιεῖται, τήν τε πόλιν παρέδοσαν, καὶ εἰσεδέχοντο ἄσμενοι τὸν στρατὸν, τριῶν ἤδη μηνῶν ἐν τῇ πολιορκίᾳ τριβέντων, καὶ ἦσαν αὖθις βασιλέως τοῦ Ῥωμαίων κατήκοοι.

ιθ'. Ναρσῆς δὲ, ἐπεὶ ἐξεπολιόρκητό οἱ ἡ Λοῦκα, καὶ οὐ- D δὲν ἔτι ἀντίπαλον ἦν, ἀποδιατρίψαι μὲν ἐν αὐτῇ οὔ τι μάλα ᾤετο χρῆναι, οὐδ' ὅσον ἀναπνεῦσαι τῶν πόνων· καταλιπὼν δὲ αὐτοῦ Βόνον τὸν στρατηγὸν τὸν ἐκ Μυσίας τῆς πρὸς τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἄνδρα συνέσεώς τε ἐς ἄκρον ἥκοντα, καὶ λίαν ἀγαθὸν τά τε πολιτικὰ καὶ πολέμια, δύναμίν τε αὐτῷ παραδοὺς ἀξιόχρεων, καὶ ὅσῃ ῥᾳδίως ἤμελλεν, εἴ καί τι νεωτερίσοιεν οἱ τῇδε βάρβαροι, περιέσεσθαι καὶ καθέξειν· ταῦτα δὴ οὖν οὕτω καταστησάμενος, ἠπείγετο ἰθὺ τῆς Ῥαβέννης ἰέναι, ἐφ' ᾧ τὰ ἐνταῦθα στρατεύματα ἐς τὸ διαχειμάζειν μεθήσει· ἐπειδὴ γὰρ τὸ μετόπωρον ἤδη ἐτελεύτα, καὶ ἀμφὶ τὰς χειμερίους τροπὰς ταῦτα ἐπράσσετο, πολεμητέα μὲν οὔ οἱ ἐς P. 31 ἐκεῖνο τοῦ καιροῦ εἶναι ἐδόκει. ἢ γὰρ ἂν τοῦτο ὑπὲρ τῶν Φράγγων ἔμελλεν ἔσεσθαι, οἷς γε πολέμιον μὲν τὸ πνῖγος, καὶ πλείστην ἐντίθησι δυσθυμίαν, καὶ οὐκ ἄν ποτε θέρους ἑκόντες

3. παρέδοσαν R. et Intpr. *tradita civit.*, προέδοσαν vulg. 5. τοῦ Ῥωμαίων R., τῶν Ῥωμαίων vulg. 7. ἐν αὐτῇ R., ἐν τῇ vulg. 9. Βόνον στρατ. R. et Intpr., μόνον τὸν στρατ. vulg. Μυσίης R. 10. ἄνδρα om. R. 12. ὅσῃ Cl., confirmat Intpr., ὅση R. et vulg. ἤμελεν vulg. νεωτερίσειεν R. 17. οὔ οἱ. R. a 2. manu habet οὐχ οἱ. 20. θέρους R., θέρει vulg.

potestas esset adempta: tum vero omnes tamquam nulla alia salutis spe reliqua, ad tranquilliora consilia animum adiecerunt, et praesenti rerum statui recte consulendum statuerunt. Confestim itaque fide a Narsete accepta, quod nequaquam ipsis praeteritarum rerum causa esset infensus, urbem dediderunt, exercitumque libentes in eam admiserunt, tribus iam mensibus in obsidione consumtis: sicque iterato Lucenses Romanorum regi paruerunt.

19. Narses vero expugnata Luca, cum iam nihil hostile reliquum esset, longiorem ibi moram trahendam minime censebat, et ne tantillum quidem respirandum a laboribus. Relicto itaque ibi Bono praefecto ex Moesia ad Istrum fluvium porrecta, viro eximie prudente, et tam civilium quam bellicarum rerum peritissimo, iustisque copiis ei adiunctis, quibus videbatur, si forte novis rebus studerent qui ibi erant barbari, facile superior eis evasurus et compressurus: his inquam rebus ita compositis, Ravennam recta contendit, ut exercitum illic morantem hibernatum mitteret. Vergente enim iam autumno, solstitio hiberno imminente, belligerandum sibi per id tempus nequaquam videbatur. Revera enim hoc pro Francis futurum videbatur, quibus aestus valde est inimicus et gra-

εἶναι διαμαχέσαιντο, σφριγῶσι δὲ ὑπὸ τοῦ κρύους ἀεὶ, καὶ A. C. 552
ῥωμαλεώτατοι γίγνονται, καὶ ἥδιστα τότε διαπονοῦνται. ἔχουσι I. L. 26
γὰρ πρὸς τοῦτο οἰκείως, τῷ δυσχείμερον πατρίδα κεκτῆσθαι, καὶ οἷον ξυγγενὲς αὐτοῖς εἶναι τὸ ψύχεσθαι. τούτων δὴ οὖν ἕκατι διαμέλλειν ἐπειρᾶτο, καὶ ἐς νέωτα τὸν πόλεμον μεταθέσθαι. καὶ οὖν διασκεδάσας τὸ στράτευμα κατὰ λοχαγοὺς καὶ ταξιάρχους ἀνὰ τὰ ἐχόμενα πολίσματά τε καὶ φρούρια διαχειμάζειν ἐκέλευσεν, ἅμα δὲ ἦρι ἀρχομένῳ ἥκειν ἐς Ῥώμην ἅπαν- B
τας καὶ ἀγείρεσθαι, ὡς ἐνθένδε πανσυδὶ παραταξαμένους. καὶ οἱ μὲν κατὰ ταῦτα ἐχώρουν· Ναρσῆς δὲ ἐπὶ Ῥάβενναν ἰὼν, μόνους ἐπήγετο τοὺς ἀμφ' αὐτὸν θεραπευτάς τε καὶ δορυφόρους, καὶ ὅσοι τῆς ἀρχῆς αὐτῷ ὑπηρέται ἐτύγχανον ὄντες, οἷς δὴ τὰ ἀρχεῖα ἐπεφρόντιστο τῆς τε ἄλλης εὐκοσμίας πέρι, καὶ ὅπως μὴ χύδην ἅπασι τοῖς βουλομένοις ὡς αὐτὸν εἰσιτητέα εἴη. τούτους δὲ ἔθος Ῥωμαίοις ἐκ τῶν κιγκλίδων ἐπονομάζειν, καὶ τῆς ἐν τούτοις ἐπιμελείας. εἵπετο δέ οἱ καὶ Ζανδαλᾶς ὁ τῶν οἰκοτρίβων ὀπαδῶν πρωτοστάτης, καὶ ὅσον ἄλλο οἰκετικὸν καὶ ὅσοι τομίαι κατευνασττῆρες. ἄγων δὴ οὖν τοὺς C
ξύμπαντας ἄνδρας ἐς τετρακοσίους, ἐπὶ Ῥάβενναν ᾔει.

κ'. Ἐν τούτῳ δὲ Ἀλίγερνος ὁ Φρεδιγέρνου μὲν παῖς, ἀδελ-

3. τῷ R. (Cl.), τὸ vulg. 5. Pro ἐς νέωτα τὸν R. ἐς νεώτατον. 6. διασκεδάσας R. et Lugd., διασκεδάσθη edd. 7. ταξιάρχας R. 8. ἐκέλευσεν R., ἐκέλευεν vulg. 13. τε post τῆς add. R. 16. Pro τούτοις scr. ταύταις, nisi praeter usum Agathias κιγκλὶς pro masc. usurpavit. Cl. *Zandilas* Intpr. 19. *trecentorum* Intpr. 20. Φρεδιγέρνου R. et Intpr., Φεδιγέρνου vulg.

vis; neque libentes aestate bellum gerunt; brumae vero tempore vegetantur validioresque fiunt, et tunc commodissime labores ferunt. Naturaliter enim ob patriae algiditatem ita affecti sunt, ut eis cognatum quodammodo sit frigere. His itaque de causis protrahendum bellum et in proximum ver differendum censebat. Dissipato itaque exercitu et per centuriones et tribunos partito, ut in proximis oppidis et castellis hibernarent, iussit; statim vero ineunte vere Romam omnes venire et congregari, ut ibi omnibus copiis coniunctis exercitum instruerent. Atque hi quidem quo mandatum erat concesserunt. Narses vero Ravennam se recepit, famulitio tantum satellitioque suo secum sumto, et iis, qui ipsius aulam administrabant, quibus utique archiva curae erant, idque tum ornatus apparatusque causa, tum ne promiscue cuivis volenti ingrediundi potestas esset. Hos vero moris est Romanis a cancellis appellare et ab opera, quam in iis praestant. Duxerat etiam secum Zandalem, domestici comitatus praefectum, cum reliqua omni servorum et spadonum cubiculariorum turba. Ducens itaque secum in universum viros quadringentos, Ravennam venit.

20. Interea vero Aligernus Fredigerni quidem filius, frater vero Teiae, cuius etiam antea mentionem fecimus in obsidione Cumarum,

A. C. 552 φὸς δὲ Τεΐα γεγενημένος, οὗ δὴ καὶ πρότερον ἐπεμνήσθην ἐν L. I. 26 τῇ τῆς Κύμης πολιορκίᾳ· οὗτος δὴ ὁ Ἀλίγερνος, ἐπειδὴ οἱ Φράγγοι ἐς τὴν Ἰταλίαν παρῆσαν, καὶ ἐς αὐτοὺς ἤδη τὰ τῶν Γότθων πράγματα μετεχώρει, μόνος γε πέφηνεν τότε συνεὶς τὸ ξυνοῖσον, καὶ στοχαζόμενος τῶν μελλόντων. βουλευομένῳ γὰρ αὐτῷ περὶ τῶν παρόντων, προσῆλθεν ἐννοεῖν ὡς ἄρ' οἱ V. 27 Φράγγοι σκῆψιν μέν τινα καὶ προκάλυμμα εὐπρεπὲς τὸ τῆς D ξυμμαχίας ὄνομα ποιοῦνται, ὡς δὴ μετάκλητοι ἀφιγμένοι, τὸ δὲ βουλόμενον αὐτῶν τῆς γνώμης ἕτερόν τι φανεῖται· οὐ γὰρ ἐθελήσουσιν, εἰ καὶ τῶν Ῥωμαίων περιέσοιντο, παραχωρῆσαι τοῖς Γότθοις τῆς Ἰταλίας, ἀλλ' ἔργῳ προτέρους ἐκείνους καταδουλώσονται, οἷς τῷ λόγῳ ἥκουσιν ἐπαμύνοῦντες, ἄρχοντάς τε αὐτοῖς ἐπιστήσουσι Φράγγους, καὶ ἀφαιρήσονται τῶν πατρίων νομίμων αὐτούς. ταῦτα δὴ οὖν ἐν ἑαυτῷ θαμὰ λογιζόμενος καὶ ἀνελίττων, ἅμα δὲ καὶ τῇ πολιορκίᾳ πιεζόμενος, ἄμεινόν οἱ κατεφάνη, τήν τε πόλιν καὶ τὰ χρήματα τῷ Ναρσῇ παραδοῦναι, καὶ τολοιπὸν Ῥωμαϊκῆς μεταλαχεῖν πολιτείας, κινδύνων τε ἀπογενέσθαι καὶ βαρβαρικῶν διαιτημάτων. ὅσιον γὰρ ᾤετο εἶναι, εἰ μὴ τοὺς Γότθους ἔνεστι τὴν P. 32 Ἰταλίαν κεκτῆσθαι, τούς γοῦν ἐκ παλαιοῦ οἰκήτοράς τε καὶ ἰθαγενεῖς τὸ ἀνέκαθεν ἡγεμόνας αὐτὴν ἀνακομίσασθαι, καὶ μὴ

2. οὗτος δὴ R. et Lugd., οὗτος δὲ edd. 6. αὐτῷ om. R. ἄρα R. 8. ποιοῦνται R., πριῶνται vulg. 9. αὐτοῖς R. 14. νομίμων R., νόμων vulg. 15. ἅμα δὲ καὶ R., ἅμα καὶ vulg. 16. τήν τε R. et Lugd., τήν γε edd. 21. ἀνέκαθεν R. Lugd. et Suid. s. v. ἰθαγενής, ἀνίκαθεν edd.

postquam Franci in Italiam venissent, et Gothorum res omnes ad ipsos essent devolutae, solus visus est, quid consultum et ex re esset, cognovisse, et futura praevidisse. Deliberanti enim ipsi de praesenti rerum statu, haec cogitatio in mentem venit, quod Franci speciosum quidem titulum ac praetextum captabant societatis bellicae cum Gothis initae, quippe qui acciti venissent; quod vero animis suis agitabant, aliud quiddam re ipsa appariturum. Fore enim videbat, ut etiamsi Romanis superiores evaderent, Gothis Italia non cederent, sed illis re ipsa primis subactis, quibus suppetias verbis laturi venerant, Francos principes eis imposituros, patriisque legibus eos esse spoliaturos. Haec itaque cum frequenter secum reputaret, et cum animo suo revolveret, simulque obsidione premeretur, consultissimum fore iudicavit, si urbem cum pecuniis omnibus Narseti traderet, ac deinceps Romanorum instituto ac moribus viveret, periculis et barbarico vivendi more valere iussis. Aequum enim ei videbatur, si Gothi Italiam obtinere non possent, veteres certe eius habitatores et indigenas ab origine duces eam recuperare, neque perpetuo suis sedibus fraudari. Haec itaque et ipse sua ex parte praestare in animum suum inducebat, et reliquae genti suae prudentis

μέχρι παντὸς τῶν σφετέρων ἀποστερεῖσθαι. ταῦτα δὴ οὖν A.C. 552 αὐτός τε ἐπιτελεῖν τὸ μέρος ἐγνώκει, καὶ ἅπασι τοῖς ὁμοφύ- I. I. 26 λοις παράδειγμα εὐβουλίας γενέσθαι. καὶ τοίνυν τοῖς πολιορκοῦσι Ῥωμαίοις διαγγείλας πρότερον ὡς ἐθέλοι πρὸς τὸν στρατηγὸν ἰέναι, καὶ εἶτα ἐφειμένον αὐτῷ, παραγίγνεται ἐς Κλάσσεις, οὗ δὴ τὸν Ναρσῆν διατρίβειν ἐπέπυστο. ἵδρυται δὲ τὸ φρούριον ἐν τῇ Ῥαβέννης περιοικίδι. καὶ δὴ ἐς ὄψιν αὐτῷ ἀφιγμένος, τάς τε κλεῖς τῆς Κύμης ἐνεχείρισε, καὶ ἅπαντα ὑπηρετήσασθαι ὡμολόγει πρὸς εὐνοίας αὐτῷ· καὶ ὃς ἀπεδέχετό τε αὐτὸν τῆς προσχωρήσεως, καὶ μείζοσιν ἀγαθοῖς ἐπηγγέλ- B λετο ἀντιδωρεῖσθαι· τότε δὲ εὐθὺς, ἀπόμοιραν μέν τινα τῶν ἀμφὶ τὴν Κύμην στρατοπεδευομένων ἐκέλευσεν εἴσω τοῦ περιβόλου γενέσθαι, αὐτήν τε τὴν πόλιν καὶ τὰ χρήματα παραληψομένους καὶ ἅπαντα ἐν τῷ ἀσφαλεῖ διαφυλάξοντας. τὸ δὲ λοιπὸν στράτευμα ἐν ἑτέροις πολίσμασί τε καὶ φρουρίοις ἀναχωρεῖν, ὡς ἂν καὶ οἳ διαχειμάσοιεν. καὶ οὕτω ἅπαντα ἐπράττετο. ἐπεὶ δὲ ὁ τῶν Ἐρούλων στρατὸς οἰκείου αὖθις ἡγεμόνος ἐχήρευε, δύο δὲ ἄνδρ' ἤστην ἐν αὐτοῖς ἐπισήμω τε καὶ ἀμφηρίστω, ἐμερίζοντο ἡ πληθὺς ἐφ' ἑκάτερον ταῖς γνώμαις. τὸ μὲν γάρ τι αὐτῶν περὶ πλείστου τὸν Ἀροὺθ ἐποιοῦντο, καὶ ἅπαντα σφίσιν ἄμεινον ᾤοντο ἔσεσθαι εἴ γε ἐκεῖνος ἡγοῖτο· C τοὺς δὲ ὁ Σινδουὰλ ἤρεσκεν, ἅτε δὴ δραστήριος ἐς τὰ μάλιστα,

3. εὐβουλίας om. R., Intpr. *ut ceteris suae gentis exemplo foret.* 4. ἐθέλοι R., ἐθέλει vulg. 5. παραγίνεται vulg. 8. ἐνεχείρισε R., ἐνεχείριζε vulg. 16. καὶ οἵδε R. διαχειμάσειεν R. 16. οὕτω ἅπαντα R., ἅπαντα οὕτω vulg. 18. ἄνδρε R. 22. τοὺς δὲ R. et Lugd., τοῖς δὲ edd.

consilii exemplum statuere. Cum itaque obsidentibus Romanis prius nuntiasset, cupere se praefectum exercitus adire, idque ei permissum esset, ad Classes venit, ubi Narsetem morari cognoverat. Situm vero est id castellum in agro Ravennate; cumque ei in conspectum venisset, et claves urbis Cumarum ipsi in manus tradidit, omniaque sua benevola officia ei detulit. Narses eum advenientem benigne complexus maioribus eum bonis remuneraturum promisit: statimque partem copiarum Cumas obsidentium in urbem misit, qui et ipsam et pecuniam omnem reciperent, tutoque omnia conservarent; reliquis copiis in alia oppidula et castella secedere ibique hibernare iussis. Quae quidem omnia ita peracta sunt. Posteaquam vero Herulorum exercitus proprio iterum duce fuit orbatus, duo autem inter eos essent viri insignes, dubiaeque inter se praestantiae, varie in utrumque militum animi et studia inclinarunt. Una enim exercitus pars Aruth maximi faciebat, planeque sibi persuadebat, omnia melius successura, si ille ipsis dux daretur; alteri parti magis placebat Sindual, ut strenuus maxime et in re bellica valde exercitatus. Cui quidem parti etiam assentiens Narses, hunc eis ducem praefecit

A. C. 552 οὖν ὁ Ναρσῆς παρελθὼν ἐς μέσον τῆς στρατιᾶς, ἔλεξε τοιάδε·
I. I. 26 „Τοῖς μὲν εἰθισμένοις ἑκάστοτε τῶν πολεμίων κρατεῖν, καὶ διὰ
παντὸς αἰσίων πειρᾶσθαι τῶν ἔργων, τούτοις εἴ γέ τι καὶ
πρὸς βραχὺ μὴ καθόσον οἴονται χρῆναι συμπέσοι, παραιρεῖ-
ται τὸ χαῖρον εὐθὺς, καὶ τὰς ἐλπίδας ἀμβλύνει. ἐγὼ δὲ προσ-
ήκειν οἶμαι τοῖς ἔμφροσιν ἐν ταῖς εὐπραγίαις τῇ τύχῃ μὴ
συνεξαίρεσθαι, ἀλλ' ὡς ῥᾴδιον ὂν μεταβολὴν γίνεσθαι τῶν
D παρόντων, οὕτως ἀεὶ παρεσκευάσθαι τὰς γνώμας. τοῖς γὰρ
ὧδέ πως ἔχουσιν τρόπου, ἥδιστον μὲν εὐτυχία φανεῖται, οὐ
σφόδρα δὲ λυπηρὸν εἴπου καὶ παρὰ γνώμην σφαλεῖεν. ὁρῶ
τοίνυν ὑμᾶς, ὦ ἄνδρες, πλέον ἢ κατὰ τὸ συμβὰν ἀνιωμένους,
καὶ δῆλον ὡς οὐχ ἑτέρωθεν τοῦτο πεπόνθατε, ἢ μόνον τῷ
πέρα τοῦ μετρίου μεγαλαυχεῖν τῇ τοῦ νικᾷν συνηθείᾳ, καὶ μηδέ-
ποτε διαμαρτεῖν δυνηθῆναι οἰηθῆναι, ὥστε, εἰ τήνδε τὴν δόξαν
ἀφέντες μόνον καθ' ἑαυτὸ σκοπήσοιτε τὸ πραχθὲν, οὐκ ἂν
ὑμῖν ὀφθείη τηλικοῦτο δεινὸν, ὁπόσον ἄλλως ἡγεῖσθε. εἰ γὰρ
P. 28 καὶ Φούλκαρις ὁ στρατηγὸς, ἅτε δὴ βάρβαρος, καὶ τὸ προ-
πετὲς ἐπιχωριάζων πρὸς τοσαῦτα πολεμίων πλήθη σὺν ἀκο-
σμίᾳ διακινδυνεύσας, μετέσχεν ἐκείνων εἰκότως ὧνπερ ἀκόλου-

7. ὢν R. 9. ὧδέ πως R., ὧδέ πῃ vulg. τρόπου add. ex R., Lugd. h. l. lacunam habet. 10. καὶ παρὰ γνώμην R., Intpr. *praeter sententiam,* vulg. τυχὸν καί. 11. ὦ add. ex R. et Intpr. 12. τὸ πέρα R. 14. οἰηθῆναι vulg. om., verum R. om. δυνηθῆναι. Utrumque posui, auctore Intpr. *quia in animum induxistis, nulla in re aut falli aut peccare vos posse.* 14. τὴν om. Par. 15. ἐφ' ἑαυτὸ R., ἐφ' ἑαυτῷ coni. Cl. σκοπήσητε R. 16. τηλικοῦτο R., τηλικοῦτον vulg. 18. ἐπιχωριάζων R., ἐπιχωριάζον vulg. 19. ὧνπερ ἀκόλουθον R. et Lugd., ὧν παρακόλουθον edd.

quotidianis de hostibus victoriis rebusque prospere perpetuo gerendis sunt assuefacti, iis si quid forte etiam ad breve tempus non plane ex animi sententia accidat, et laetitiam intercipit et spes obtundit. Ego vero ita censeo, viros prudentes in rebus prosperis nequaquam cum fortuna extolli debere, sed ut facilis est et proclivis rerum praesentium immutatio, ita semper praeparatos in omnem eventum animos gerere. Iis enim qui ita affecti sunt, suavissima quidem res videbitur prosperitas; non valde tamen acerba ac molesta, si forte aliquando spe sua excidant. Video itaque vos, viri, plus quam casus iste postulet, angi; neque aliunde hoc proficisci quam ex hoc uno, quod ultra modum vincendi consuetudine gloriemini, quasi nunquam labi possitis; quocirca si hac opinione deposita factum ipsum per se consideretis, non tam atrox et grave, quam alioqui putatis, videbitur. Si enim Fulcaris, utpote barbarus, patrio more temere adversus tantam hostium multitudinem ordine omni neglecto congressus, consentaneas suae temeritatis poenas luit: at vos, o viri, neque sic in praesenti animis cadere, neque ab instituto discedere oportet. Turpe enim

θον ἦν· ἀλλ' ὑμῖν, ὦ ἄνδρες, οὐδ' ὡς ἀποκνητέον τὰ νῦν, A. C. 552 οὐδὲ τὰ προεγνωσμένα μεταθετέον. αἰσχρὸν γάρ, εἰ Γότθων I. I. 26 μὲν οἱ περιόντες, καὶ ταῦτα τοῦ γένους αὐτοῖς διαῤῥυέντος, οἱ δὲ καὶ συμμαχίας ἐπάγονται, καὶ μείζους ἡμῖν ἐγείρουσι πόνους, καὶ οὐ παντελῶς ἀπειρήκασι πρὸς τὰς τύχας, ἡμεῖς δὲ νῦν ἡττῆσθαι μόνον ὑποτοπήσαντες τῷ μὴ σφόδρα νενικηκέναι, καταπροήσομεν τῶν προϋπαρξάντων τὴν εὔκλειαν, ἀποβαλόντες τὴν προθυμίαν. καίτοι χαίρειν ἡμῖν μᾶλλον προσήκει B ἐπὶ τῷ γεγενημένῳ. ἐν τούτῳ γὰρ οἶμαι τὸ ὑπερβάλλον τῆς εὐτυχίας κεκόλασται, καὶ τὸ λίαν διαφθονεῖσθαι πεφεύγαμεν, καὶ τολοιπὸν θαῤῥεῖν ἡμῖν πάρεστι τοὺς ἀγῶνας, ὡς ἐνθένδε πάλιν νικᾷν ἀρχομένοις. εἰ γὰρ καὶ πλήθει σεμνύνεται τὸ πολέμιον, ἀλλ' εὐκοσμίᾳ γε κατὰ τὸ μᾶλλον αὐτῶν, ἢν σωφρονῶμεν, περιεσόμεθα, μαχούμεθά τε πρὸς ἄνδρας ἐπήλυδας, καὶ τῶν ἐπιτηδείων, ὥσπερ εἰκός, ἀποροῦντας, εὖ τούτων ἡμεῖς ἔχοντες· φρούρια δὲ πολλὰ καὶ πόλεις ἀσφάλειαν ἡμῖν, εἴπου δεήσει, παρέξουσι, τοῖς δὲ ταῦτα οὐκ ἔσται. συναγωνιεῖται δὲ καὶ τὸ κρεῖττον ἡμῖν, ὡς σφόδρα δικαίως ὑπὲρ τῶν οἰκείων ἀμυνομένοις. οἱ δὲ τὴν ἑτέρων δῃοῦσιν. οὕτω πανταχόθεν ἡμῖν τὸ μὴ λίαν εὐέλπιδας εἶναι παράλογον, μὴ C

4. μείζους R., μείζονας vulg. 8. προσήκει ἐπὶ τῷ γεγενημένῳ R., ἐπὶ τῷ γεγενημένῳ προσήκει vulg. 10. κεκόλασται R. Lugd. (Cl.), κεκόλασθαι edd. 12. πάλ. νικ. ἀρχ. Intpr. *nos posse et detrimenta sarcire et certamina vincere.* σεμνύνεται R. Lugd., σεμνύνηται edd. 13. κατὰ τὸ μᾶλλον. Intpr. *et providentia*: καὶ προμηθείᾳ, quod praetulerim. 16. πολλὰ add. ex R. ἀσφάλειαν R., ἀσφαλείας vulg. 17. δεήσει R., δεήσοι vulg. ταῦτα R., ταῦτ' vulg. 18. κατὰ τὸ κρεῖττον R. 19. ἑτέρων δῃοῦσιν R. et Intpr. *aliena depopulentur*, ἑτέραν δοκοῦσιν vulg. οὕτως R.

fuerit, si Gothorum reliquiae tota fere gente deleta belli gerendi socios sibi adsciscunt, et plus negotii nobis facessunt, neque plane tanta clade accepta animum despondent: nos vero nunc eo solum nomine victos nos existimantes, quod non continue vicerimus, praeteritarum rerum gloriam amittamus, animum abiicientes, cum potius gaudere nos hoc casu conveniat. Nam hoc ipso nimia fortunae prosperitas castigata est, et nimiam cui obnoxii eramus invidiam subterfugimus; et deinceps fidentiore animo proelia adire nobis licebit, facto nobis hinc rursus vincendi initio. Etsi enim hostes multitudine se iactant et gloriantur, at nos certe ordinis militaris praestantia longe ipsis, si sapimus, erimus superiores. Pugnamus etiam adversus peregrinos, et rerum necessariarum, uti par est, penuria laborantes, cum nobis abunde omnia suppetant. Castella et oppida securitatem nobis, si quando opus fuerit, praebebunt. Illos vero haec deficient. Quin et Deum ipsum adiutorem fautoremque sumus habituri, quippe qui iuste res nostras tue-

A.C. 552 τω δὲ καὶ Λουναῖοι, καὶ μὲν δὴ καὶ Πισαῖοι. ᾧδέ πως
I. I. 26 ἄρα αὐτῷ ἐξ οὐρίας ἅπαντα ἔθει, καὶ ὁδῷ ἰὼν τὰ ἐν ποσὶν ἐχειροῦτο.

P. 23 ιβ΄. Μόνοι δὲ οἱ ἐν Λούκᾳ τῇ πόλει διαμέλλειν ἐπειρῶντο, καὶ ἥκιστα ἐφιέναι, καίτοι πρότερον ἐτύγχανον οἷδε ξυνθήκας θέμενοι πρὸς Ναρσῆν, ὁμήρους τε παρασχόντες, καὶ ἐπομοσάμενοι, ὡς εἴγε τριάκοντα παραδράμοιεν ἡμέραι, καὶ μή τις αὐτοῖς μεταξὺ παραγένοιτο ξυμμαχία, ὁπόση οἵα τε εἶναι ἀμύνασθαι, καὶ ἐς πόλεμον ἐμφανῆ, οὐκ ἐκ πύργων τε καὶ περιβόλων ἀλλὰ συστάδην παρατάξασθαι· εἰ μὴ ταῦτα οὕτω ξυνενεχθεῖεν, ἦ μὴν αὐτίκα τὴν πόλιν ἐγχειριεῖν καὶ παραδώσειν. ᾤοντο γὰρ οὐκ ἐς μακρὰν παρέσεσθαι τοὺς Φράγγους καὶ ἐπαρήξειν. τούτοις δὲ πίσυνοι τὰς τοιάσδε ἐπεποίηντο ξυνθήκας. ἀλλὰ τότε ἡ μὲν κυρία παρῳχήκει, οἱ δὲ οὔπω παρῆσαν, τοῖς δὲ καὶ ὣς βουλομένοις ἦν περιορᾷν ἀμέλει καὶ ἀναί-
B νεσθαι τὰ ξυγκείμενα. Ναρσῆς μὲν οὖν ἐξαπατηθεὶς, ὥσπερ εἰκὸς, ἐχαλέπαινε, καὶ ἐς τειχομαχίαν παρεσκευάζετο. ἐνίοις δὲ τῶν ἀμφ' αὐτὸν καὶ χρῆναι ἐδόκει τοὺς ὁμήρους ἅπαντας διαφθαρῆναι, ὡς ἂν οἱ ἐν τῷ ἄστει ἀνιαθεῖεν, καὶ ταύτῃ ποινὰς ὑφέξοιεν τῆς ἀπιστίας. ὁ δὲ στρατηγὸς, γνώμῃ γὰρ ἅπαν-

1. Pro *Λουναῖοι* vulg. *Ἀλιαῖοι*, Intpr. *Lucenses*, R. *Λουλιαῖοι*, levissima corruptela. Lunam oppidum his saeculis adhuc fuisse, Berettus probavit (Diss. chorogr. Script. Muratorii X. p. 102.): idemque demonstrant Agrimensorum libri. 2. Post *ἐν ποσὶν* vulg. add. *ἅπαντα*, om. R. et Intpr. 3. *Λούκαις* R. 7. *παραδράμοιεν* R., *παραδράμειεν* vulg. 9. *πύργων* R., Intpr. *turribus*, *πύργου* vulg. 10. *συστάδην τε* R. et in mg. *συμβάδην*. *παρατάξεσθαι* R. 15. *ἀμέλει* add. ex R. 18. *ἅπαντας* add. ex R., om. vulg. et Intpr. 20. *ὑφέξοιεν* R., *ὑφέξειεν* vulg.

Lunaei, quin et ipsi Pisani: adeo ei omnia prospere succedebant et ex itinere cuncta subigebat.

12. Soli Lucenses moram trahere tentabant, neque sese dedere, tametsi antea hi cum Narsete pacti erant, obsidibus datis et iureiurando praestito, quod si triginta dies praeterlaberentur, neque auxilia ipsis venirent sustinendae obsidioni belloque aperto gerendo idonea, ad non ex turribus et muris sed statario praelio pugnandum, confestim urbem seque dederent. Sperabant enim Francos brevi ipsis auxilio venturos. Hac enim fiducia freti, cum Narsete pacti erant. Caeterum cum iam statum tempus esset elapsum, neque ulla auxilia comparerent, neque sic tamen conventis pactisque standum censuerunt. Narses itaque illusus, moleste id, ut par erat, ferens ad murorum oppugnationem se comparabat. Nonnulli vero ex suis interficiendos esse obsides censebant, utque ita oppidani moerore confecti perfidiae suae poenas luerent. Sed Narses prudenter omnia

τα ἔπρασσεν, καὶ οὐ λίαν τῇ ὀργῇ ξυνεχώρει, οὐκ ἐς τόδε ὠ- A C. 552 μότητος ᾔει, ὡς ἀποκτεῖναι τοὺς μηδὲν ὅ, τι ἠδικηκότας, ἀνθ' I. I. 26 ὧν ἕτεροι ἐπλημμέλουν, δόλον δὲ ὅμως τοιόνδε τινὰ ἐμηχανήσατο. παρῆγε γὰρ ἐς μέσον αὐτοὺς ἐναλλάγδην μὲν τὼ χεῖρε ὑπὸ τὴν ἰξὺν περιεσφιγμένους, κάτω δὲ τὸ κάρα ἐπινενευκότας, ἐπεδείκνυέν τε τοῖς ὁμοφύλοις, οὕτω πως οἰκτρότατα διακειμένους, καὶ ἠπείλει θᾶττον αὐτοὺς ἀναιρήσειν, εἰ μὴ τάχιστα φθάσαιεν ἐκεῖνοι διαπραξάμενοι τὰ ὁπόσα ἐτύγχανον ὡμολο- C γηκότες. ξύλα δὲ αὐτοῖς βραχέα ἐκ τοῦ μεταφρένου ἐπὶ τοὺς τένοντας ὑπεβέβλητο, ῥάκεσί πως κεκαλυμμένα, ὡς μὴ διορῷεν καὶ πόῤῥωθεν οἱ πολέμιοι. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, αὐτίκα ἐκέλευε δῆθεν στοιχηδὸν ἅπαντας καρατομεῖσθαι, καὶ οἱ δορυφόροι σπασάμενοι τὰ ξίφη βιαιότατα, ἔπαιόν τε καὶ ἐπεφέροντο, ὡς δὴ τοὺς αὐχένας ἀποτεμοῦντες· ἡ δὲ πληγὴ τοῖς ξύλοις ἐγχρίπτουσα, οὐδέν τι αὐτοὺς μᾶλλον ἐσίνετο, κατέπιπτον δὲ ὅμως πρηνεῖς ἐκεῖνοι, προστεταγμένον αὐτοῖς, ἤσπαιρόν τε ἐθελούσιοι, καὶ ἰλυσπῶντο, ὑποκρινόμενοι τὸ διολωλέναι. ἰδόντες δὲ οἱ ἐν τῷ ἄστει, καὶ τῷ διεστάναι ὡς πλεῖστον οὐ τὰ ἀληθῆ διασκοποῦντες ἀλλ' ἢ τὰ φαινόμενα, ὠλοφύρον- D τό τε ἀθρόον, καὶ ξυμφορὰν ἐποιοῦντο τὰ γεγενημένα. ἦσαν

2. ᾔει Cl., Intpr. *ad-id evasit*, vulg. et R. εἴη. Ante ἠδ. ins. vulg. καί, om. R. 3. ἐμηχανήσατο N., ἐμηχανήσαντο R., ἐμηχανᾶτο vulg. 4. Suid. s. v. ἐναλλάγδην: παρήγαγε. μὲν add. ex R. 7. τάχιστα om. R. et Intpr. 9. ξύλα et βραχέα R. (Cl.), ξύλω et βραχέω vulg. 12. δῆθεν om. R. 15. οὐδέν τι R., οὐδέ τι vulg. ἐσίνετο R. Lugd., Intpr. *sine illorum pernicie*, ἐγίνετο vulg. 17. λυπῶντο R. διολωλέναι R., ὑπολωλέναι vulg., m. Lugd. ἀπολ. 18. τῷ διεστ. R., τοῦ διεστ. vulg.

gerebat, neque ita se ira abripi patiebatur, ut crudeliter eos, qui nihil plane deliquerant, ob aliorum delictum necaret. Huiusmodi vero astum excogitavit. Adduxit enim eos in medium manibus complicatim ad lumbos revinctis, capitibus deorsum depressis; atque ita eos oppidanis miserando in statu constitutos ostendebat, comminatus iamiam illos obtruncatum iri, nisi confestim quaecumque pacti erant praestarent. Ligna vero quaedam brevia ex interscapilio ad tendines suppacta erant, pannis obtecta, ne hostes eminus dolum prospicere possent. Cum itaque non parerent oppidani, neque vellent pacta praestare, statim ex ordine omnes obtruncari iussit. Lictores itaque strictis ensibus, maxima vi ferierunt, tanquam colla praecisuri. Ictus vero lignis impactus eos illaesos reliquit; proni nihilominus, ut ipsis imperatum erat, in terram prolapsi, sua sponte palpitabant seque vibrabant, simulantes se iam mortuos. Quod cum vidissent oppidani, et ob magnam loci distantiam rem ipsam animadvertere non possent, sed tantum in speciem apparentia, confestim ad luctum eiulatumque tanquam gravissimo malo accepto sese converterunt. Erant enim viri illi obsides non ex multis et obscuri,

A. C. 552 γὰρ οἱ ἄνδρες οἱ ὁμηρεύοντες οὐ τῶν πολλῶν τε καὶ ἀγεννῶν,
I. 1. 26 ἀλλ' ἐπίσημοι ἐν τοῖς μάλιστα, καὶ εὐπατρίδαι. ὡς δὴ οὖν
τοιούτων αὐτοὺς ἀποστερεῖσθαι οἰομένους, κωκυτὸς ἐπεῖχε μυ-
ρίος, οἰμωγαί τε ἠκούοντο θαμιναὶ, καὶ φθέγμα θρηνῶδες
καὶ διωλύγιον, γύναια δὲ πολλὰ διαπληκτιζόμενα καὶ τὰς ἐ-
φεστρίδας περιῤῥηγνύντα, ἀνὰ τοὺς προμαχεῶνας ἐφοίτων,
τυχὸν μὲν μητέρες οὖσαι τῶν ἀπολωλέναι δοκούντων, τυχὸν
δὲ ἐπίκληροι, τυχὸν δὲ ἄλλῳ ὁτῳοῦν τρόπῳ μέλον αὐταῖς. καὶ
P. 21 δὴ τῷ Ναρσῇ ἅπαντες ἀναφανδὸν ἐλοιδοροῦντο, ἀλαζόνα τε
ἀποκαλοῦντες καὶ ἀτάσθαλον, καὶ ἔργῳ μὲν αὐτὸν εἶναι λέ-
γοντες βίαιόν τε καὶ μιαιφόνον, τὴν δὲ τοῦ εὐσεβεῖν ἀεὶ καὶ
τὸ θεῖον θεραπεύειν δόξαν ἄλλως αὐτῷ κεκομψεῦσθαι.

ιγ'. Ταῦτα δὲ αὐτῶν ἐπιβοώντων, „ἆρα οὖν οὐχ ὑμεῖς" ἔφη ὁ Ναρσῆς „τοῖσδέ τε αἴτιοι ὀλέθρου γεγένησθε περιφρονήσαντές γε αὐτοὺς καὶ καταπροέμενοι; ὑμῖν τε αὐτοῖς οὐ τὰ χρηστὰ βουλευσάμενοι φανεῖσθε ὅρκον ἐπίορκον ὀμωμοκότες, καὶ ἀναίδην παρασπονδήσαντες. ἀλλ' εἴ γε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ συνοῖσον, καὶ ἔργῳ τὰ ξυγκείμενα διανύσασθαι
V. 18 οὐδέν τι ἔλαττον ἕξετε. οὗτοί τε γὰρ αὖθις ἀναβιώσονται, καὶ

1. οἱ ὁμηρ. R., art. om. vulg. 4. θαμιναὶ R. Lugd. et Suid. s. v. κωκυτὸς, θαμεναὶ edd. 6. περιῤῥηγνύντα Suid. s. v. ἐφεστρὶς, παραῤῥ. vulg., περιῤῥηγνῦναι R. ἐφοίτα R. 9. Suid. s. v. ἐλοιδορούμεθα: τὸν Ναρσῆν. 11. τοῦ εὐσεβεῖν R. et Suid., αὐτοῦ εὐσέβειαν vulg. 12. ἀλλὰ R. 13. ἐπιβοώντων R., ἀναβοώντων vulg. οὐχ ὑμεῖς, ἔφη ὁ Ναρσῆς R., ἔφη ὁ Ναρσῆς, οὐχ ὑμεῖς vulg. 16. φανεῖσθε R. et Intpr. (Cl.), φανεῖσθαι vulg. 17. ἀναίδην Suid. s. v. μεταμαθεῖν, ἀνέδην vulg. et R. ἐθελήσητε R., ἐθελήσετε Suid. 18. μεταμαθεῖν R. Suid., Intpr. *iterato perdiscere*. μαθεῖν vulg. ἔργῳ R. et Lugd. mg., ἔργα edd.

sed melioris notae et nobiles. Quibus quidem viris cum se privatos putarent, ingens ploratus est exortus, crebrique eiulatus et lamentabiles voces longe lateque exaudiebantur. Mulieres etiam multae unguibus dilaniatae stolisque discerptis per propugnacula discurrebant, sive matres eorum, qui necati putabantur, sive sponsae, sive quacunque alia ratione hoc illas tangeret. Omnes vero aperte Narsetem conviciis incessebant, vanum improbumque iactatorem eum appellantes, et re quidem ipsa violentum et sanguinarium esse dicentes, pietatem vero et divini numinis cultum falso iactitare.

13. Haec illis inclamantibus, An non, inquit Narses, vos hisce causa necis fuistis, qui iis neglectis ac proditis, neque vobis ipsis recte consulentes, periurum iusiurandum curastis, pactaque turpiter violastis? Verumenimvero si vel nunc velitis quod expedit agnoscere, reque ipsa pacta praestare, nihil mali accipietis. Nam et obsides vestri reviviscent, et urbi vestrae nihil damni inferemus: sin minus, non horum causa deinceps vobis erit dolendum, sed iam cavendum ne etiam vos omnes similia luatis. Haec cum audis-

τὴν πόλιν ὑμῶν ἥκιστα πημανοῦμεν. εἰ δὲ μὴ, οὐ τῶνδε πέρι A. C. 552 ὑμῖν τολοιπὸν ἀλγητέον, ἀλλ' ἤδη φράζεσθε ὅπως μὴ καὶ L. I. 26 αὐτοὶ ἅπαντες ὅμοια πείσησθε. ταῦτα δὲ ἐπεὶ ἤκουον οἱ Λου- B κανοὶ, ἐξαπατᾶν γε αὐτὸν ἡγοῦντο καὶ φενακίζειν ἐπὶ τῇ τῶν κειμένων ἀναζωγρήσει. καὶ ἦσαν γὰρ ὡς ἀληθῶς ἀπάτη οἱ λόγοι, οὐ μέντοι γε ἧπερ ἐκεῖνοι ᾤοντο, προθυμότατα δὲ αὖθις ἀνωμολόγουν ὅμως καὶ ἐπώμνυντο, σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν αὐτίκα παρέξειν αὐτῷ, ἐς ὅ, τι βούλοιτο χρῆσθαι, εἴγε τοὺς ὁμήρους ἴδοιεν περιόντας· ἅτε δὴ γὰρ αὐτοῖς ἀδυνατον εἶναι δοκοῦν τοὺς τεθνεῶτας ἀναβιῶναι, εὐπρεπέστατα ἡγοῦντο ταύτῃ γοῦν ἀποσείσασθαι τὸ ἐπίκλημα, καὶ ἐπὶ σφᾶς αὐτοὺς τὰ δίκαια μεταθεῖναι. τότε δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος, ἀνίστησί τε αὐτοὺς ἀθρόον, καὶ ἐπεδείκνυντο τοῖς C ὁμοφύλοις σῶοί τε καὶ ἀδήλητοι. οἱ δὲ ἐπιδόντες αὐτοὺς, κατεπλήττοντο μὲν, ὥσπερ εἰκὸς, τῷ παραλόγῳ τῆς θέας, οὐ μὴν οὐδὲ ὡς ἅπαντες ἐκτελεῖν τὰ ὁμωμοσμένα ᾤοντο χρῆναι, ἀλλ' ἦσαν οἳ καὶ ἀνήνοντο. ἐπειδὴ γὰρ αὐτοῖς περιῆσαν οἱ ἄνδρες, καὶ τὸ ἀλγοῦν τῆς γνώμης καὶ ἀνιώμενον ἐς τὸ εὔελπι μετεβέβλητο, πάλιν, ἅτε δὴ ὅμιλος, ἐς τὰ πρότερα ἐπανήεσαν, καὶ τὰ τῆς ἀπιστίας ἐνίκα. ἐς τοῦτο δὲ αὐτῶν ἀβελτερίας ἐληλακότων, Ναρσῆς ὁ στρατηγὸς πολλῇ χρώμενος τῇ μεγαλοφροσύνῃ, ἀφίησι τούτους εὐθὺς, καὶ ἐς τὰ οἰκεῖα ἐκ-

1. *τῶνδε* R. et Lugd. corr., *τοῦδε* edd. Intpr. plane alia legisse videtur: *sin minus, necesse erit omnino ut malefactis demum indoleatis.* 2. Pro *μὴ* R. *δὴ*. 3. *πείσεσθε* scribere debuisset (Cl.). 6. *αὖθις ἀνωμολόγουν ὅμως* R., *ὅμως ἀνωμολόγουν αὖθις* vulg. 14. *ἀδήλωτοι* R. *ἐπιδόντες* R., *ἐσιδόντες* vulg. 17. *ἀνήνοντο* R., *ἀνήνηντο* vulg. 19. *μεταβέβλητο* R.

sent Lucani, illudi sibi fucumque fieri censebant mortuorum resuscitatione. Et suberat quidem omnino verbis fraus, non tamen ita atque illi putabant. Promptissime vero nihilominus profitebantur rursus et iurabant, se ipsos et urbem arbitrio Narsetis dedituros, si obsides salvos cernerent. Cum enim ipsis impossibile videretur, mortuos reviviscere, putabant se honestissime hoc pacto criminationem remoturos causamque suam aequam facturos. Tum Narses erectos confestim eos stare iussit, et oppidanis spectandos posuit, salvos atque incolumes. Hi vero eos conspicati, perculsi quidem fuerunt, ut par erat, spectaculi novitate, sed ne ita quidem omnes pactis standum censebant; neque deerant qui recusarent. Posteaquam enim superstites et salvos suos sunt conspicati, animis ex moerore et dolore ad bonam spem conversis, uti vulgus solet, ad ingenium redierunt, vicitque perfidia. Quo quidem vesaniae cum illi essent abrepti, Narses summa utens animi magnitudine, statim obsides liberos ad suos remisit, nullis redimiis acceptis, neque ulla conventio-

A. C. 552 L. I. 26 πέμπει, οὔτε λύτρα κομισάμενος, οὔτε ἄλλο τι τὴν πόλιν ὁμολογεῖν ἀναγκάσας. θαυμαζόντων δὲ τῶν Λουκανῶν, καὶ D ὅτου δὴ ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων, „οὐ σύνηθες ἐμοί γε“ ἔφη „βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι. οἶμαι γὰρ καὶ τούτων ἄνευ, εἰ μὴ ὡς τάχιστα ἑκόντες εἶναι προσχωρήσοιτε, ἀλλὰ ταῦτά γε ὑμᾶς παραστήσονται.“ καὶ ἅμα λέγων ἐπεδείκνυεν τὰ ξίφη. οἱ μὲν δὴ ἄνδρες ἀφειμένοι, καὶ τοῖς ὁμοφύλοις ἀναμιχθέντες, ἐν εὐφημίᾳ πολλῇ τὸν Ναρσῆν ἐποιοῦντο ἐπὶ τοὺς ξυλλόγους φοιτῶντες· ἐμέμνηντο δὲ τῆς κομιδῆς τε καὶ ἐπιμελείας ὁπόσης ἔτυχον πρὸς αὐτοῦ, ὅτι τε μειλίχιος καὶ εὐόμιλος, καὶ τὸ μεγαλουργὸν ἔχοι τῷ δικαίῳ ἀνακεκραμένον, ἑκασταχοῦ ἐψιθυρίζετο. καὶ ἔμελλον ἄρα οὐκ ἐς μακρὰν οἶδε οἱ λόγοι μείζονα τῶν ὅπλων P. 25 διαπράττεσθαι, κατακηλοῦντες τοῦ πλήθους ὁπόσον φίλερι καὶ παλίμβουλον, καὶ ὡς πλείστους ἀναπείσειν τὰ Ῥωμαίων ἑλέσθαι.

ιδ΄. Ἔτι δὲ τοῦ Ναρσοῦ τῇ πολιορκίᾳ προσκαθημένου, τὰ ἐς Αἰμίλειαν σταλέντα τῶν Ῥωμαίων στρατεύματα**, ἐταράττετο τοῖς ξυνενεχθεῖσι, καὶ δυσθυμίᾳ, ὥσπερ εἰκός, πολλῇ ἑαλώκει. ἐπειδὴ γὰρ αὐτόσε ἀφίκοντο, τὰ μὲν πρῶτα σὺν εὐβουλίᾳ τε καὶ τάξει ἅπαντα ἔπραττον. καὶ εἴπου ἢ κώμην τινὰ ἢ πόλισμα δυσμενὲς ληϊσόμενοι ᾖεσαν, ξυντεταγμένοι εὖ μάλα

6. εἶναι R. et Lugd., om. vulg. 12. ἑκασταχοῦ R., πανταχοῦ vulg. 18. Ubi asteriscos posui, exciderunt verba διαφθαρῆναι πυνθανόμενος, aut his similia. Intpr. *ubi exercitus — acceptum detrimentum intellexit.* 19. ξυνενεχθεῖσι R., ξυνεχθεῖσι vulg.

ne ab urbe extorta. Admirantibus vero Lucanis, et quo consilio id fecisset ambigentibus, Non est mei moris, inquit, adulari et vana spe lactare. Nam etiam absque his, nisi quam citissime deditionem faciatis, haec, inquit, vos subigent; simulque haec dicens, enses eis ostentabat. Obsides itaque dimissi, et civibus suis redditi, Narsetem, coetibus hominum immixti, summis laudibus efferebant, comitatemque qua excepti essent praedicabant, et quod blandis commodisque moribus praeditus esset, quodque singularem animi magnitudinem iustitiae studio temperaret, passim mussitabatur; videbanturque hi sermones brevi plus quam arma effecturi, demulcentes quotquot e vulgo erant contentiosiores et inconstantiores, et quamplurimos ad Romanorum partes sectandum concitaturi.

14. Narsete vero adhuc obsidionem urgente, copiae Romanorum in Aemiliam missae, sinistris eventibus perculsae erant, et valde, uti par erat, animis consternatae. Cum enim quo missae erant pervenissent, initio quidem prudenter ordinateque omnia gerebant, et sicubi vicum aliquem aut oppidum depraedaturi ibant, acie quam optime instructa procedebant, neque longius quam par erat excurrebant, ne-

ἐχώρουν, καὶ οὐ πόῤῥω τοῦ μετρίου τὰς ἐπελάσεις ἐποιοῦντο· A. C. 552
αἵ τε ἀναχωρήσεις αὐτοῖς οὐ διεσπασμέναι, ἀλλ᾽ ἐν κόσμῳ I. I. 26
ἐγίγνοντο, τῶν μὲν ὀπισθοφυλάκων ἐν τῷ δέοντι χώρῳ με-
νόντων, ἐς πλαίσιον δὲ τῆς φάλαγγος ταττομένης, καὶ τὴν
λείαν ἐς μέσον ἀπολαμβανούσης, ὡς ἂν βεβαιότατα διασώζοι- B
το. οὕτω δὲ αὐτῶν τό γε κατ᾽ ἀρχὰς τὰ πολέμια χωρία λυ-
μαινομένων, ὀλίγαις ὕστερον ἡμέραις ἅπαντα διέῤῥει τὰ πρα-
χθέντα καὶ ἀνετέτραπτο. Φούλκαρις γὰρ ὁ τῶν Ἐρούλων στρα-
τηγὸς ἀνδρεῖος μὲν δήπου ἦν, καὶ οὐδενότι πολέμιον ἐπεφύ-
κει δειμαίνειν, θρασὺς δὲ καὶ ταραχώδης, καὶ τὸ δραστήρι-
ον οὐ μάλα ἐν δέοντι κεκτημένος, στρατηγοῦ τε καὶ ἡγεμό-
νος οὐ τὸ κοσμεῖν καὶ διατάττειν τὴν φάλαγγα γνώρισμα εἶναι
ἡγεῖτο· ἀλλ᾽ εἴπου προφανεὶς ἐν μάχῃ καὶ προαλλόμενος, θυ-
μῷ τε ἀθρόον ἐμβαλὼν ἐς τοὺς ἀντιπάλους, ἔπειτα αὐτουργή-
σειε τὰ πολέμια, ταύτῃ γε ηὔχει καὶ ἐβρενθύετο. τότε δὴ C
οὖν καὶ μᾶλλον ἐς ἀπειροκαλίαν ἠρμένος, ἐπιδρομὴν ἐς Πάρ-
μαν ἐποιεῖτο τὴν πόλιν. ἐτύγχανεν δὲ ἡ Πάρμα ὑπὸ τῶν
Φράγγων ἤδη κατεχομένη. προσῆκον δὲ αὐτὸν κατασκόπους
πρότερον ἐκπέμψαι τοὺς γνωματεύσοντας ἐς τὸ ἀκριβὲς τὰ βου-
λεύματα τῶν πολεμίων, οὕτω τε ἐν τάξει ἐπὶ προεγνωσμέ-
νοις ἰέναι, ὁ δὲ, προπετείᾳ μόνῃ καὶ ὁρμῇ παραλόγῳ πίσυ- V. 19
νος, ἐπαγόμενος ξὺν ἀκοσμίᾳ τὸ τῶν Ἐρούλων στράτευμα,
καὶ ἄλλους ὁπόσοι ἐκ τῶν Ῥωμαϊκῶν εἵποντό οἱ ταγμάτων,

9. ἦν R., om. vulg. 13. προφανεὶς R. et Lugd., προφανὴς var. Lugd. atque inde vulg. προαλλόμενος R., προαλάμενος vulg. 15. ταύτῃ R., ταύτης vulg. 23. ἄλλα R.

que in diversas partes palantes distrahebantur: sed ordines suos servabant, excubiis quidem a tergo opportunis in locis manentibus; quadrata vero acie instructa, praedaque omni in medium recepta, ut quam firmissime tutissimeque asservaretur. Ita vero ipsis initio hostilia loca populantibus, paucis post diebus omnia in contrarium versa pessum ierunt. Fulcaris enim Herulorum dux, strenuus quidem ille, nihilque plane hosticum formidare solebat, audax vero et inordinatus erat, et ad res gerendas exequendasque non ita bene comparatus. Neque enim praefecti ac ducis decus esse censebat, aciem instruere atque disponere: sed sicubi ipse in praelio conspicuus aliosque praecurrens magnoque impetu et ardore animi in hostem ferretur, suisque ipse manibus pugnam cum hoste consereret, hoc vero sibi magnae laudi ducebat, valdeque eo nomine gloriabatur. Tum vero temporis maiore etiam temeritate elatus, in Parmensem urbem excursionem fecit (erat vero iam tum Parma a Francis occupata) cumque oportuisset eum speculatores prius emittere, qui hostium consilia accurate explorarent, atque ita ordinate ad res praecognitas exercitum ducere: ille praecipitantia sola et temerario animi impetu fretus, nullo ordine Heru-

A. C. 552 δρομαῖος ἐχώρει, οὐδενότι ἀντίξουν ἔσεσθαι ὑποτοπήσας. ταῦτα
L. I. 26 δὲ προμαθὼν Βουτιλῖνος ὁ τῶν Φράγγων ἡγεμὼν, ἐς ἀμφι-
D θέατρόν τι οὐ πόῤῥω τῆς πόλεως ἱδρυμένον (ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ βίος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι,) ἐνταῦθα δὴ οὖν ἀπολεξάμενος ἐκ τῶν οἰκείων στρατοπέδων τοὺς εὐθαρσεῖς τε καὶ μαχιμωτάτους ἀπέκρυπτε, καὶ μεγίστην ἐνέδραν καταστησάμενος, ἐπεσκόπει καὶ ἀνέμενεν τὸν τοῦ ἔργου καιρόν. ἐπεὶ δὲ Φούλκαρίς τε καὶ οἱ Ἔρουλοι εἴσω τῶν πολεμίων ἐτύγχανον προελθόντες, τότε δὲ δοθέντος τοῦ ξυνθήματος ἐκδραμόντες οἱ Φράγγοι, ἐσβάλλουσιν ἀθρόον ἐς αὐτοὺς ἀτάκτως τε καὶ παρημελημένως ἰόντας, εὐθύς τε οὐδενὶ κόσμῳ τοὺς ἐν χερσὶν ἅπαντας τοῖς ξίφεσι διεχρῶντο, κα-
P. 26 ταπλαγέντας τῷ αἰφνιδίῳ καὶ ἀπροσδοκήτῳ, μονονουχὶ σεσαγηνευμένους· μόλις δὲ οἱ πλεῖστοι συναισθανόμενοι οὗπερ ἐγεγένηντο συμφορᾶς, ἀγεννῆ καὶ αἰσχίστην ἠσπάζοντο σωτηρίαν. παραδόντες γὰρ τὰ μετάφρενα τοῖς πολεμίοις, ἔφευγον προτροπάδην, ἀλκῆς τε ἁπάσης ἐπιλελησμένοι καὶ τῆς χρονίας τῶν κινδύνων μελέτης.

ιέ. Οὕτω δὲ τοῦ στρατοῦ διαῤῥυέντος, Φούλκαρις ὁ στρατηγὸς ἅμα τοῖς ἀμφ' αὐτὸν δορυφόροις περιλελειμμένος, χρῆ-

1. οὐδὲν ἀντ. Suid. s. v. ἀντίξοον. 3. ἱδρυμένον R. et Lugd., ἱδρυμένων Par. 9. τότε δὲ R., τότε δὴ vulg. 10. ἐσβάλλουσιν R., καὶ ἐσβάλλουσιν vulg. 13. ἀπροσδοκήτῳ R. et Intpr. *subito et inopinato casu*, ἀπροσδόκητα vulg. 14. οὗπερ R. et Suid. s. v., vulg. ἥσπερ. 16. Suid. s. v. προτροπάδην: τὰ νῶτα. 19. διαῤῥυέντος R. et Lugd., διαρύεντος edd. 20. ἀμφ' αὐτὸν R., ὑπ' αὐτὸν vulg. περιλελειμμένος R., παραλελειμμένος vulg.

lorum copias educens, et quotquot e Romanis legionibus eum sequebantur, concitato agmine tendebat, nihil adversi eventurum suspicatus. Quae cum praescivisset Butilinus Francorum dux, in Amphitheatro quodam non procul ab urbe erecto (erat vero id destinatum iis, qui spectante populo cum bestiis decertabant) delectam e suis copiis strenuorum maxime bellicosissimorumque militum manum occultavit, maximisque insidiis dispositis observabat exspectabatque rei bene gerendae occasionem. Postquam vero Fulcaris et Heruli iam intra hostes essent progressi, tum signo dato erumpentes Franci, impressioneque in eos inordinate neglectimque euntes confertim facta, obvios promiscue omnes gladiis trucidabant, repentina impressione perculsos atque inopinato indagine cinctos; aegre vero quamplurimi, conscii iam quo mali venissent, ignobilem turpissimamque salutem quaesiverunt. Terga enim hostibus vertentes concitatissimo cursu fugerunt; omnis et bellicae virtutis et diuturnae periculorum exercitationis obliti.

15. Ita vero fuso exercitu, Fulcaris Herulorum praefectus solus cum satellitio suo relictus, nequaquam sibi, ut aliis, fugiendum puta-

καὶ ᾤετο μὴ ὁμοίως ἀποδιδράσκειν, ἄμεινον δὲ δράσειν θάνατον [A. C. 552] ἑλόμενος εὐκλεᾶ, ἢ τὸ ἀγεννῶς ἐπιβιῶναι. καὶ τοίνυν [I. I. 26] εἱστήκει ὡς οἷόν τε ἦν ἀσφαλέστατα, ἐπὶ τύμβῳ τινὶ τὰ νῶτα ἐρηρεισμένος, καὶ πολλοὺς τῶν πολεμίων διέφθειρεν, νῦν μὲν [B] ἀθρόον ἐπιὼν, νῦν δὲ ἀντωπὸς ἠρέμα ἐς τὰ ὀπίσω ὑποχαζόμενος. ἐξὸν δὲ αὐτῷ καὶ ὡς ἔτι εὐκολώτατα ἀποδρᾶναι, καὶ τῶν ὀπαδῶν οὕτω ποιεῖν ἀντιβολούντων, „καὶ πῶς ἂν ὑποσταίην τὴν γλῶτταν" ἔφη „Ναρσοῦ μεμφομένην μοι τῆς ἀβουλίας;" δεδιὼς δὴ οὖν, ὡς ἔοικε, τὴν κακηγορίαν μᾶλλον τοῦ ξίφους, ἔμενεν καὶ ἐπὶ πλεῖστον ἀντεῖχεν, καὶ οὐκ ἀνίει μαχόμενος, ἕως τῷ πλήθει ξυνειλημμένος, καὶ πολλοῖς ἀκοντίοις τὰ στέρνα βληθεὶς, ἤδη δὲ καὶ πελέκει τὴν κεφαλὴν κεχαραγμένος, μόλις δυσθανατῶν ἔπεσε πρηνὴς ἐπὶ τῆς ἀσπίδος. ἐπ' αὐτῷ δὲ καὶ οἱ ἄλλοι χύδην ἐκτείνοντο ἅπαντες, ὅσοι δὴ ἐτύγχανον [C] ἀμφ' αὐτὸν μεμενηκότες, τυχὸν μὲν ἐθελονταὶ, τυχὸν δὲ καὶ ὑπὸ τῶν πολεμίων εἰργόμενοι. Φούλκαρις μὲν οὖν στρατηγὸς αἱρεθεὶς, οὐ λίαν ἀπώνατο τῆς τιμῆς, ἀλλὰ βραχύ τι εὐημερήσας, ὥσπερ ἐν ὀνείρατος εὐφροσύνῃ, ταχεῖαν ἔσχε καταστροφὴν τῆς τε ἀρχῆς καὶ τοῦ βίου. τούτου δὲ τοῦ πάθους γεγενημένου, τὰ μὲν τῶν Φράγγων φρονήματα ἐπῆρτο ἐπὶ μέγα, καὶ ἐπεῤῥώννυτο. *Γότθοι δὲ οἱ Αἰμίλειάν τε καὶ Λιγουρίαν* καὶ τὰς ἐχομένας χώρας οἰκοῦντες, οἳ δὴ πρότερον ὕπουλον

1. δὲ inserui cum R. et Intpr. 3. τύμβῳ. Intpr. *munimento.* 5. ὑποχαζόμενος R. et Suid. s. v. ἀντωπεῖ, vulg. ὑποσχαζόμενος. ἀπιὼν et ἀντωπὸν Suid. l. l. 13. ἐπ' αὐτῷ R., ἐπ' αὐτοῦ vulg. 14. χύδην om. R. 17. εὐημερίσας R. 21. ἐπεῤῥώνυτο R.

bat, praeclarius facturum se ratus, si gloriosa morte occumberet, quam parum generose superviveret; substitit itaque quam potuit firmissime ad tumulum quendam sive sepulcrale monumentum tergo imminens, multosque ex hostibus occidit, modo impetuose in eos irruens, modo adversa fronte sensim retrorsum se recipiens. Cum vero ei etiam sic adhuc integrum esset quam facillime fugam capessere, suique ut ita faceret hortarentur: Et quo pacto, inquit, Narsetis linguam sustinuerim, temeritatis me insimulantem? Convitium itaque, uti videtur, magis quam gladium extimescens mansit, et quam diutissime restitit, neque destitit pugnare, donec circumfusa hostium multitudine, multisque iaculis pectore exceptis, securi etiam capiti impacta, et iam cum morte conflictans, pronus in scutum concidit. Super hunc vero reliqui etiam quotquot ei adhaeserant, ad unum omnes, sive sua sponte, sive hostili vi sunt trucidati. Fulcaris itaque Herulorum dux creatus, non fuit in diuturna illius dignitatis possessione, sed brevi admodum tempore prosperis rebus veluti laetitia quadam, quae somniantibus accidit, usus, celerem habuit et praefecturae et

A. C. 552 μὲν καὶ οὐκ ἐλευθέραν, εἰρήνην δὲ ὅμως καὶ ὁμαιχμίαν, τῷ
I. I. 26 δεδιότι μᾶλλον τῆς γνώμης ἢ τῷ ἡδομένῳ, ἐπεποίηντο, οὗτοι
D δὲ τότε ἀναθαρσήσαντες, καὶ ἀναφανδὸν παρασπονδήσαντες,
αὐτίκα τοῖς βαρβάροις κατὰ τὸ ὁμοδίαιτον προσεχώρουν. τὰ δὲ
τῶν Ῥωμαίων στρατεύματα, ὧν δὴ Ἰωάννης τε ὁ Βιταλια-
νοῦ, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, καὶ Ἀρταβάνης ἡγοῦντο, τοῦ τε
Ἐρουλικοῦ ὁμίλου ὁπόσον τῇ φυγῇ διεσέσωστο, αὐτίκα ἐς Φα-
βέντειαν μετανέστησαν τὴν πόλιν. ᾤοντο γὰρ οἱ στρατηγοί, οὐ
πρὸς αὐτῶν εἶναι ἀμφὶ τὴν Πάρμαν ἔτι ἱδρῦσθαι, τοῦ τε πλή-
θους τῶν πολεμίων αὐτοῦ ἀγερθέντος, καὶ ὅτι παραλόγως
εὐημερήσαντες, οὐκ ἔτι ἐχρῶντο τῇ τύχῃ μετρίως. αἵ τε γὰρ
πόλεις τῶν Γότθων αὐτοῖς ἀνεπετάννυντο, καὶ δὴ φρούρια ἐχυ-
P. 27 ρὰ καταλαβόντες ἐπίδοξοι ἦσαν πανσυδὶ αὐτοῖς ἐπεισπεσεῖσθαι.
ταῦτα ἄρα οἱ στρατηγοὶ ὡς πλησιέστατα Ῥαβέννης ἱκέσθαι
διενοήθησαν, καὶ ταύτῃ τοὺς πολεμίους ἀλέασθαι, ἐπεὶ μηδὲ
ἀξιόμαχοι αὐτοῖς ᾤοντο εἶναι. τούτων δὲ τῷ Ναρσῇ ἀπηγγελ-
μένων, ἤσχαλλε μὲν ὅγε καὶ ἐδυσφόρει ἐπὶ τῇ τῶν βαρβάρων
ἀλαζονείᾳ, καὶ τῷ Φούλκαριν ἀθρόον ἀπολωλέναι, ἄνδρα οὐ
τῶν ἀσήμων καὶ λανθανόντων, ἀλλ' ἀνδρειότατον ἐν τοῖς μά-
V. 24 λιστα καὶ ἀρίδηλον, νίκας τε πολλὰς ἀναδησάμενον, καὶ οἷον

2. πεποίηντο R. 5. Βιταλιανοῦ R. et Intpr., Βουταλιανοῦ vulg. 10. εὐημερίσαντες R. 12. καὶ δὴ R., καὶ ἤδη vulg. et Intpr. φρούρια ἐχυρὰ R. et Intpr., φρούριον ὀχυρὸν vulg. 13. πανσυδὶ R., πασυδὶ vulg. ἐπεισπεσεῖσθαι R., ἐπιπεσεῖσθαι vulg. 14. πλησιέστατα R., πλησιέτατα vulg.

vitae exitum ac finem. Hac itaque clade Romanis illata Francis multum animi roborisque accessit. Gothi vero Aemiliam et Liguriam proximaque loca incolentes, qui antea infidam quidem illam et non sinceram, pacem tamen belliqùe societatem metu potius impulsi quam voluntate adducti cum Romanis inierant, animis recuperatis, foederibusque aperte ruptis, confestim ad barbaros ut morum vitaeque similitudine coniunctos sese contulerunt. Copiae vero Romanorum quas Ioannes Vitaliani filius, ut antea dixi, et Artabanes ducebant, et ex Herulis quotquot fuga evaserant, Faventiam statim sese receperunt. Censebant enim praefecti ex re sua non esse circa Parmam diutius haerere, cum hostiles copiae eo confluxissent, et quod, cum inopinato prospere rem gessisent, non amplius utebantur fortuna moderate. Nam Gothorum urbes ipsis aperiebantur, et iam valido praesidio recepto, manifeste videbantur omnibus viribus impressionem in ipsos facturi. Quamobrem praefecti copiarum quam proxime fieri posset Ravennam concedendum iudicabant, eaque ratione hostium impetum declinandum; quippe qui conserendo cum ipsis praelio impares essent. Hisce vero rebus Narseti nuntiatis, dolebat quidem ille molesteque ferebat barbarorum insolentiam, et quod Fulcaris ita subito periisset, vir non e multis et obscurus, sed

οὐ πώποτε ἂν πολεμίοις, οἶμαι, ἁλῶναι, εἰ μετῆν ἐν μέρει καὶ A. C. 552 εὐβουλίας τῇ ῥώμῃ. τούτων μὲν οὖν ἕκατι ὑπερήλγει καὶ ὠλο- I. I. 26 φύρετο, οὐ μὴν, ὥσπερ οἱ πολλοὶ, κατεπέπληκτό γε καὶ ἐδεδίει, B ἀλλὰ καὶ τὸ ἀμφ' αὐτὸν στράτευμα, ἐπειδὴ αὐτοὺς ἑώρα τῷ παραδόξῳ κατεπτηχότας, ἔγνω παραίνεσιν αὐτοῖς ἐν κοινῷ ποιήσασθαι, ὡς ἂν πρὸς εὐψυχίαν αὐτοὺς ἀνακαλέσοιτο, καὶ τὸ δεδιὸς ἐκθεραπεύσοι.

ιϛ'. Ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων ἐς τὰ μάλιστα καὶ δραστήριος, καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι, καὶ παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν, οὐδὲ τὰ τῆς εὐγλωττίας ἐπεφρόντιστο, φύσεως δὲ ὅγε δεξιότητι διέπρεπε, καὶ παραστῆσαι οἷός τε ἦν λόγῳ τὰ βεβουλευμένα· καὶ ταῦτα τομίας γε ὢν, καὶ ἐν τοῖς βασιλείοις τρυφερώτερον ἀνατεθραμμένος. ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς, καὶ ἐς ἰσχνότητα ἐκδεδιῃτημένος. τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν ἐς τοσοῦτον ἐκέκτητο, C ἐς ὅσον ἀμέλει καὶ ἀπιστεῖσθαι. οὕτως ἄρα ὅτῳ ἂν ἐν τῇ ψυχῇ φρόνημα ἐλευθέριόν τε καὶ γενναῖον ἐνῇ, τούτῳ δὲ οὐδὲν ὁτιοῦν κώλυμα γίγνεται, μὴ οὐχὶ εἶναι ἀρίστῳ. τότε δὴ

1. οἶμαι add. ex R., Lugd. mg., Intpr. *crediderim.* 2. εὐβουλίας R. et Lugd., εὐβουλία vulg. ὑπερήλγει R., Intpr. *dolore afficiebatur ingenti*, vulg. ὑπερῄμει. 3. κατεπέπληκτό γε R., κατεπ...τε Lugd., κατέπτηχέ τε vulg. ex mg. Lugd. 4. αὐτὸν R., Intpr. *qui circa se erat*, αὐτὸ vulg. 6. αὐτοὺς R. (Cl.), αὐτοῖς vulg. 8. Suid. s. v. *Ναρσῆς*; εὔφρων. 10. μετῆν R. et Suid., μεστῶς vulg., Lugd. in mg. *μετὸν*. 13. τρυφερώτατα Suid. l. l. Sed idem s. v. τομίας vulg. servat. 14. ἐν ἰσχνότητι Suid. l. l. 16. ὅτῳ R. pr. m. et Intpr. *cui animus insit*, ὅτε vulg., ὅτ' R. ex corr. 18. ἀρίστῳ R., ἀρίστως vulg. Pro τότε δὴ οὖν ὁ N. R. τότε δὲ ὁ N.

strenuus imprimis, multisque victoriis clarus, qui nunquam ab hoste vinci potuisset, si prudentiam cum fortitudine coniunctam habuisset. Hisce igitur de causis lugebat quidem ille et lamentabatur, non tamen, ut multi, animo cadebat aut formidabat; sed cum circumstantes ipsum copias inopinata clade consternatas videret, adhortationem sibi in publico habendam censuit, qua eos ad animi praesentiam revocaret metumque eximeret.

16. Erat enim Narses prudens imprimis et industrius, valdeque peritus accommodandi se cuivis fortunae atque eventui; et doctrinae quidem aut eloquentiae non magnopere studuerat, naturae vero dexteritate eminebat; poteratque animi sui sensa commode explicare ac demonstrare; et haec quidem spado existens, et in aulis regum molliuscule habitus. Erat autem et statura corporis brevi, et ad gracilitatem educatus, adeo vero strenuus magnisque rebus gerendis par, ut propemodum fidem superaret. Ex quo satis liquet, ei qui liberali et generoso animo sit praeditus, nihil impedimento esse posse, quo minus quavis in re plurimum valeat. Tunc itaque Narses in medium exercitus progressus, in hunc modum verba facit: Qui

A. C. 552 οὖν ὁ Ναρσῆς παρελθὼν ἐς μέσον τῆς στρατιᾶς, ἔλεξε τοιάδε·
I. I. 26 „Τοῖς μὲν εἰθισμένοις ἑκάστοτε τῶν πολεμίων κρατεῖν, καὶ διὰ παντὸς αἰσίων πειρᾶσθαι τῶν ἔργων, τούτοις εἴ γέ τι καὶ πρὸς βραχὺ μὴ καθόσον οἴονται χρῆναι συμπέσοι, παραιρεῖται τὸ χαῖρον εὐθὺς, καὶ τὰς ἐλπίδας ἀμβλύνει. ἐγὼ δὲ προσήκειν οἶμαι τοῖς ἔμφροσιν ἐν ταῖς εὐπραγίαις τῇ τύχῃ μὴ συνεξαίρεσθαι, ἀλλ' ὡς ῥᾴδιον ὂν μεταβολὴν γίνεσθαι τῶν
D παρόντων, οὕτως ἀεὶ παρεσκευάσθαι τὰς γνώμας. τοῖς γὰρ ὧδέ πως ἔχουσιν τρόπου, ἥδιστον μὲν εὐτυχία φανεῖται, οὐ σφόδρα δὲ λυπηρὸν εἴπου καὶ παρὰ γνώμην σφαλεῖεν. ὁρῶ τοίνυν ὑμᾶς, ὦ ἄνδρες, πλέον ἢ κατὰ τὸ συμβὰν ἀνιωμένους, καὶ δῆλον ὡς οὐχ ἑτέρωθεν τοῦτο πεπόνθατε, ἢ μόνον τῷ πέρα τοῦ μετρίου μεγαλαυχεῖν τῇ τοῦ νικᾷν συνηθείᾳ, καὶ μηδέποτε διαμαρτεῖν δυνηθῆναι οἰηθῆναι, ὥστε, εἰ τήνδε τὴν δόξαν ἀφέντες μόνον καθ' ἑαυτὸ σκοπήσοιτε τὸ πραχθὲν, οὐκ ἂν ὑμῖν ὀφθείη τηλικοῦτο δεινὸν, ὁπόσον ἄλλως ἡγεῖσθε. εἰ γὰρ
P. 28 καὶ Φούλκαρις ὁ στρατηγὸς, ἅτε δὴ βάρβαρος, καὶ τὸ προπετὲς ἐπιχωριάζων πρὸς τοσαῦτα πολεμίων πλήθη σὺν ἀκοσμίᾳ διακινδυνεύσας, μετέσχεν ἐκείνων εἰκότως ὥνπερ ἀκόλου-

7. ὢν R. 9. ὧδέ πως R., ὧδέ πη vulg. τρόπου add. ex R., Lugd. h. l. lacunam habet. 10. καὶ παρὰ γνώμην R., Intpr. *praeter sententiam*, vulg. τυχὸν καί. 11. ὦ add. ex R. et Intpr. 12. τὸ πέρα R. 14. οἰηθῆναι vulg. om., verum R. om. δυνηθῆναι. Utrumque posui, auctore Intpr. *quia in animum induxistis, nulla in re aut falli aut peccare vos posse.* 14. τὴν om. Par. 15. ἐφ' ἑαυτὸ R., ἐφ' ἑαυτῷ coni. Cl. σκοπήσητε R. 16. τηλικοῦτο R., τηλικοῦτον vulg. 18. ἐπιχωριάζων R., ἐπιχωριάζον vulg. 19. ὥνπερ ἀκόλουθον R. et Lugd., ὧν παρακόλουθον edd.

quotidianis de hostibus victoriis rebusque prospere perpetuo gerendis sunt assuefacti, iis si quid forte etiam ad breve tempus non plane ex animi sententia accidat, et laetitiam intercipit et spes obtundit. Ego vero ita censeo, viros prudentes in rebus prosperis nequaquam cum fortuna extolli debere, sed ut facilis est et proclivis rerum praesentium immutatio, ita semper praeparatos in omnem eventum animos gerere. Iis enim qui ita affecti sunt, suavissima quidem res videbitur prosperitas; non valde tamen acerba ac molesta, si forte aliquando spe sua excidant. Video itaque vos, viri, plus quam casus iste postulet, angi; neque aliunde hoc proficisci quam ex hoc uno, quod ultra modum vincendi consuetudine gloriemini, quasi nunquam labi possitis; quocirca si hac opinione deposita factum ipsum per se consideretis, non tam atrox et grave, quam alioqui putatis, videbitur. Si enim Fulcaris, utpote barbarus, patrio more temere adversus tantam hostium multitudinem ordine omni neglecto congressus, consentaneas suae temeritatis poenas luit: at vos, o viri, neque sic in praesenti animis cadere, neque ab instituto discedere oportet. Turpe enim

θον ἦν· ἀλλ' ὑμῖν, ὦ ἄνδρες, οὐδ' ὥς ἀποκνητέον τὰ νῦν, A. C. 552
οὐδὲ τὰ προεγνωσμένα μεταθετέον. αἰσχρὸν γάρ, εἰ Γότθων I. I. 26
μὲν οἱ περιόντες, καὶ ταῦτα τοῦ γένους αὐτοῖς διαῤῥυέντος,
οἱ δὲ καὶ συμμαχίας ἐπάγονται, καὶ μείζους ἡμῖν ἐγείρουσι
πόνους, καὶ οὐ παντελῶς ἀπειρήκασι πρὸς τὰς τύχας, ἡμεῖς
δὲ νῦν ἡττῆσθαι μόνον ὑποτοπήσαντες τῷ μὴ σφόδρα νενικη-
κέναι, καταπροήσομεν τῶν προϋπαρξάντων τὴν εὔκλειαν, ἀπο-
βαλόντες τὴν προθυμίαν. καίτοι χαίρειν ἡμῖν μᾶλλον προσή- B
κει ἐπὶ τῷ γεγενημένῳ. ἐν τούτῳ γὰρ οἶμαι τὸ ὑπερβάλλον τῆς
εὐτυχίας κεκόλασται, καὶ τὸ λίαν διαφθονεῖσθαι πεφεύγαμεν,
καὶ τολοιπὸν θαῤῥεῖν ἡμῖν πάρεστι τοὺς ἀγῶνας, ὡς ἐνθέν-
δε πάλιν νικᾶν ἀρχομένοις. εἰ γὰρ καὶ πλήθει σεμνύνεται τὸ
πολέμιον, ἀλλ' εὐκοσμίᾳ γε κατὰ τὸ μᾶλλον αὐτῶν, ἢν σω-
φρονῶμεν, περιεσόμεθα, μαχούμεθά τε πρὸς ἄνδρας ἐπήλυ-
δας, καὶ τῶν ἐπιτηδείων, ὥσπερ εἰκός, ἀποροῦντας, εὖ τού-
των ἡμεῖς ἔχοντες· φρούρια δὲ πολλὰ καὶ πόλεις ἀσφάλειαν
ἡμῖν, εἴπου δεήσει, παρέξουσι, τοῖς δὲ ταῦτα οὐκ ἔσται. συν-
αγωνιεῖται δὲ καὶ τὸ κρεῖττον ἡμῖν, ὡς σφόδρα δικαίως ὑπὲρ
τῶν οἰκείων ἀμυνομένοις. οἱ δὲ τὴν ἑτέρων δῃοῦσιν. οὕτω
πανταχόθεν ἡμῖν τὸ μὴ λίαν εὐέλπιδας εἶναι παράλογον, μὴ C

4. μείζους R., μείζονας vulg. 8. προσήκει ἐπὶ τῷ γεγενημένῳ R., ἐπὶ τῷ γεγενημένῳ προσήκει vulg. 10. κεκόλασται R. Lugd. (Cl.), κεκόλασθαι edd. 12. πάλ. νικ. ἀρχ. Intpr. *nos posse et detrimenta sarcire et certamina vincere.* σεμνύνεται R. Lugd., σεμνύνηται edd. 13. κατὰ τὸ μᾶλλον. Intpr. *et providentia*: καὶ προμηθείᾳ, quod praetulerim. 16. πολλὰ add. ex R. ἀσφάλειαν R., ἀσφαλείας vulg. 17. δεήσει R., δεήσοι vulg. ταῦτα R., ταῦτ' vulg. 18. κατὰ τὸ κρεῖττον R. 19. ἑτέρων δῃοῦσιν R. et Intpr. *aliena depopulentur*, ἑτέραν δοκοῦσιν vulg. οὕτως R.

fuerit, si Gothorum reliquiae tota fere gente deleta belli gerendi socios sibi adsciscunt, et plus negotii nobis facessunt, neque plane tanta clade accepta animum despondent: nos vero nunc eo solum nomine victos nos existimantes, quod non continue vicerimus, praeteritarum rerum gloriam amittamus, animum abiicientes, cum potius gaudere nos hoc casu conveniat. Nam hoc ipso nimia fortunae prosperitas castigata est, et nimiam cui obnoxii eramus invidiam subterfugimus; et deinceps fidentiore animo proelia adire nobis licebit, facto nobis hinc rursus vincendi initio. Etsi enim hostes multitudine se iactant et gloriantur, at nos certe ordinis militaris praestantia longe ipsis, si sapimus, erimus superiores. Pugnamus etiam adversus peregrinos, et rerum necessariarum, uti par est, penuria laborantes, cum nobis abunde omnia suppetant. Castella et oppida securitatem nobis, si quando opus fuerit, praebebunt. Illos vero haec deficient. Quin et Deum ipsum adiutorem fautoremque sumus habituri, quippe qui iuste res nostras tue-

A. C. 552 τί γε δεδιέναι. οὐκοῦν Λουκανοῖς τε τούτοις μηδαμῶς ἐφῶ- L. I. 26 μεν ἀναπνεῦσαι τῆς πολιορκίας, καὶ πρὸς τὸν ὅλον πόλεμον ἅπας τις ὑμῶν ἐμμελέστατα τῇ προθυμίᾳ παρεσκευάσθω.”

ιζ'. Τοιαῦτα ὁ Ναρσῆς εἰπὼν, ἐθάρσυνέ τε αὐτίκα τὸ στράτευμα, καὶ μᾶλλον ἀκριβῆ τὴν πολιορκίαν πρὸς τοὺς Λουκανοὺς ἐποιεῖτο. ἐχαλέπαινε δὲ τοῖς ἄλλοις στρατηγοῖς, ἀνθ' V. 25 ὧν τὰ ἐπίκαιρα χωρία καταλιπόντες, οἱ δὲ ἐς Φαβέντειαν ἐτύγχανον ἀφιγμένοι, καὶ ἐς τοὐναντίον αὐτῷ τὰ τῆς προμηθείας ἐχώρει. ὁ μὲν γὰρ ἀμφὶ Πάρμαν τὴν πόλιν ὥσπερ ἐν προβόλου καὶ ἐρύματος μοίρᾳ τετάχθαι τὰ ξὺν ἐκείνοις στρατεύματα χρῆναι ἡγεῖτο, ὅπως οἱ μὲν κώλυμα εἶεν τοῖς ἐναν- D τίοις ἐς τὰ πρόσω ἰέναι, αὐτὸς δὲ κατὰ σχολὴν εὖ μάλα τὰ ἐς Τουσκίαν ἅπαντα καταστησάμενος, εἶτα ἐπ' αὐτοὺς διαβαίη. νῦν δὲ ἐκείνων πόῤῥω μεταναστάντων, ξυνέβαινε τοὺς ἀμφὶ τὸν Ναρσῆν προτέρους ἐκκεῖσθαι τοῖς πολεμίοις· οὔκουν ἀνεκτὸν τοῦτο ἡγούμενος, ἔστελλεν αὐτίκα ὡς τοὺς στρατηγοὺς ἄνδρα τῶν οἱ ἐς τὰ μάλιστα ἐπιτηδείων, ᾧ δὴ Στέφανος μὲν ὄνομα ἦν, πατρὶς δὲ πόλισμα Ἰλλυρικὸν ἡ Ἐπίδαμνος, ἐπικερτομήσοντά γε αὐτοὺς τῆς δειλίας, καὶ διελέγξοντα ὡς πεφώραν- P. 29 ται τὰ κοινὰ καταπροέμενοι, εἰ μὴ αὖθις ἐς τὰ πρότερα ἐπανήξοιεν. Στέφανος μὲν οὖν ἄνδρας ἐς διακοσίους ἱππότας μαχιμωτάτους καὶ τῇ ὁπλίσει ἄριστα ἐσκευασμένους ἐπαγόμενος,

1. τί γε R. et Intpr. τοίγε vulg. 14. πόῤῥω R., πόῤῥωθεν vulg. 15. Post Ναρσῆν inserit Intpr. *Lucensi omissa obsidione.* 18. πόλισμα R., Intpr. *castello*, ὄνομα vulg. 19. γε R., τε vulg. 22. ἐπαγομένους Par.

amur, cum illi alienis inhient: adeo omni ex parte non bene sperare nos, nedum timere, est rationi dissentaneum. Quocirca Lucensibus his nullum obsidendo respirandi locum demus, et ad acre bellum quisque vestrum summa cura alacritateque se comparet.

17. His dictis Narses et militum animos erexit et arctiore obsidione Lucenses pressit. Aliis vero praefectis militaribus graviter succensebat, quod opportunioribus locis derelictis, Faventiam sese contulissent, et in contrarium ipsi consilia sua cessissent. Nam ipse circa Parmensem urbem copias, quibus illos praefecerat, pro vallo ac propugnaculo collocari oportere censuerat, ut hae quidem hostes, ne ulterius procederent, prohiberent; ipse vero, rebus omnibus in Tuscia quam optime constitutis, ita tandem ad ipsos se transferret. Nunc vero cum illi procul inde discessissent, fiebat, ut quae circa Narsetem erant copiae, primae hostibus expositae essent. Quod quidem cum minime ferendum existimaret, confestim ad praefectos illos perquam idoneum virum misit, cui Stephano quidem nomen erat, patria vero Epidamnus, oppidum Illyricum, qui eos acribus verbis timiditatis insimularet publicique boni desertores, nisi rursus ad priora loca se reciperent. Stephanus itaque, ducentis equitibus bellicosissimis optimaeque armaturae viris secum ductis, quam celerrime iter fecit,

ὡς τάχιστα ἥει, μόχθῳ δὲ ξὺν πολλῷ καὶ ἀγρυπνίᾳ τὴν πο- A. C. 552 ρείαν ἐποιοῦντο. ἀπόμοιρα γὰρ τῶν Φράγγων ἀνὰ τὰ τῇδε I. I. 26 πεδία ἐφοίτων, χιλοῦ τε ἕνεκα καὶ τῆς λείας, ἣν ἐκ τῶν ἀγρῶν ἀφῃροῦντο. νύκτωρ τοιγαροῦν οἱ Ῥωμαῖοι τὰ πλεῖστα ἐχώρουν, ξυνεστραμμένοι τε ἐπὶ σφᾶς καὶ ἀλλήλους ὀπισθοφυλακοῦντες, ὡς, εἰ δεήσοι, καὶ διαμάχεσθαι οὐκ ἀπαράσκευοι φανησόμενοι. οἰμωγαὶ δὲ ἠκούοντο τῶν ἀγροίκων, καὶ μυκήματα βοῶν ἀπελαυνομένων, καὶ πάταγοι τῆς ὕλης διατεμνομένης. B καὶ τοῖς τοιούτοις δεινοῖς πανταχόθεν παραβομβούμενοι, μόλις ἐς Φαβέντειάν τε καὶ τὸ στρατόπεδον ἵκοντο. τότε δὴ οὖν ἐς ὄψιν ἐλθὼν τοῖς στρατηγοῖς, „τί δὴ ταῦτα," ἔφη ὁ Στέφανος, „ὦ γενναῖοι, πεπόνθατε; ποῦ δὲ τῶν προτέρων ἔργων ἡ εὔκλεια καὶ ἡ τῶν τοσούτων τροπαίων ὁμολογία; πῶς δὲ ἂν Ναρσῆς Λουκανούς τε ἕλοι, καὶ τὰ ἐντὸς Ἄλπεων ἅπαντα παραστήσοιτο, ὑμῶν γε μονονουχὶ ὥσπερ ἐν ξυνθήκαις δίοδον τοῖς πολεμίοις παρασχομένων, καὶ ἐφέντων αὐτοῖς, οἷ βούλοιντο κατ' ἐξουσίαν ἰέναι; καὶ ἐγὼ μὲν οὐδέν τι φλαῦρον εἴποιμι ἐς ὑμᾶς, ἄλλος δέ τις ἴσως ἐρεῖ μαλακίαν εἶναι τὸ χρῆμα, καὶ τῶν κοινῇ συνοισόντων ὀλιγωρίαν. εἰ μὴ γὰρ φθάσοιτε θᾶττον ἐς Πάρ- C μαν ἐπανελθόντες, Ναρσῆς μὲν οὔποτε ἀνήσει χαλεπαίνων, καὶ

1. Pro ἥει R. εἴη. μόχθῳ δὲ R. Lugd., μόχθῳ δὴ edd. 3. ἐφοίτων R., Suid. s. v. ἀπόμοιρα: ἐφοίτα. 4. νυκτὸς R. 5. τ' ἐπὶ R. 7. μηκύματα vulg. 8. βοῶν R. et Suid. s. v. πάταγος, vulg. τῶν βοῶν. πάταγος Suid. 10. καὶ τὸ στρατόπεδον ἵκοντο R., καὶ στρατόπ. ἤκοντο vulg. 13. τοιούτων R. Pro ὁμολογία Vulcan. coni. ὀγκολογία. Intpr. *commemoratio*. 14. Λουκανοὺς R. et Intpr., Λούκαν vulg.

idque maximo cum labore maximisque vigiliis. Francici enim exercitus pars quaedam campos late omnes pervagabatur, partim pabulandi, partim praedae ex agris agendae causa. Noctu itaque ut plurimum Romani iter faciebant, conglobati inter se mutuoque sibi tergum munientes, ne, si pugnandum esset, imparati deprehenderentur. Eiulatus itaque agrestium exaudiebantur, et boum abactorum mugitus, eque lignatione, quam in silvis faciebant, fragor; et talibus quidem horroribus omni ex parte eorum aures personantibus, aegre tandem Faventiam et ad exercitum pervenerunt. Tum itaque cum in praefectorum conspectum venisset, Ecquid mali, inquit Stephanus, vos cepit, o viri? ubi vero nunc praeteritorum factorum gloria, et tot victoriarum iactantia? Quonam vero pacto Narses et Lucam capere et quae intra Alpes sunt, omnia in suam potestatem redigere possit, vobis tantum non veluti ex pacto transitum hosti dantibus, et quocunque velit eundi potestatem facientibus? Atque ego quidem acerbius nihil in vos dicam; alius vero forsitan aliquis mollitiem ignaviamque factum vestrum interpretabitur, et rerum, quae ad publicum bonum spectent, neglectum. Nisi enim quam primum Parmam vos receperitis, Narses quidem indignationem, quam

A. C. 552 καταιτιώμενος ὑμᾶς τῶν ἐσομένων, εἴ γέ τι ἀντίπαλον ξυν-
L. I. 26 ενεχθείη. σκοπεῖτε δὲ, ὦ λῷστοι, ὅπως μὴ καὶ βασιλεὺς νε-
μεσήσῃ."

ιή'. Ταῦτ' ἀκούσαντες οἱ στρατηγοὶ καὶ Ναρσοῦ εἶναι ἐγνω-
κότες, ὡς μὲν οὐ δίκαια σφίσιν ἐπικαλοίη, λέγειν οὐκ εἶχον.
σκήψεις δέ τινας προΐσχοντο καὶ αἰτίας, ὡς ἄρα πρὸς ἀνάγκης
μεταναστaῖεν, ἅτε οὐκ ἐνὸν ἐν τοῖς περὶ Πάρμαν χωρίοις τῶν
ἐδωδίμων τοῖς στρατιώταις ἐς τὸ ἀποχρῶν μεταλαγχάνειν· μη-
δὲ γὰρ παρεῖναι Ἀντίοχον ἐνταῦθα τὸν ὕπαρχον, ᾧ τὰ τοιάδε
ἀνεῖται. οὐ μέντοι ἀλλ' οὐδὲ τὸ χρυσίον τὸ εἰωθὸς αὐτοῖς δια-
D νενεμῆσθαι. Στέφανος δὴ οὖν ὡς τάχιστα ἐν Ῥαβέννῃ ἀφι-
κόμενος, τόν τε ὕπαρχον ἐνθένδε ὡς τοὺς στρατηγοὺς ἤγαγε,
καὶ τὰ ἀμφίβολα ὡς οἷόν τε ἦν ἀκεσάμενος, ἔπεισεν ἅπαντα
αὐτίκα παλινδρομῆσαι, καὶ αὖθις πρὸς τὴν Πάρμαν στρατο-
πεδεύσασθαι. ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἐς Λοῦκαν ἐ-
πανῆκε, θαρσεῖν τε ἔφασκε τῷ Ναρσῇ, καὶ σὺν προμηθείᾳ ἔχε-
σθαι τῶν πραγμάτων. μηδὲ γὰρ παρενοχλήσειν αὐτῷ τοὺς πο-
λεμίους, ἀλλ' εἴργεσθαι τὰς ἐκείνων ὁρμὰς, τῶν Ῥωμαϊκῶν
αὐτοῖς ταγμάτων ἐν δέοντι αὖθις ἐφεδρευόντων. Ναρσῆς δὴ
P. 30 οὖν τολοιπὸν οὐκ ἀνεκτὸν εἶναι ἡγούμενος, εἰ μέλλοιεν οἱ
Λουκανοὶ ἐπιπλεῖστον ἀντέχειν, οὕτω πως ἀνειμένα πολιορ-

2. νεμεσήσῃ R., νεμεσήσοι vulg. 4. ταῦτα R. 5. λέγειν R. om. in ord., in mg. εἰπεῖν. 9. ὕπαρχον. Intpr. hic et mox *eparchum* habet. 13. ἅπαντα om. R. 14. πρὸς τῇ Πάρμᾳ R. 15. διαπραξάμενος. Intpr. *brevi peractis*. 19. αὐτοῖς R., Intpr. *Romanis exercitibus his — instantibus*, αὐτῷ vulg.

animo suo concepit, non deponet, neque desinet vobis imputare, si quid adversi ei acciderit. Cavete vero, viri optimi, ne et Imperator vobis succenseat.

18. His auditis praefecti, et a Narsete haec proficisci non ignorantes, iniuste quidem sese insimulari dicere non poterant, sed excusationes quasdam praetendebant et causas, quod videlicet necessitate coacti statione sua cessissent; quippe qui ex circumiectis Parmae locis non satis commeatus militibus nancisci potuissent; neque Antiochum praesidem, cui ea cura commissa erat, ipsis adfuisse; sed neque stipendia consueta ipsis persoluta. Stephanus itaque summa celeritate Ravennam reversus, et praesidem illinc ad praefectos militiae perduxit, et difficultatibus omnibus, quoad fieri poterat, sublatis, persuasit omnibus, ut revocato itinere rursum ad Parmam castra transferrent. His vero ita peractis, Lucam reversus, Narseti dixit, bono animo ut esset, alacriterque institutum suum urgeret. Neque enim ipsi obfuturos hostes, sed Romanorum legiones opportuna rursum loca insidentes ipsorum impetus repressuras. Narses itaque deinceps nequaquam ferendum ratus, Lucenses diutissime resistere remissius

κούμενοι, ἐπέλαζε τοῖς τείχεσιν ἀφειδῶς· καὶ αὐτίκα αἵ τε A.C. 552
ἑλεπόλεις μηχαναὶ προσήγοντο, καὶ ἀνὰ τὰς τύρσεις πυρφόρα I. L. 26
ἐῤῥίπτοντο βέλη. οἵ τε ἐς τὰ μεταπύργια φαινόμενοι, ἐβάλ-
λοντο λίθοις τε καὶ τοξεύμασιν· καὶ διετέμνετό ἐστιν οὗ ἡ τοῦ
περιβόλου οἰκοδομία, καὶ ἅπασα ἰδέα κακοῦ περιεστήκει τὴν
πόλιν. οἱ μὲν οὖν πρότερον ὁμηρεύσαντες τότε δὴ πλέον ἔπρασ- V. 26
σον ἐς τοὺς Ῥωμαίους. καὶ τόγε ἐπ' ἐκείνοις, τάχιστα ἂν B
ἅπασα ἡ πόλις ὑπεκλίθη· νῦν δὲ οἱ τῶν Φράγγων ἁρμοσταί,
οἳ δὴ ἐτύγχανον ἔνδον ἐπὶ φρουρᾷ τοῦ ἄστεος ἐγκαταστάντες,
ἐνέκειντο παροτρύνοντες πολεμεῖν, καὶ τοῖς ὅπλοις διωθεῖσθαι
τὴν πολιορκίαν. αὐτίκα δὴ οὖν αἵ τε πύλαι ἀνεπετάννυντο, καὶ
ἐπεκδρομὰς ἐξαπιναίους ἐς τοὺς Ῥωμαίους ἐποιοῦντο, ταύτῃ
οἰόμενοι περιέσεσθαι. ἀλλ' ἔμελλον οἵ γε δρᾷν μὲν ἐλάχιστα
τοὺς πολεμίους, μεγάλα δὲ ἡλίκα πημαίνεσθαι. οἱ γὰρ δὴ πλεῖ-
στοι τῶν Λουκανῶν ἤδη ἀναπεπεισμένοι ὑπὸ τῶν ἔνδον πρασ-
σόντων, ἐθελοκακοῦντες ἐμάχοντο. ἐπεὶ δὲ αὐτοῖς, θαμὰ πει-
ρωμένοις, οὐδὲν τῶν ἐλπισθέντων προὐχώρει, ἀλλά, πολλοὺς
τῶν σφετέρων ἀποβάλλοντες, αἰσχράς τε καὶ ἀγεννεῖς ἀναχωρή- C
σεις ἐποιοῦντο, αὖθίς τε εἴσω τοῦ περιβόλου γενόμενοι ἀκριβέ-
στερον ἐγκατείργοντο, ὡς μηκέτι αὐτοῖς εἶναι ἐξιτητέα· τότε δὴ
ἅπαντες ὡς οὐχ οἷόν τε ὂν αὐτοῖς ἄλλως σφᾶς αὐτοὺς διασώ-
σασθαι, μετεβάλλοντο πρὸς ἀνάγκης ἐς τὸ εἰρηναῖον τὰς γνώ-

1. ἐπέλαβεν R. 6. Post πλέον add. Intpr. *civibus optime consulendo.* 7. ἐς R., εἰς vulg. 12. ἐξαπιναίως R. 22. μετεβάλλοντο R. εἰρηναῖον R., Intpr. *ad pacem animum induxerunt*, ἀνειμένον vulg.

obsessos, muro intrepide appropinquavit, statimque machinae oppidis capiendis accommodatae admovebantur, et in pinnas interioremque ambitum murorum ignita tela emittebantur; quique in turrium intervallis comparebant, saxis et sagittis petebantur: quadam etiam ex parte moenia iam erant diruta, atque adeo omne mali genus urbem premebat. Tum itaque qui antea obsides fuerant, obnixius pro Romanis apud suos agebant; neque per ipsos stetit, quo minus universa civitas ad deditionem inclinaret: nunc vero Francorum moderatores qui intus erant ad praesidium custodiamque urbis constituti, infestis animis eos ad pugnandum concitabant, utque armis obsidionem propulsarent. Statim itaque apertis portis repentinam in Romanos eruptionem fecerunt, existimantes se hac ratione fore superiores. Sed re ipsa visi sunt hi quam minimum hostibus profuisse, immo potius maximo damno eos affecisse. Plerique enim Lucenses persuasi iam ab iis, qui intus eos ad deditionem sollicitabant, de industria minus strenue pugnabant. Postquam vero re frequenter tentata irriti essent conatus, et multis suorum desideratis turpiter parumque generose pedem retro ferre cogerentur, denuoque intra muros repulsi, acrius obsessi clausique tenerentur, perinde ac si iam ipsis omnis excundi

A. C. 552 μας, καὶ τὸ παρὸν εὖ διαθεῖναι ἠβούλοντο. καὶ οὖν αὐτίκα τὰ
I. I. 26 πιστὰ κομισάμενοι πρὸς Ναρσοῦ, ὡς οὐδὲν αὐτοῖς τῶν προγεγενημένων ἕνεκα ὀργιεῖται, τήν τε πόλιν παρέδοσαν, καὶ εἰσεδέχοντο ἄσμενοι τὸν στρατὸν, τριῶν ἤδη μηνῶν ἐν τῇ πολιορκίᾳ τριβέντων, καὶ ἦσαν αὖθις βασιλέως τοῦ Ῥωμαίων κατήκοοι.

ιθ'. Ναρσῆς δὲ, ἐπεὶ ἐξεπολιόρκητό οἱ ἡ Λοῦκα, καὶ οὐ-
D δὲν ἔτι ἀντίπαλον ἦν, ἀποδιατρίψαι μὲν ἐν αὐτῇ οὔ τι μάλα ᾤετο χρῆναι, οὐδ' ὅσον ἀναπνεῦσαι τῶν πόνων· καταλιπὼν δὲ αὐτοῦ Βόνον τὸν στρατηγὸν τὸν ἐκ Μυσίας τῆς πρὸς τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης, ἄνδρα συνέσεώς τε ἐς ἄκρον ἥκοντα, καὶ λίαν ἀγαθὸν τά τε πολιτικὰ καὶ πολέμια, δύναμίν τε αὐτῷ παραδοὺς ἀξιόχρεων, καὶ ὅση ῥᾳδίως ἤμελλεν, εἴ καί τι νεωτερίσοιεν οἱ τῇδε βάρβαροι, περιέσεσθαι καὶ καθέξειν· ταῦτα δὴ οὖν οὕτω καταστησάμενος, ἠπείγετο ἰθὺ τῆς Ῥαβέννης ἰέναι, ἐφ' ᾧ τὰ ἐνταῦθα στρατεύματα ἐς τὸ διαχειμάζειν μεθήσει· ἐπειδὴ γὰρ τὸ μετόπωρον ἤδη ἐτελεύτα, καὶ ἀμφὶ τὰς χειμερίους τροπὰς ταῦτα ἐπράσσετο, πολεμητέα μὲν οὔ οἱ ἐς
P. 31 ἐκεῖνο τοῦ καιροῦ εἶναι ἐδόκει. ἦ γὰρ ἂν τοῦτο ὑπὲρ τῶν Φράγγων ἔμελλεν ἔσεσθαι, οἷς γε πολέμιον μὲν τὸ πνῖγος, καὶ πλείστην ἐντίθησι δυσθυμίαν, καὶ οὐκ ἄν ποτε θέρους ἑκόντες

3. παρέδοσαν R. et Intpr. *tradita civit.*, προέδοσαν vulg. 5. τοῦ Ῥωμαίων R., τῶν Ῥωμαίων vulg. 7. ἐν αὐτῇ R., ἐν τῇ vulg. 9. Βόνον στρατ. R. et Intpr., μόνον τὸν στρατ. vulg. Μυσίης R. 10. ἄνδρα om. R. 12. ὅσῃ Cl., confirmat Intpr., ὅση R. et vulg. ἤμελεν vulg. νεωτερίσειεν R. 17. οὔ οἱ. R. a 2. manu habet οὐχ οἱ. 20. θέρους R., θέρει vulg.

potestas esset adempta: tum vero omnes tamquam nulla alia salutis spe reliqua, ad tranquilliora consilia animum adiecerunt, et praesenti rerum statui recte consulendum statuerunt. Confestim itaque fide a Narsete accepta, quod nequaquam ipsis praeteritarum rerum causa esset infensus, urbem dediderunt, exercitumque libentes in eam admiserunt, tribus iam mensibus in obsidione consumtis: sicque iterato Lucenses Romanorum regi paruerunt.

19. Narses vero expugnata Luca, cum iam nihil hostile reliquum esset, longiorem ibi moram trahendam minime censebat, et ne tantillum quidem respirandum a laboribus. Relicto itaque ibi Bono praefecto ex Moesia ad Istrum fluvium porrecta, viro eximie prudente, et tam civilium quam bellicarum rerum peritissimo, iustisque copiis ei adiunctis, quibus videbatur, si forte novis rebus studerent qui ibi erant barbari, facile superior eis evasurus et compressurus: his inquam rebus ita compositis, Ravennam recta contendit, ut exercitum illic morantem hibernatum mitteret. Vergente enim iam autumno, solstitio hiberno imminente, belligerandum sibi per id tempus nequaquam videbatur. Revera enim hoc pro Francis futurum videbatur, quibus aestus valde est inimicus et gra-

εἶναι διαμαχέσαιντο, σφριγῶσι δὲ ὑπὸ τοῦ κρύους ἀεί, καὶ A. C. 552
ῥωμαλεώτατοι γίγνονται, καὶ ἥδιστα τότε διαπονοῦνται. ἔχουσι I. I. 26
γὰρ πρὸς τοῦτο οἰκείως, τῷ δυσχείμερον πατρίδα κεκτῆσθαι,
καὶ οἷον ξυγγενὲς αὐτοῖς εἶναι τὸ ψύχεσθαι. τούτων δὴ οὖν
ἕκατι διαμέλλειν ἐπειρᾶτο, καὶ ἐς νέωτα τὸν πόλεμον μεταθέ-
σθαι. καὶ οὖν διασκεδάσας τὸ στράτευμα κατὰ λοχαγοὺς καὶ
ταξιάρχους ἀνὰ τὰ ἐχόμενα πολίσματά τε καὶ φρούρια διαχει-
μάζειν ἐκέλευσεν, ἅμα δὲ ἦρι ἀρχομένῳ ἥκειν ἐς Ῥώμην ἅπαν- B
τας καὶ ἀγείρεσθαι, ὡς ἐνθένδε πανσυδὶ παραταξαμένους. καὶ
οἱ μὲν κατὰ ταῦτα ἐχώρουν· Ναρσῆς δὲ ἐπὶ Ῥάβενναν ἰών,
μόνους ἐπήγετο τοὺς ἀμφ' αὐτὸν θεραπευτάς τε καὶ δορυφό-
ρους, καὶ ὅσοι τῆς ἀρχῆς αὐτῷ ὑπηρέται ἐτύγχανον ὄντες,
οἷς δὴ τὰ ἀρχεῖα ἐπεφρόντιστο τῆς τε ἄλλης εὐκοσμίας πέρι,
καὶ ὅπως μὴ χύδην ἅπασι τοῖς βουλομένοις ὡς αὐτὸν εἰσιτη-
τέα εἴη. τούτους δὲ ἔθος Ῥωμαίοις ἐκ τῶν κιγκλίδων ἐπονο-
μάζειν, καὶ τῆς ἐν τούτοις ἐπιμελείας. εἵπετο δέ οἱ καὶ Ζαν-
δαλᾶς ὁ τῶν οἰκοτρίβων ὀπαδῶν πρωτοστάτης, καὶ ὅσον ἄλλο
οἰκετικὸν καὶ ὅσοι τομίαι κατευναστῆρες. ἄγων δὴ οὖν τοὺς C
ξύμπαντας ἄνδρας ἐς τετρακοσίους, ἐπὶ Ῥάβενναν ᾔει.

κ'. Ἐν τούτῳ δὲ Ἀλίγερνος ὁ Φρεδιγέρνου μὲν παῖς, ἀδελ-

3. τῷ R. (Cl.), τὸ vulg. 5. Pro ἐς νέωτα τὸν R. ἐς νεώτατον. 6. διασκεδάσας R. et Lugd., διασκεδάσθη edd. 7. ταξιάρχας R. 8. ἐκέλευσεν R., ἐκέλευεν vulg. 13. τε post τῆς add. R. 16. Pro τούτοις scr. ταύταις, nisi praeter usum Agathias κιγκλὶς pro masc. usurpavit. Cl. *Zandilas* Intpr. 19. *trecentorum* Intpr. 20. Φρεδιγέρνου R. et Intpr., Φεδιγέρνου vulg.

vis; neque libentes aestate bellum gerunt; brumae vero tempore vegetantur validioresque fiunt, et tunc commodissime labores ferunt. Naturaliter enim ob patriae algiditatem ita affecti sunt, ut eis cognatum quodammodo sit frigere. His itaque de causis protrahendum bellum et in proximum ver differendum censebat. Dissipato itaque exercitu et per centuriones et tribunos partito, ut in proximis oppidis et castellis hibernarent, iussit; statim vero ineunte vere Romam omnes venire et congregari, ut ibi omnibus copiis coniunctis exercitum instruerent. Atque hi quidem quo mandatum erat concesserunt. Narses vero Ravennam se recepit, famulitio tantum satellitioque suo secum sumto, et iis, qui ipsius aulam administrabant, quibus utique archiva curae erant, idque tum ornatus apparatusque causa, tum ne promiscue cuivis volenti ingrediundi potestas esset. Hos vero moris est Romanis a cancellis appellare et ab opera, quam in iis praestant. Duxerat etiam secum Zandalem, domestici comitatus praefectum, cum reliqua omni servorum et spadonum cubiculariorum turba. Ducens itaque secum in universum viros quadringentos, Ravennam venit.

20. Interea vero Aligernus Fredigerni quidem filius, frater vero Teiae, cuius etiam antea mentionem fecimus in obsidione Cumarum,

A. C. 552 φὸς δὲ Τεΐα γεγενημένος, οὗ δὴ καὶ πρότερον ἐπεμνήσθην ἐν
L. I. 26 τῇ τῆς Κύμης πολιορκίᾳ· οὗτος δὴ ὁ Ἀλίγερνος, ἐπειδὴ οἱ
Φράγγοι ἐς τὴν Ἰταλίαν παρῆσαν, καὶ ἐς αὐτοὺς ἤδη τὰ τῶν
Γότθων πράγματα μετεχώρει, μόνος γε πέφηνεν τότε συνεὶς
τὸ ξυνοῖσον, καὶ στοχαζόμενος τῶν μελλόντων. βουλευομένῳ
γὰρ αὐτῷ περὶ τῶν παρόντων, προσῆλθεν ἐννοεῖν ὡς ἄρ' οἱ
V. 27 Φράγγοι σκῆψιν μέν τινα καὶ προκάλυμμα εὐπρεπὲς τὸ τῆς
D ξυμμαχίας ὄνομα ποιοῦνται, ὡς δὴ μετάκλητοι ἀφιγμένοι,
τὸ δὲ βουλόμενον αὐτῶν τῆς γνώμης ἕτερόν τι φανεῖται· οὐ
γὰρ ἐθελήσουσιν, εἰ καὶ τῶν Ῥωμαίων περιέσοιντο, παραχωρῆσαι τοῖς Γότθοις τῆς Ἰταλίας, ἀλλ' ἔργῳ προτέρους ἐκείνους καταδουλώσονται, οἷς τῷ λόγῳ ἥκουσιν ἐπαμυνοῦντες,
ἄρχοντάς τε αὐτοῖς ἐπιστήσουσι Φράγγους, καὶ ἀφαιρήσονται
τῶν πατρίων νομίμων αὐτούς. ταῦτα δὴ οὖν ἐν ἑαυτῷ θαμὰ
λογιζόμενος καὶ ἀνελίττων, ἅμα δὲ καὶ τῇ πολιορκίᾳ πιεζόμενος, ἄμεινόν οἱ κατεφάνη, τήν τε πόλιν καὶ τὰ χρήματα τῷ
Ναρσῇ παραδοῦναι, καὶ τολοιπὸν Ῥωμαϊκῆς μεταλαχεῖν πολιτείας, κινδύνων τε ἀπογενέσθαι καὶ βαρβαρικῶν διαιτημάτων. ὅσιον γὰρ ᾤετο εἶναι, εἰ μὴ τοὺς Γότθους ἔνεστι τὴν
P. 32 Ἰταλίαν κεκτῆσθαι, τούς γοῦν ἐκ παλαιοῦ οἰκήτοράς τε καὶ
ἰθαγενεῖς τὸ ἀνέκαθεν ἡγεμόνας αὐτὴν ἀνακομίσασθαι, καὶ μὴ

2. οὗτος δὴ R. et Lugd., οὗτος δὲ edd. 6. αὐτῷ om. R. ἄρα R. 8. ποιοῦνται R., πρωῶνται vulg. 9. αὐτοῖς R. 14. νομίμων R., νόμων vulg. 15. ἅμα δὲ καὶ R., ἅμα καὶ vulg. 16. τήν τε R. et Lugd., τήν γε edd. 21. ἀνέκαθεν R. Lugd. et Suid. s. v. ἰθαγενής, ἀνίκαθεν edd.

postquam Franci in Italiam venissent, et Gothorum res omnes ad ipsos essent devolutae, solus visus est, quid consultum et ex re esset, cognovisse, et futura praevidisse. Deliberanti enim ipsi de praesenti rerum statu, haec cogitatio in mentem venit, quod Franci speciosum quidem titulum ac praetextum captabant societatis bellicae cum Gothis initae, quippe qui acciti venissent; quod vero animis suis agitabant, aliud quiddam re ipsa appariturum. Fore enim videbat, ut etiamsi Romanis superiores evaderent, Gothis Italia non cederent, sed illis re ipsa primis subactis, quibus suppetias verbis laturi venerant, Francos principes eis impposituros, patriisque legibus eos esse spoliaturos. Haec itaque cum frequenter secum reputaret, et cum animo suo revolveret, simulque obsidione premeretur, consultissimum fore iudicavit, si urbem cum pecuniis omnibus Narseti traderet, ac deinceps Romanorum instituto ac moribus viveret, periculis et barbarico vivendi more valere iussis. Aequum enim ei videbatur, si Gothi Italiam obtinere non possent, veteres certe eius habitatores et indigenas ab origine duces eam recuperare, neque perpetuo suis sedibus fraudari. Haec itaque et ipse sua ex parte praestare in animum suum inducebat, et reliquae genti suae prudentis

A. C. 552 I. I. 26

μέχρι παντὸς τῶν σφετέρων ἀποστερεῖσθαι. ταῦτα δὴ οὖν αὐτός τε ἐπιτελεῖν τὸ μέρος ἐγνώκει, καὶ ἅπασι τοῖς ὁμοφύλοις παράδειγμα εὐβουλίας γενέσθαι. καὶ τοίνυν τοῖς πολιορκοῦσι Ῥωμαίοις διαγγείλας πρότερον ὡς ἐθέλοι πρὸς τὸν στρατηγὸν ἰέναι, καὶ εἶτα ἐφειμένον αὐτῷ, παραγίγνεται ἐς Κλάσσεις, οὗ δὴ τὸν Ναρσῆν διατρίβειν ἐπέπυστο. ἵδρυται δὲ τὸ φρούριον ἐν τῇ Ῥαβέννης περιοικίδι. καὶ δὴ ἐς ὄψιν αὐτῷ ἀφιγμένος, τάς τε κλεῖς τῆς Κύμης ἐνεχείρισε, καὶ ἅπαντα ὑπηρετήσασθαι ὡμολόγει πρὸς εὐνοίας αὐτῷ· καὶ ὃς ἀπεδέχετό τε αὐτὸν τῆς προσχωρήσεως, καὶ μείζοσιν ἀγαθοῖς ἐπηγγέλ- B λετο ἀντιδωρεῖσθαι· τότε δὲ εὐθύς, ἀπόμοιραν μέν τινα τῶν ἀμφὶ τὴν Κύμην στρατοπεδευομένων ἐκέλευσεν εἴσω τοῦ περιβόλου γενέσθαι, αὐτήν τε τὴν πόλιν καὶ τὰ χρήματα παραληψομένους καὶ ἅπαντα ἐν τῷ ἀσφαλεῖ διαφυλάξοντας. τὸ δὲ λοιπὸν στράτευμα ἐν ἑτέροις πολίσμασί τε καὶ φρουρίοις ἀναχωρεῖν, ὡς ἂν καὶ οἱ διαχειμάσοιεν. καὶ οὕτω ἅπαντα ἐπράττετο. ἐπεὶ δὲ ὁ τῶν Ἐρούλων στρατὸς οἰκείου αὖθις ἡγεμόνος ἐχήρευε, δύο δὲ ἄνδρ' ἤστην ἐν αὐτοῖς ἐπισήμω τε καὶ ἀμφηρίστω, ἐμερίζοντο ἡ πληθὺς ἐφ' ἑκάτερον ταῖς γνώμαις. τὸ μὲν γάρ τι αὐτῶν περὶ πλείστου τὸν Ἀρούθ ἐποιοῦντο, καὶ ἅπαντα σφίσιν ἄμεινον ᾤοντο ἔσεσθαι εἴ γε ἐκεῖνος ἡγοῖτο· C τοὺς δὲ ὁ Σινδουὰλ ἤρεσκεν, ἅτε δὴ δραστήριος ἐς τὰ μάλιστα,

3. εὐβουλίας om. R., Intpr. *ut ceteris suae gentis exemplo foret.* 4. ἐθέλοι R., ἐθέλει vulg. 5. παραγίνεται vulg. 8. ἐνεχείρισε R., ἐνεχείριζε vulg. 16. καὶ οἷδε R. διαχειμάσειεν R. 16. οὕτω ἅπαντα R., ἅπαντα οὕτω vulg. 18. ἄνδρε R. 22. τοὺς δὲ R. et Lugd., τοῖς δὲ edd.

consilii exemplum statuere. Cum itaque obsidentibus Romanis prius nuntiasset, cupere se praefectum exercitus adire, idque ei permissum esset, ad Classes venit, ubi Narsetem morari cognoverat. Situm vero est id castellum in agro Ravennate; cumque ei in conspectum venisset, et claves urbis Cumarum ipsi in manus tradidit, omniaque sua benevola officia ei detulit. Narses eum advenientem benigne complexus maioribus eum bonis remuneraturum promisit: statimque partem copiarum Cumas obsidentium in urbem misit, qui et ipsam et pecuniam omnem reciperent, tutoque omnia conservarent; reliquis copiis in alia oppidula et castella secedere ibique hibernare iussis. Quae quidem omnia ita peracta sunt. Posteaquam vero Herulorum exercitus proprio iterum duce fuit orbatus, duo autem inter eos essent viri insignes, dubiaeque inter se praestantiae, varie in utrumque militum animi et studia inclinarunt. Una enim exercitus pars Aruth maximi faciebat, planeque sibi persuadebat, omnia melius successura, si ille ipsis dux daretur; alteri parti magis placebat Sindual, ut strenuus maxime et in re bellica valde exercitatus. Cui quidem parti etiam assentiens Narses, hunc eis ducem praefecit

A. C. 552 I. I. 26 καὶ εὖ τὰ πολέμια ἠσκημένος. οἷς δὴ καὶ Ναρσῆς θέμενος, τοῦτόν γε αὐτοῖς ἐφίστησι στρατηγὸν, καὶ ἔστελλεν καὶ τοὺς ὅπη ἄριστα ἤμελλον διαχειμάζειν. τὸν δὲ Ἀλίγερνον εἰς Κησσίναν τὴν πόλιν ἀπέπεμπεν, εἰρημένον αὐτῷ, ἐπειδὰν αὐτόσε ἀφίκηται, ἀναβάντα ἐς τὸ τεῖχος, ὑπερκύπτειν ἀναφανδὸν ὡς ἅπασιν ὅστις εἴη διαγνωσθῆναι. προσέταττε δὲ ταῦτα, ὅπως δὴ οἱ Φράγγοι (ἐνθένδε γὰρ διαβήσεσθαι ἤμελλον,) θεάσαιντό τε αὐτὸν αὐτομολήσαντα, καὶ ἀπαγορεύσαιεν τῇ ἐπὶ τὴν Κύμην D πορείᾳ, καὶ τῇ τῶν χρημάτων ἐλπίδι, ἴσως δὲ καὶ παντὶ τῷ πολέμῳ, ὡς ἤδη ἁπάντων προκατειλημμένων· καὶ ὁ μὲν ἐπειδὴ παριόντας ἑώρα τοὺς Φράγγους, ἐπεκερτόμει τε αὐτοὺς ἐκ τοῦ μετεώρου καὶ ἐπέσκωπτεν ὡς μάτην τολοιπὸν ἐπειγομένους, καὶ κατόπιν ἥκοντας τῶν πραγμάτων, τοῦ τε πλούτου παντὸς ὑπὸ Ῥωμαίων κατεχομένου, καὶ αὐτῶν γε δὴ τῶν παρασήμων τῆς Γοτθικῆς ἡγεμονίας· ὡς εἴ γε καί τις τολοιπὸν βασιλεὺς τῶν Γότθων ἀναδειχθείη, μὴ ἔχειν ὅτῳ ἀρίδηλος εἴη καὶ ἐπίτιμος, ἀλλ' ἀμφιέννυσθαι μόνον στρατιωτικὴν ἐφεστρίδα, P. 33 καὶ ἰδιωτεύειν τῷ σχήματι. οἱ δὲ Φράγγοι ἐφύβριζον μὲν ἐς αὐτὸν καὶ ἐλοιδοροῦντο, καὶ προδότην ἐπεκάλουν τοῦ γένους· καί πως ἀμφίδοξοι ἐγίγνοντο ἐπὶ τοῖς παροῦσιν, ὡς καὶ βουλεύεσθαι εἰ πολεμητέα· ἐνίκα δὲ ὅμως τὸ μὴ μεταμελεῖν αὐτοῖς, ἀλλ' ἐφ' ἃ ὥρμηντο τὴν ἀρχὴν καὶ δὴ ἐπὶ ταῦτα ἰέναι.

1. οἷς δὲ R. 3. ἔμελλον R. διαχειμάζειν R., διαχειμάσειν vulg. Κησσίναν R., *Cissiam* Intpr., Κισσήνην vulg. 8. ἐπὶ Κύμην R. 17. μόνον R., μόνην vulg. 18. ἀφύβριζον R. 19. ἀπεκάλουν R. 22. ὥρμητον R.

misitque etiam hos, ubi commodissime videbantur hibernaturi; Aligernum vero ad Cesenam urbem ire iussit cum mandatis, ut cum eo venisset conscenso muro urbis manifeste elato capite prospiceret, ita ut ab omnibus quis esset dignosci posset. Quod ipsum eo consilio mandarat, ut Franci qui illac videbantur transituri, eum sua sponte ad Romanos transisse cernerent, et de expeditione in Cumas, pecuniaeque spe animum abiicerent; vel forte de totius belli summa, utpote locis omnibus opportunis iam praeoccupatis, desperarent. Atque Aligernus quidem Francos praetereuntes conspicatus, contumeliis verborum eos e sublimi muro excipiebat, et subsannabat, ut frustra deinceps festinantes, et post festum, quod aiunt, venientes, cum pecunia omnis in Romanorum potestatem venisset, atque adeo ipsa etiam Gothici principatus insignia; adeo ut si quis etiam in posterum rex Gothorum declararetur, non haberet, quo spectabilior honoratiorque esset, militari tantum veste indutus, ipsoque habitu privatum hominem praeferens. Franci vero contra ei convitiabantur, gentis suae proditorem appellantes; et de statu rerum ambigere videbantur, et an bellum ultra gerendum ipsis esset deliberare. Vicit tamen ea sententia, desistendum non esse, quin potius urgendum institutum.

κά. Ἐν τούτῳ δὲ ὁ Ναρσῆς τῇ Ῥαβέννῃ ἐπιστὰς, καὶ A.C. 552
τοῖς ἐνταῦθα στρατεύμασιν ὁμιλήσας, καὶ πάντα ἐν δέοντι I. I. 26
καταστησάμενος, ἐς Ἀρίμηνον ἐχώρει τὴν πόλιν, ξὺν τοῖς V. 24
ὁπόσοι αὐτῷ καὶ πρότερον εἵποντο. ἐπειδὴ γὰρ Οὐάκκαρος ὁ Οὔαρνος τὸ γένος ὀλίγῳ πρότερον ἐτεθνήκει, ἀνὴρ ἐν τοῖς μάλιστα δεινός τε καὶ φιλοπόλεμος, αὐτίκα ὁ παῖς ὁ ἐκείνου Θευδίβαλδος (τοῦτο γὰρ ὄνομα τῷ παιδὶ) ἅμα τοῖς ἑπομένοις Οὐάρνοις, βασιλεῖ τῶν Ῥωμαίων προσεχώρει, καὶ ἐς Ἀρί- B
μηνον παρῆν ὡς αὐτοῦ τῷ Ναρσῇ ἐντευξόμενος. ὧν δὴ ἕνεκα ἐνταῦθα καὶ ὅγε ἀφῖκτο, ἐφ' ᾧ ἅπαντας χρυσίῳ φιλοφρονησάμενος, βεβαίους ἐς ὅ, τι μάλιστα ἔχοι ξυμμάχους. ἐν τούτοις δὲ αὐτοῦ διημερεύοντος, ἄνδρες τῶν Φράγγων ἐς δισχιλίους ἀναμὶξ πεζοὶ καὶ ἱππόται, οἳ δὴ ἐτύγχανον ἐς ἁρπαγάς τε καὶ λεηλασίας τῆς χώρας ὑπὸ τῶν σφετέρων ἡγεμόνων σταλέντες, οὗτοι δὲ ἀγχοῦ τῆς πόλεως γεγενημένοι, τούς τε ἀγροὺς ἐσίνοντο, καὶ τοὺς βόας εἷλκον τοὺς ἀροτῆρας, καὶ ἅπαντα ἔφερον ἀνέδην, ὡς καὶ αὐτὸν δήπου τὸν Ναρσῆν ἐπιφράσασθαι τὰ ποιούμενα. ἧστο γὰρ ἐς ὑπερῷόν τι δωμάτιον ἐν περιωπῇ τοῦ πεδίου. αὐτίκα δὴ οὖν, (αἰσχρὸν γάρ τι καὶ ἀγεννὲς ᾤετο C
εἶναι τὸ μὴ οὐχὶ ἐκ τῶν παρόντων ἀμύνασθαι,) ὑπεξῄει τοῦ ἄστεος, ἵππου ἐπιβὰς εὐηνιωτάτου καὶ ἀγερώχου, καὶ οἵου οὐκ ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾶν, ἀλλὰ τάς τε ἐπελάσεις

3. Ἀριμηνὸν vulg. 6. ἐκείνου R., Intpr. *huius filius*, ἐκεῖνος vulg. 7. Post γὰρ vulg. inseritur ἦν, quod om. R. 21. τε post εὐηνιωτάτου ins. mg. Lugd.

21. Interea Narses Ravennae subsistens, atque inter copias, quae ibi erant, versans, rebus omnibus recte constitutis, Ariminum concessit cum eodem quo antea venerat comitatu. Mortuo enim paulo antè Vaccaro, genere Varno, viro imprimis gravi et bellicoso, statim Theodibaldus eius filius cum Varnis eum comitantibus ad Romanorum Imperatorem accesserat, et Arimini erat tanquam ibi Narsetem conventurus, quo etiam ipse ea de causa venerat, ut omnibus liberaliter auro donatis firmissimos belli socios haberet. Hisce rebus occupato Narsete, Franci ad duo millia mixtim peditum et equitum, qui a suis praefectis ad vastandum et depraedandum agrum erant emissi, cum iam urbi appropinquassent, agrosque vastarent et boves aratores abigerent, omniaque promiscue agerent ac ferrent, aspiciente Narsete, (sedebat enim ipse in sublimi quadam pergula, unde in campum erat prospectus) turpe parumque generosum ratus, nisi ex re praesenti vim propulsaret; urbe exit, conscenso equo, qui habenis audientissimus esset, pariter et generosus ac ferox, quique non solum composite scíteque prosilire et saltare nosset, sed etiam impetum in hostem facere, cursumque sistere et retro ferri usu multo esset edoctus, et e comitatu suo quotquot rei bellicae non omnino erant imperiti, sequi se

A. C. 552 καὶ ἀναστροφὰς τῇ πείρᾳ πεπαιδευμένου· ἀλλὰ γὰρ καὶ τῶν
L. I. 26 ἀμφ' αὐτὸν τοὺς ὁπόσοι οὐ πάμπαν ἀγνῶτες τὰ πολέμια ἦσαν ἕπεσθαί οἱ ἐκέλευε. καὶ οἱ μὲν ἐς τοὺς ἵππους ἀναθορόντες (ἦσαν δὲ ἄνδρες ἐς τριακοσίους) ἐφωμάρτουν τε καὶ ἐπήλαυνον ἰθὺ τῶν πολεμίων. οἱ δὲ ἐσιδόντες αὐτοὺς ἐπιόντας, σποράδην μὲν οὐκέτι ἠλῶντο, οὐδὲ οἶμαι τῆς λείας ἐμέμνηντο· ἠθροίζοντο δὲ ἐπὶ σφᾶς ἅπαντες, τό τε ἱππικὸν καὶ οἱ πεζοί,
D καὶ ἐς φάλαγγα ξυνετάττοντο, βαθεῖαν μὲν οὔτι μάλα (πῶς γὰρ οἷόν τε ἦν οὐ σφόδρα πολλῶν αὐτοῦ ἀφιγμένων;) καρτερὰν δὲ ὅμως τῷ συνασπισμῷ καὶ τῷ τὰ κέρα ἐν κόσμῳ συννενευκέναι. οἱ δὲ Ῥωμαῖοι ἐπειδὴ ἐς τόξου γε ἤδη βολὴν ἐγεγένηντο, ἐμμῖξαι μὲν καὶ συῤῥάξαι τοῖς πολεμίοις εὖ παρατεταγμένοις ἥκιστα ᾤοντο χρῆναι, τοξεύμασι δὲ καὶ ἀκοντίσμασιν ἀκροβολιζόμενοι, ἐπειρῶντο σφῆλαι τοὺς πρωτοστάτας, καὶ διαῤῥῆξαι τὴν πύκνωσιν τοῦ μετώπου. ἀλλ' ἐκεῖνοι ταῖς ἀσπίσιν ἄριστα περιπεφραγμένοι, ἵσταντο ἀστεμφεῖς καὶ ἀδόνητοι, οὐδαμοῦ τὸ συνεχὲς τῆς τάξεως διασπῶντες, ἐπεὶ καὶ ὕλης τινὸς λασίας κυρήσαντες, ὥσπερ ἐρύματι τοῖς δένδροις
P. 34 ἐχρῶντο. ἤδη δὲ καὶ τοῖς ἄγγωσιν ἠμύνοντο βάλλοντες· οὕτω γὰρ αὐτοῖς τὰ ἐπιχώρια δόρατα ἐπωνόμασται.

κβ'. Ὡς δὲ οὐδὲν ἐπημαίνοντο, διαλογισάμενος ἅπαντα ὁ Ναρσῆς, βαρβαρικήν τινα στρατηγίαν καὶ μᾶλλον τοῖς Οὔννοις μεμελετημένην ἐμηχανᾶτο. ἐκέλευε γὰρ τοὺς ἀμφ' αὐτὸν

1. πεπαιδευμένου R. (Cl.) Lugd. 2. m., πεπαιδευμένος edd. 4. ἐς τριακοσίους R., ἐς τοὺς τρ. vulg. 6. ἐμέμνηντο. Sic correxi. ἐγίγνοντο R. et vulg. 16. περιπεφρ. R., πεφρ. vulg. 19. ἄγκωσιν R.

iussit: qui quidem in equos insilientes (erant vero viri trecenti) eum secuti, recta in hostem contenderunt. Tum hi eos irruentes conspicati, non iam palantes sparsim vagabantur, neque arbitror praedae memores erant, sed protinus sese equites peditesque congregarunt, et in unum agmen composuerunt; non quidem illud densum (qui enim fieri poterat, cum non admodum multi eo venissent?) validum tamen, cum scutatos inter se consertos equitum alae cingerent. Romani vero cum iam intra teli iactum pervenissent, manus quidem conserere et confligere cum hostibus instructa acie stantibus nequaquam expedire censebant: sagittis vero et iaculis velitantes primam aciem labefactare frontisque densitatem diffringere conabantur. At illi cum inter se scutis optime essent constipati, firmi immotique stabant, nullaque ex parte aciei continuum convellebant; siquidem et densam quandam silvam nacti, arboribus ut vallo utebantur. Iam vero etiam telorum iactu se tuebantur, quae patria ipsorum lingua angones vocantur.

22. Cum itaque nihil damni acciperent, Narses omnia secum reputans, barbarum quoddam stratagema et Hunnis magis usitatum excogitavit. Iussit enim suos terga vertentes retrorsum concitatius

στρέψαντας τὰ νῶτα, ἐς τὰ ὀπίσω ἀναχωρεῖν προτροπάδην, ὡς A. C. 552 δὴ δεδιότας καὶ φεύγοντας, καὶ ἐκκαλεῖσθαι τοὺς βαρβάρους ὡς I. I. 26 ἀπωτάτω τῆς νάπης ἀνὰ τὰ ψιλὰ τοῦ πεδίου. αὐτῷ γὰρ τὰ λοιπὰ ἔφη μελήσειν. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν, καὶ ἔφευγον. οἱ δὲ Φράγγοι τῇ φυγῇ ἐξηπατημένοι, καὶ ἀληθὲς τὸ δέος εἶναι ὑποτοπήσαντες, αὐτίκα θαῤῥαλέοι τήν τε φάλαγγα διέλυσαν, καὶ τῆς B ὕλης ὑπεκβάντες, ἐς τὴν δίωξιν ἠπείγοντο. καὶ πρῶτοι μὲν ἐξέθεον οἱ ἱππόται· εἵποντο δὲ καὶ τῶν πεζῶν ὁπόσοι ἀλκιμώτατοι καὶ ποδώκεις· καὶ ἅπαντες ἀφειδῶς ἐνέκειντο, ὡς αὐτὸν δή που τὸν Ναρσῆν αὐτίκα μάλα ζωγρήσοντες, καὶ πόνῳ ξὺν βραχεῖ πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ. καὶ οἱ μὲν εὐκοσμίας ἁπάσης ἐπιλελησμένοι, χύδην τε καὶ ἀφύλακτα ἐχώρουν, γεγηθότες καὶ εὐωχούμενοι τῆς ἐλπίδος. οἱ δὲ Ῥωμαῖοι ἀνὰ τὰ πρόσω ἐφέροντο ἀφειμένοις τοῖς ἵπποις, φαίης τε ἂν αὐτοὺς ἔργῳ τρέσαντας ἀλεείνειν, οὕτω δή τι ἐγγύτατα τοῦ C ἀληθοῦς τὸ δεδιέναι ὑπεκρίνοντο. ἐπεὶ δὲ οἱ βάρβαροι ἐν γυμνῷ ἤδη τῷ πεδίῳ ἐσκεδάννυντο, τῆς ὕλης ὡς ποῤῥωτάτω ἀποσπασθέντες, τότε δὴ ἀθρόον, τοῦ στρατηγοῦ σημήναντος, ἐπιστρέψαντες οἱ Ῥωμαῖοι τοὺς ἵππους, καὶ ἐς τἀναντία σφᾶς αὐτοὺς ἐξελίξαντες, ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι, καὶ ἅπαντας τῷ ἀπροσδοκήτῳ καταπεπληγμένους ἔπαιον ἀφειδῶς καὶ ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς φυγῆς μετεχώ-

4. ἔφευγον R., ἔφυγον vulg. 9. Pro ἀφειδῶς R. mg. ἀφόβως. 10. ζωγρήσαντες R. 14. ἐφέροντο. Intpr. addit *Ariminum versus.* 15. οὕτω δή τι R., οὕτω δὴ vulg.

ferri, veluti timore perculsos fugamque capessentes: ut scilicet ea ratione barbari quam remotissime e silva in apertum campum evocarentur: reliqua enim sibi curae fore dixit. Atqui hi quidem ut mandatum eis erat, fugam arripuerunt; Franci vero fuga decepti et verum timorem esse rati, confestim animis pleni aciem solvunt, silvaque egressi, fugientes acriter insequuntur; ac primi quidem evolarunt equites, sequebantur vero ex peditibus quotquot robore et pedum celeritate maxime valebant; omnesque acerrime rem urgebant, tanquam Narsetem ipsum iamiam vivum capturi, et nullo fere negotio optatum finem toti bello impositituri. Atque hi quidem ordinis omnis obliti sparsim nihilque sibi caventes procurrebant, gaudentes bonaque spe sese oblectantes. Romani vero effusis habenis ad anteriora ferebantur: diceres certe eos re ipsa formidantes fugere, adeo proxime vero pavorem simulabant. Posteaquam vero barbari iam per nudum campum dispersi quam longissime a silva essent avulsi; tum vero confestim signo per Narsetem dato, Romani conversis equis in adversos sese explicantes, persequentibus in frontem occurrerunt, et in universos inopinato rei perculsos caesim punctimque saeviebant, atque ita fuga ipsis in persecutionem vice versa cessit. Equites itaque barbarorum non ignari, quo in periculo versarentur, quam celer-

A. C. 552 ρει. οἱ μὲν οὖν ἱππόται τῶν βαρβάρων ξυναισθόμενοι τοῦ
I. I. 26 V. 25 περιστάντος κινδύνου, καὶ τάχιστα ἐκδραμόντες ἀνὰ τὴν ὕλην
D αὖθις καὶ τὸ σφῶν στρατόπεδον, ἄσμενοι ἀπεσώζοντο. οἱ δὲ πεζοὶ ἐκτείνοντο ἀκλεῶς, μηδὲ χεῖρα κινεῖν ὑποστάντες, ἀλλὰ τῷ παραλόγῳ τῆς μεταβολῆς τεθηπότες, καὶ οἷον παράφρονες γεγενημένοι. ἅπαντες τοιγαροῦν ἔκειντο σποράδην, ὥσπερ ἀμέλει ὑῶν ἢ προβάτων ἀγέλη οἰκτρότατα διαφθαρέντων. ἐπεὶ δὲ ἐκεῖνοι ἀνῄρηντο οἱ ἄριστοι ἄνδρες, πλείους ὄντες ἢ ἐννακόσιοι, αὐτίκα οἱ ἄλλοι ἀπεχώρουν καὶ μετανίσταντο, καὶ ἐπὶ τοὺς σφετέρους ἡγεμόνας ἐπανῄεσαν, ὡς οὐκέτι αὐτοῖς ἐν τῷ ἀσφαλεῖ ἐσόμενον τοῦ λοιποῦ πλήθους ἀποκεκρίσθαι. Ναρσῆς δὲ αὖθις ἐς Ῥάβενναν ἀφικόμενος, καὶ ἅπαντα τὰ τῇδε ἄριστα διαθεὶς, ἀνὰ τὴν Ῥώμην ἐχώρει καὶ αὐτοῦ διεχείμαζεν.

8. ἐνακόσιοι R. 11. τοῦ λοιποῦ πλήθους R., τοῦ λοιποῦ τοῦ πλήθους vulg.

rime ad silvam reliquasque copias refugientes, salutem sibi strenua fuga quaesierunt: pedites vero turpiter caesi, cum ne manum quidem tuendi sui causa moverent, inopinata vicissitudine consternati et quodammodo mente capti. Omnes itaque sparsim iacebant, veluti suum fere aut ovium greges miserandum in modum trucidati. Caesis itaque his fortissimis viris, supra nongentos, reliqui confestim tergis versis ad suos sese duces receperunt; ut non prius in tuto futuri, quam se reliquo exercitui coniunxissent. Narses vero Ravennam reversus, rebusque omnibus eo loci rectissime constitutis, Romam se contulit ibique hibernavit.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ
ΙΣΤΟΡΙΩΝ Β.

AGATHIAE SCHOLASTICI
HISTORIARUM LIBER II.

ARGUMENTUM.

Proximo vere Franci et Alamanni Butilino et Leuthari ducibus Italiam vastant (1). *Leutharis cum copiis suis domum proficiscens ab Hunnis et Romanis clade afficitur* (2). *Ipse cum copiarum reliquiis in Venetia gravi morbo correptus perit* (3). *Butilinus recedens castra ponit in Campania ad Casulinum flumen* (4). *Hortatur exercitum suum. Francorum armatura* (5). *Narses Butilino obviam progreditur: Francorum commeatus intercipit* (6). *Narsetis iustitia* (7). *Acies utrinque instruitur* (8). *Insignis Francorum clades* (9). *Narsetis victoria cum pristinis Graecorum tropaeis comparatur* (10). *Narses exercitum suum a segnitia revocat* (11). *Eius oratio* (12). *Gothorum reliquiae, Ragnare duce, Campsis obsidentur* (13). *Ragnare occiso, Gothi se dedunt. Chlotharius Francorum regno potitur* (14). *Ingens terrae motus. Vanae sapientium de eo sententiae* (15). *Cos insula eodem terrae motu funditus vastatur* (16). *Tralles olim simili calamitate afflictae* (17). *Bellum Romanorum et Persarum* (18). *Mermeroes Lazorum fines invadere conatur* (19). *Romani dolo oppressi recedere coguntur* (20). *Romani ex fuga Nesum se recipiunt* (21). *Mermeroes, exercitu reducto, Meschithae, Iberiae oppido, moritur* (22). *Sepulcrales Persarum ritus* (23). *Nova Persarum superstitio a Zoroastro profecta* (24). *Persae sub variis regnis varios mores traxerunt* (25). *Novi Persici regni origines* (26). *Artaxaris genus* (27). *Chosrois eruditio in suspicionem vocatur* (28). *Uranius philosophi speciem prae se ferens a Chosroe magni aestimatur* (29). *Philosophorum Romanorum in Persiam migratio* (30). *Qui spe sua deiecti in patriam redeunt. In itinere a mortuo quodam sepeliendo visu nocturno deterrentur* (31). *Magna Uranii apud Chosroem gratia* (32).

ά. Ἤδη δὲ τοῦ ἦρος ἐπιγινομένου, ἐνταῦθα κατὰ τὸ προσ- A. C. 553
τεταγμένον ξυνεκροτοῦντο αἱ δυνάμεις, καὶ ἅπαντα ἤθροι- I. I. 27 P. 35
στο τὰ στρατεύματα. Ναρσῆς δὲ ἐξασκεῖν τε ἐπιπλέον αὐ- V. 26

2. Suid. s. v. συγκροτεῖ: συνήθροιστο. 3. τε R., γε vulg.

1. Ineunte autem vere exercitus ibi, prout statutum erat, instaurabatur, copiaeque omnes in unum cogebantur. Narses vero eos

A. C. 553 I. I. 27 τοὺς ἐκέλευεν τὰ πολέμια, καὶ ἐπεῤῥώννυεν τὸν θυμὸν ταῖς καθημέραν μελέταις· τροχάζειν τε ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κόσμῳ ἀναπάλλεσθαι, ἔς τε πυῤῥίχην [τινὰ ἐνόπλιον ὄρχησιν] περιδινεῖσθαι, καὶ θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι τὸ ἐνυάλιον ἐπηχούσῃ, ὡς μὴ πάμπαν τῷ ἀνειμένως διαχειμάζειν ἐπιλελησμένοι τοῦ πολέμου, εἶτα ἐν αὐτῷ δὴ C τῷ ἀγῶνι μαλθακισθεῖεν. Ἐν τούτῳ δὲ οἱ βάρβαροι σχολαίτερον πορευόμενοι τὰ ἐν ποσὶν ἅπαντα ἐδῄουν καὶ ἐλυμαίνοντο. ὑπερβάντες δὲ ὡς ἀνωτάτω Ῥώμην τε τὴν πόλιν καὶ ἅπασαν τὴν περιοικίδα, ᾔεσαν ἀνὰ τὰ πρόσω· ἐν δεξιᾷ μὲν ἔχοντες τὰ Τυρσηνικὰ πελάγη, ἐπὶ θάτερα δὲ αὐτοῖς παρετέταντο αἱ τοῦ Ἰονίου κόλπου ῥηγμῖνες. ἐπεὶ δὲ ἐς Σάμνιον, τὴν χῶραν οὕτω καλουμένην, ἀφίκοντο, ἐνταῦθα διεκρίθησαν ἐφ' D ἑκατέραν πορείαν. καὶ Βουτιλῖνος μὲν ἅμα τῷ πλείονι καὶ ἀλκιμωτάτῳ στρατῷ, ἀνὰ τὰς Τυρσηνικὰς ἠϊόνας ἐχώρει· καὶ Καμπανίας τε τὰ πλεῖστα ἐληΐσατο, καὶ μὲν δὴ καὶ Λευκανίας ἐπέβη, καὶ εἶτα Βρεττίᾳ προσέβαλλεν, καὶ μέχρι τοῦ πορθμοῦ προῆλθεν, ὃς δὴ Σικελίαν τε τὴν νῆσον καὶ τὸ τέρμα τῆς Ἰταλίας ἀποκρίνει. Λεύθαρις δὲ τὰ λοιπὰ στρατεύματα ἐπαγόμενος, Ἀπουλίαν ἔλαχε σίνεσθαι καὶ Καλαβρίαν. καὶ ἕως Ὑδροῦντος τῆς πόλεως ἵκετο, ἣ δὴ ἐπὶ τῷ αἰγιαλῷ ἵδρυ-

1. ἐπεῤῥώννυεν R., ἐπεῤῥώννυε vulg. 2. Suid. s. v. πυῤῥίχαις: ἀνασκευάζων. πυρίχην R. 4. ὄρχησιν add. ex R., ita tamen ut verba τιν. ἐνόπλ. ὀρχ. pro glossemate includerem. θαμὰ R. Lugd. Suid., θαμεῖ edd. 5. ἠχούσῃ Lugd. mg. ἀνειμένῳ R., Lugd. ἀνειμένως corr. pro ἀνειμένῳ. 6. ἐν αὐτῷ δὴ R., δὴ ἐν αὐτ. vulg. 7. μαλακισθεῖεν R. 12. αἱ τοῦ R., τοῦ vulg. 17. Vulc. coni. Βρεττίω (sic). 20. Ἀποληΐαν R., Ἀπουληΐαν vulg. 21. ὡς edd. ἣ δὲ R.

accurate ad res bellicas condocefieri iussit, animosque quotidiana exercitatione roborabat, in gyrum se versare cogens, agiliterque in equos insilire, et in modum armatae saltationis pyrrichae circumagi, assidueque tuba classicum canente personari, ne omnino ex remissiore hibernatione obliti bellorum in ipso praelio languescerent. Interea barbari lentius procedentes loca, per quae transibant, omnia depopulabantur et vastabant. Romam vero locaque urbi circumiecta longissime transgressi, ulterius tendebant; a dextra quidem Tyrrhenum mare, a sinistra autem Ionici sinus littora protensa habentes. Postquam vero Samnium, regionem ita dictam, venissent, tum partitis copiis, Butilinus quidem cum maiore validioreque exercitus parte Tyrrhenum littus legebat, et totam fere Campaniam depraedabatur, quin et Lucaniam et Bruttios deinde invasit, et ad fretum usque, quod Siciliam insulam et fines Italiae dirimit, pervenit: Leutharis vero reliquas copias ducens Apuliam et Calabriam infestabat, Hydruntem usque progressus, quae quidem urbs in littore Adriatici maris est sita; unde Ionius sinus initium habet. Quotquot itaque

ται τῆς Ἀδριάδος θαλάττης, ὅθεν ὁ Ἰόνιος ἄρχεται κόλπος. A. C. 553 ὅσοι μὲν οὖν αὐτῶν Φράγγοι ἰθαγενεῖς ἐτύγχανον ὄντες, οὗτοι I. I. 27 δὲ φειδοῖ πολλῇ ἀμφὶ τὰ ἱερὰ καὶ εὐλαβείᾳ ἐχρῶντο, ἅτε δὴ τὰ ὀρθὰ καὶ οἷ τοῦ κρείττονος πέρι νόμιμα προσιέμενοι, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, καὶ παραπλήσια τοῖς Ῥωμαίοις ἱερουργοῦν- B τες. τὸ δὲ Ἀλαμανικὸν ἅπαν, (ἕτερα γὰρ ἐκείνοις ἐς τοῦτο δοκεῖ,) ἐδῄουν τοὺς νεὼς ἀφειδῶς, καὶ ἀπηγλάϊζον. πολλὰς μὲν γὰρ κάλπεις ἱερὰς, πολλὰ δὲ περιῤῥαντήρια πάγχρυσα, συχνὰ δὲ κύπελλα καὶ κανᾶ, καὶ ὅσα ταῖς μυστικαῖς ἁγιστείαις ἀνεῖται, ταῦτα δὲ ἀφαιρούμενοι, ἅπαντα οἰκεῖα κτήματα ἐποιοῦντο. τοῖς δὲ οὐδὲ τάδε ἀπέχρη, ἀλλὰ τάς τε ὀροφὰς τῶν ἱερῶν ἀνακτόρων κατέβαλλον, καὶ τὰς κρηπῖδας ἀνεκίνουν· λύθρῳ τε τὰ τεμένη περιεῤῥεῖτο, καὶ τὰ λήϊα ἐμιαίνετο, πολλαχοῦ νεκρῶν ἀτάφων περιεῤῥιμμένων. ἀλλ' οὐκ ἐς μακρὰν αὐτοὺς τὰ ἐνθένδε μετῆλθεν μηνίματα. οἱ μὲν γὰρ πολέμῳ, τὸ δέ τι αὐ- V. 27 τῶν νόσῳ διεφθάρη, καὶ οὐδεὶς ὅστις ἀπώνατο τῆς προτέρας C ἐλπίδος· ἀδικία γὰρ καὶ θεοῦ ἀθεραπευσία φευκτὰ μὲν ἀεὶ καὶ ἀσύμφορα, μάλιστα δὲ ἐν τῷ προσπολεμεῖν καὶ παρατάττεσθαι. πατρίδι μὲν γὰρ ἐπαρήγειν καὶ νόμοις πατρίοις, καὶ τοῖς ταῦτα λυμαινομένοις ἥκιστα ἐφιέναι, ἀλλὰ παντὶ σθένει ἀμύνεσθαι, ὅσιόν τι ἂν εἴη καὶ μάλα γενναῖον. ὅσοι δὲ κέρδους ἕκατι καὶ δυσμενείας ἀλόγου, μηδὲν ἐπίκλημα ἔνδικον ἔχοντες, ἔπειτα φοιτῶσιν ἀνὰ τὴν ὀθνείαν, τοὺς μηδὲν ἠδικηκότας σι-

4. καὶ οἷ R., vulg. καὶ οἱ. 9. κύπελα edd. 11. τάδε R., ταῦτα vulg.

eorum Franci erant indigenae, multam reverentiam pietatemque circa templa exercebant, utpote rectam de Deo sententiam amplexi, ut supra dixi, eademque cum Romanis sacra colentes. Alemannica vero gens universa (aliter enim hi circa religionem sunt affecti) templa irreverenter diripiebant, suisque ornamentis spoliabant, multas quidem amulas sacras, sive vasa lustralia et aspergilla ex puro auro, quamplurimos etiam calices et acerras, et quaecunque mysticis ceremoniis peragendis erant consecrata, spoliantes, propriis suis possessionibus adscribebant. Sed ne his quidem rebus contenti, tecta ipsa sacrorum templorum diruebant, et fundamenta subvertebant; cruoreque et sanie delubra circumfluebant, arva etiam segetesque polluebantur, cum per eas passim cadavera insepulta sparsa iacerent. Sed non multo post divina vindicta est subsecuta. Alii enim bello, alii morbo perierunt, neque quisquam eorum priori spe potitus est. Iniustitia enim et Dei contemtus fugienda quidem semper et noxia sunt, praecipue vero in proeliis et conflictibus. Patriam enim patriaque instituta propugnare, eaque pessumdare molientibus obsistere, omnibusque eos viribus propulsare, aequum sane fuerit valdeque generosum: qui vero lucri causa, et hostilitate, quae nulla iusta causa nitatur, aliena

A. C. 553 νόμενοι, οὗτοι δὲ ἀλαζόνες εἰσὶ καὶ ἀτάσθαλοι, οὔτε θέμιν
L. I. 27 εἰδότες, οὔτε μέλον αὐτοῖς εἰ τὸ θεῖον νεμεσᾷ τοῖς γιγνομένοις.
D τοιγάρτοι ποιναί γε αὐτοὺς μετίασιν ἀκριβεῖς, καὶ σφίσιν ἐς ἀνηκέστους συμφορὰς τὰ πράγματα τελευτῶσιν, εἰ καὶ ἐπὶ βραχὺ εὐημερεῖν νομισθεῖεν. ὁποῖα καὶ τότε τοῖς ἀμφὶ Λεύθαρίν τε καὶ Βουτιλῖνον βαρβάροις ξυνέβη.

β'. Ἐπειδὴ γὰρ ταῦτα ἔδρασαν, καὶ πολύ τι λαφύρων περιεβάλοντο χρῆμα, ἤδη τε τὸ ἔαρ παρῳχήκει, καὶ ἡ τοῦ θέρους ἤκμαζεν ὥρα, Λευθαρίῳ μέν, θατέρῳ τῶν ἡγεμόνων, βουλομένῳ ἦν οἴκαδε ἀπονοστῆσαι, καὶ τοῦ ὄλβου ἐμπιπλᾶσθαι. ἔστελλεν δὲ ὡς τὸν ἀδελφὸν ἀγγελιαφόρους, παρακελευόμενος καὶ τόνδε ὡς τάχιστα ἐπανιέναι, χαίρειν εἰπόντα
P. 37 τῷ πολέμῳ, καὶ τῇ ἀδήλῳ τύχῃ τῶν ἐσομένων. Βουτιλῖνος δὲ καὶ ὅτι ὀμωμόκει τοῖς Γότθοις, ἦ μὴν ξυνάρασθαι αὐτοῖς τὸν πρὸς Ῥωμαίους ἀγῶνα, καὶ ὅτι αὐτὸν ἐκεῖνοι ἐθώπευον, βασιλέα σφῶν ἀναδείξειν ἐπιθρυλλοῦντες, ἐδόκει οἱ μενετέα εἶναι, καὶ τὰ ξυγκείμενα διανυστέον. καὶ ὁ μὲν τούτων δὴ ἕνεκα ἔμενέ τε αὐτοῦ, καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. Λεύθαρις δὲ ἅμα

2. νεμεσᾷν R. 7. ἐπειδὴ γὰρ R., ἐπεὶ γὰρ vulg. 8. ἤδη τό τε ἔαρ R., quod praeferrem, si post Λευθαρίῳ insereret οὖν. Intpr. vulgatam exprimit. 10. βουλευομένῳ R. 11. ἔστελλεν R. Lugd., ἔστειλε edd. δὲ ὡς R., δὲ καὶ ὡς vulg. 12. ἐπιιέναι R. 14. ὅτι ins. ex R. ὠμομόκει R. τοῖς Γότθοις R., τῷ Γότθῳ vulg. 16. ἐπιθρυλλοῦντες R., ἐπιθρυλλεῖ τ' Lugd., ὡς ἐπιθρυλλεῖτο vulg., Intpr. *ac suum imperatorem fore se praedicarent.* 17. ἕνεκα R., ἕνεκεν vulg.

invadunt, eos a quibus nulla iniuria sunt provocati infestantes, hi certe vesani impiique fuerint; neque quid ius ac fas sit norunt, neque iis curae est an Deus maleficiis offendatur. Idcirco acerrimae eos poenae manent, resque ipsis in extremas atque irremediabiles calamitates desinunt, tametsi ad breve aliquod tempus prospere rem gerere videantur. Ac talia quidem etiam tunc Leutharim Butilinumque sectantibus copiis evenere.

2. Nam hi rebus hisce perpetratis, cum iam ingentem spoliorum vim coacervassent, et iam praeterlapso vere vigeret aestas; alteri quidem ducum, Leuthari videlicet, in animo erat domum reverti, et opimis spoliis suis frui, nuntiisque ad fratrem suum missis eum etiam ad domuitionem hortabatur; bello et incertis rerum futurarum eventibus valere iussis. Butilinus vero etiam iureiurando se Gothis obstrinxit, proelium adversus Romanos cum ipsis aditurum; cumque illi per assentationem spargerent sese eum regem ipsorum designaturum, manendum sibi apud illos censuit, et se ad bellum instruxit. Leutharis vero cum suis copiis statim discessit: eo consilio ut postquam praedam omnem quam tutissime avexisset, domumque venisset, tum exercitum fratri suo suppetias laturum mitteret. Sed ne ipsi quidem consilia sua ex animi sententia successerunt, neque fratri suo valde auxiliari potuit. Nam ipsi iam iter domum versus ingresso, ni-

τῇ ἀμφ' αὐτὸν δυνάμει εὐθὺς ἀπεχώρει, καὶ ὡς ἂν ἀσφαλέ- A.C. 553 στατα τὴν λείαν διακομίσῃ ἠπείγετο, βεβουλευμένον αὐτῷ, ἐπει- L. I. 27 δὰν οἴκαδε ἵκηται, τότε δὴ εὐθὺς ὡς τὸν ἀδελφὸν στεῖλαι τὸ στράτευμα ξυλληψόμενον αὐτῷ τοῦ κινδύνου. ἀλλ' οὔτε ἐκείνῳ ἐς τέλος ἀπέβη τὰ δοκηθέντα, τῷ τε ἀδελφῷ οὐ μάλα ἤρκεσεν ἐπαμῦναι. ἤδη γὰρ αὐτῷ ἀνὰ τὴν αὐτὴν πορείαν ἐπανερχομένῳ, B μέχρι μὲν Πικηνοῦ τῆς χώρας οὐδενότι ἀντίπαλον ξυνηνέχθη. ὡς δὲ ἐνταῦθα ὁδῷ ἰὼν ἐγεγόνει, αὐτὸς μὲν περὶ τὴν Φάνον ἐστρατοπεδεύετο τὴν πόλιν. ἔστελλε δὲ εὐθύς, ὥσπερ εἰώθει, προοφύλακας καὶ διοπτῆρας ἄνδρας ἐς τρισχιλίους, οὐ μόνον ἐπισκεψομένους τὰ πρόσω, ἀλλὰ γὰρ καί, εἴπου πολέμιοι φανεῖεν, ἀμυνουμένους. Ἀρταβάνης δὲ καὶ Οὔλδαχ ὁ Οὖννος, ἐτύγχανον γὰρ ἅμα στρατεύματι Ῥωμαϊκῷ τε καὶ Οὐννικῷ εἰς Πίσαυρον τὴν πόλιν ξυνειλεγμένοι καὶ ἐφεδρεύοντες τῇ παρόδῳ, οὗτοι δὴ οὖν, ἐπειδὴ ἐκείνους τοὺς προπορευτὰς ἐθεάσαντο ἐν αὐτῷ δὴ τῷ αἰγιαλῷ τοῦ Ἰονικοῦ κόλπου καὶ τῇ κροκάλῃ πορευομένους, ὑπεκβάντες τοῦ ἄστεος, ἐσβάλλουσιν ἀθρόον ἐς C αὐτούς, εὖ μάλα παρατεταγμένοι, καὶ πολλοὺς μὲν τοῖς ξίφεσι

1. *ἀμφὶ αὐτὸν* R. *εὐθὺς ἀπεχώρει — οἴκαδε ἵκηται.* Plurimum h. l. ab ea recensione quam Lugd. exhibet, illa abit quam R. et Intpr. exprimunt. Nam vulg. quidem haec habet: *εὐθὺς ἀπεχώρει, βεβουλευμένον αὐτῷ, ἐπειδὰν ἀσφαλέστατα τὴν λείαν διακομίσῃ καὶ οἴκαδε ἵκηται*: quae per se spectata, vix reprehenderes. R. autem, quum praestantioris recensionis vestigia conservet, longe corruptiora exhibet, cunctis ab *ἀπεχώρει* usque ad *ἀσφαλέστατα* vocabulis omissis, aliis transpositis: *εὐθὺς τὴν λείαν διακομίσῃ ἠπείγετο ὡς ἂν καὶ οἴκαδε ἵκηται.* Interpres denique, integerrimo codice usus, sine ullo erroris periculo ad veritatem ducit, dum sic vertit: *Leuthares itaque cum ceteris circa se copiis praedam omnem quam primum secum deferre accelerabat, et domum contendere.* 3. *εὐθὺς* add. ex R. *ὡς* R., *ἐς* vulg. 6. *αὐτὴν* ins. ex. R. et Intpr. *eadem via.* 7. *Πικηνοῦ.* Sic R. et Intpr., vulg. *πυκνῆς.* Vulc. coni. *Πικένης* s. *Πευκεντίνης.* 9. *ἔστελλε* R., *ἔστειλε* vulg. 12. *ἀμυνουμένους* Cl., *ἀμυνομένους* R. et vulg. *Οὔλδαχ* R. et Intpr., *Οὐλδάχης* vulg. 15. *δὴ οὖν* R. et Lugd., *δὲ οὖν* edd. 16. *Ἰωνικοῦ* R.

hil quidem adversi ad Picenum agrum usque accidit: cum autem eo progressus pervenisset, ipse quidem circa Fanum urbem castra metatus est; emissis etiam statim, suo more, praecursoribus et speculatoribus ad tria hominum millia, qui non solum anteriora loca explorarent, sed, sicubi hostes comparerent, profligarent: Artabanes vero et Uldach ille Hunnus, qui cum exercitu Romano pariter et Hunnico ad Pisaurum urbem collecti erant, insidiis in transitu collocatis, hi, inquam, praecursores illos conspicati, in ipso Ionici sinus littore et crepidine euntes, egressi urbe, acieque optime instructa confertim in eos irruunt, ac multos quidem gladiis caedentes trucidant; non pauci

A. C. 553 παίοντες διεχρῶντο. ἔνιοι δὲ αὐτῶν ὑπὲρ τὸ κρημνῶδες καὶ ἀπεῤ-
I. I. 27 ῥωγὸς τῆς ἠιόνος ἀναβάντες, ἔπειτα κατὰ τοῦ πρανοῦς ὑπο-
φερόμενοι, καὶ ἐς τὴν θάλατταν κατωκάρα ἐκπίπτοντες, ἀπώλ-
λυντο, ἐμφορούμενοι τοῦ ῥοθίου. ἐπῆρται γάρ πως ἐνταῦθα
ἡ ἀκτὴ, καὶ ὥσπερ γεώλοφόν τι ἀποτελεῖ, οὐ πανταχόθεν βα-
τόν τε καὶ ἐπίδρομον, οὐδὲ οἷον τοῖς ἐπ' ἄκρου γιγνομένοις
εὐκόλους παρέχειν τὰς ἀναβάσεις, ἀλλ' ὀλισθηρὸν, ὡς τὰ πολλὰ,
καὶ σηραγγῶδες καὶ ἐς τὸ βαθυνόμενον τῆς ῥηγμῖνος ἐπικεκλι-
D μένον. οὕτω δὴ οὖν τῶν πλείστων διαφθειρομένων, καθορῶν-
τες οἱ ἄλλοι ἔφυγον οὐδενὶ κόσμῳ, βοῇ τε ξὺν πολλῇ καὶ οἰμωγῇ
ἀνὰ τὸ στρατόπεδον εἰσπεσόντες, θορύβου καὶ ταραχῆς ἅπαντα
ἔπλησαν, ὡς αὐτίκα μάλα τῶν Ῥωμαίων ἐπελευσομένων. αὐ-
τός τε δὴ οὖν Λεύθαρις διανίστατο ἐς παράταξιν, καὶ ἅπαν
τὸ στράτευμα ἐκινεῖτο· καὶ τοίνυν, ἀναλαβόντες τὰ ὅπλα, ἐς
φάλαγγα καθίσταντο, βαθεῖάν τε καὶ ἐπιμέγα παρατεταμένην.
ἐν τούτοις δὲ αὐτῶν καταστάντων, καὶ οὐδὲν ὁτιοῦν αὐτοῖς
ἕτερον ἐν νῷ τίθεσθαι παρέχοντος τοῦ καιροῦ, οἱ πλεῖστοι τῶν
αἰχμαλώτων ἀφύλακτοι ἀθρόον γεγενημένοι, ἀπεχρῶντο ἐν
δέοντι τῇ τῶν πολεμίων ἀσχολίᾳ· αὐτοί τε γὰρ ὡς τάχιστα διε-
δίδρασκον, καὶ τῶν λαφύρων ὁπόσα οἷόν τε ἦν ἐς τὰ ἐχόμενα
P. 38 φρούρια διεκόμισαν.
V. 28 γ'. Ἐπεὶ δὲ Ἀρταβάνης τε καὶ Οὔλδαχ, ᾤοντο γὰρ οὐκ ἀξιό-

2. Suid. s. v. κατωκάρα: ἐκ τοῦ πρανοῦς ὑποφαινόμενοι, mox ἐμπίπτοντες. 3. θάλασσαν vulg. 6. ἐπίδρομον R., εὐεπίδρομον vulg. 7. ἀναβάσεις. Intpr. *descensum*, Lugd. mg. ἴσ. καταβάσεις. 10. ἔφευγον R. 12. αὐτίκα τῶν Ῥωμαίων μάλα R. αὐτὸς δὴ R. 22. Οὐάλδαχ R. γὰρ ins. ex R.

cum praerupta littoris praecipitia conscendissent, in declive delati, pronique in mare provoluti, et procellis abrepti perierunt. Subrigit enim se quodammodo ea parte littus, et veluti collem quendam facit, non omni ex parte accessibilem et pervium, quique, ubi in eius summitatem ventum fuerit, nequaquam facilem praebeat descensum, sed maxima sui parte praecipitiis ad lapsum proclivibus et hiantibus obnoxium, et in profundiorem maris crepidinem vergentem. Alii itaque quamplurimos ita pereuntes conspicati, absque ullo ordine fugerunt, et cum ingenti clamore atque eiulatu ad exercitum delati perturbatione et tumultu omnia implerunt, ut iamiam ingruentibus Romanis. Leutharis vero ad proelium se comparans, omnem exercitum movebat. Illi arreptis armis aciem instruebant, densam pariter et in longum protensam. Hoc ergo pacto constitutis ipsis, neque opportuniore consilio in mentem veniente, plurimi captivi incustoditi relicti, hostium occupatione opportune usi, quam celerrime aufugerunt, et quicquid poterant spoliorum in proxima castella transtulerunt.

3. Cum vero Artabanes simul et Uldach impares sese commit-

μαχοι εἶναι, ἥκιστα ἐπεξῆγον τὸ στράτευμα, τότε δὴ οἱ Φράγ- A. C. 553
γοι διελύετο μὲν αὐτοῖς ἡ παράταξις, κατὰ σφᾶς δὲ γινόμενοι L. I. 27
καὶ γνωματεύοντες, διεγίνωσκον ὁπόσων ἐτύγχανον ἀφῃρημένοι. πρίν γε δὴ οὖν καὶ ἕτερόν τι παθεῖν, ἐδόκει αὐτοῖς ἐν καλῷ ἔσεσθαι, εἴγε ὡς τάχιστα ἐκ Φάνου τῆς πόλεως ἀναστάντες, ἴοιεν ἀνὰ τὰ πρόσω. καὶ τοίνυν αὐτίκα ἐχώρουν, ἀφέντες δὲ ἐν δεξιᾷ τὸν Ἰόνιον κόλπον καὶ ἅπασαν τὴν παράκτιόν τε καὶ ψαμαθώδη πορείαν, ἀνὰ τοὺς πρόποδας τοῦ Ἀπινναίου ὄρους ἐπορεύθησαν. οὕτω τε ἰθὺ Αἰμιλείας καὶ Ἀλπισκοτίας ἐλθόντες, μόλις τὸν Πάδον ἐπεραιοῦντο. καταλαβόντες δὲ Βενετίαν τὴν χώραν, ἐς Κένετα τὴν πόλιν κατήκοον οὖσαν σφῶν ἐν τῷ τότε ηὐλίζοντο, αὐτοῦ τε τολοιπὸν ἐν τῷ ἀσφαλεῖ διαιτώμε- B
νοι, ἤσχαλλόν γε ὅμως καὶ ἐδυσφόρουν, καὶ πολύ τι ὑπῆρχε διαφανὲς τῆς γνώμης τὸ ἀνιώμενον. αἴτιον δὲ ἦν, ὅτι δὴ αὐτοῖς ἐλάχιστα ἐκ τῆς λείας ἐλείπετο, καὶ ἐδόκει ἄκαρπα καὶ ἀνόνητα διαπεπονηκέναι. ἀλλ' οὐ μέχρι τοῦδε μόνον αὐτοῖς τὰ τῶν δυστυχημάτων ἐχώρει. ὀλίγῳ γὰρ ὕστερον καὶ νόσος τις λοιμώδης ἔφθειρε τὰ πλήθη ἐξαπιναίως ἐπεισπεσοῦσα. καὶ οἱ μὲν αὐτῶν μοχθηρὸν ἀποκαλοῦντες τὸν περικείμενον σφίσιν ἀέρα αἴτιον ἐκείνου τοῦ πάθους γεγενῆσθαι ἡγοῦντο. οἱ δὲ ὅτι πολέμους τε συχνοὺς καὶ ὁδοιπορίας μακρὰς διανύσαντες, ἀθρόον ἐς τὸ

3. ὁπόσων R., ὁπόσα vulg. 8. Ἀπινναίου R., Ἀπιναίου vulg. 9. Ἄλπεις Κοττίας Lugd. mg. Verum *Alpiscotia* Agathiae singularis numerus est. 11. Κένετα R., Κενεστὰ vulg., Intpr. *Cenedam.* κατήκοον οὖσαν R., vulg. οὖσαν post τότε legitur. 13. ἤσχαλλόν τε R. 15. Intpr. *tanta ex praeda*; f. legebat: ἐκ τοσαύτης. 19. περικείμενον R., Intpr. *circumiectorum locorum*, παρακείμενον vulg. 20. ἐκείνου R., ἐκεῖνον vulg.

tendo proelio censentes copias nequaquam educerent, tum Franci soluta acie in castra reversi cognoverunt quantam iacturam fecissent. Quocirca priusquam gravius aliquod damnum acciperent, visum est eis consultum, si quam citissime motis a Fano urbe castris ultra progrederentur. Statim itaque processerunt, relicto ad dextram Ionio sinu et littorali universa arenosaque via, ad radices Apennini montis iter fecerunt; atqua ita recta Aemiliam et Alpes Cottias versus euntes, aegre Padum traiecerunt. Cum vero in ditionem Venetam venissent, ad Cenetam urbem per id tempus ipsis subditam stationem habuerunt, ibi deinceps in tuto commoraturi. Dolebant tamen molesteque ferebant, et summum quendam moerorem prae se ferebant, quod ipsis perquam exiguum e praeda esset reliquum, videbanturque sibi irritos inutilesque labores perpessi. Sed non his terminis ipsorum calamitas fuit circumscripta. Paulo enim post, pestilens quidam morbus repente incidens multitudinem absumsit; et nonnulli quidem illorum ambientis aëris pravitatem incusabant, causam morbi ei adscribentes: alii vero, quod continuis bellis et longis itineribus peractis repente ad otiosam mollemque vitam essent tra-

A. C. 553 L. I. 27 ἀβροδίαιτον μετεβέβλητο, τὴν τῆς διαίτης παραλλαγὴν ᾐτιῶντο, τὴν δέ γε ὡς ἀληθῶς ἀρχήν τε καὶ ἀνάγκην τῆς συμφορᾶς οὐ C μάλα διενοοῦντο. ἦν δὲ ἄρα οἶμαι ἡ ἀδικία, καὶ τὸ περιϋβρίσθαι πρὸς αὐτῶν τά τε θεῖα ἀφειδῶς καὶ ἀνθρώπεια νόμιμα. αὐτὸς δὴ οὖν ὁ στρατηγὸς καὶ μάλα ἔνδηλος ἦν, ὅτι δὴ αὐτὸν θεήλατοι μετῆλθον ποιναί. παραπλήξ τε γὰρ ἐγεγόνει, καὶ ἐλύττα περιφανῶς, καθάπερ οἱ ἔκφρονες καὶ μεμηνότες, κλόνος τε αὐτὸν ἐπεῖχε μυρίος, καὶ οἰμωγὰς ἀφίει βαρείας· καὶ νῦν μὲν πρηνὴς, νῦν δὲ καὶ ἐπὶ θάτερα ἐν τῷ ἐδάφει κατέπιπτεν· ἀφρῷ τε πολλῷ τὸ στόμα περιεῤῥεῖτο· καὶ τὼ ὀφθαλμὼ βλοσυρώ γε ἤστην καὶ παρατετραμμένω. ἐς τοῦτο δὲ ἄρα ὁ δείλαιος ἀφῖκτο μανίας, ὥστε ἀμέλει καὶ τῶν οἰκείων μελῶν ἀπογεύσασθαι. D ἐχόμενος γὰρ ὀδὰξ τῶν βραχιόνων καὶ διασπῶν τὰς σάρκας, κατεβίβρωσκέ γε αὐτὰς ὥσπερ θηρίον διαλιχμώμενος τὸν ἰχῶρα. οὕτω δὲ ἑαυτοῦ ἐμπιπλάμενος, καὶ κατασμικρὸν ὑποφθινύθων, οἰκτρότατα ἀπεβίω. ἔθνησκον δὲ χύδην καὶ οἱ ἄλλοι, οὐδενότι καὶ ἀνιέντος τοῦ κακοῦ, ἕως ἅπαντες διεφθάρησαν. καὶ πυρετῷ μὲν οἱ πλεῖστοι πιεζόμενοι, νηφαλέοι γε ὅμως ἀπώλλυντο. ἐνίοις δὲ καὶ ἀποπληξία ἐνέσκηπτεν ἰσχυρὰ καὶ ἑτέροις καρηβαρία, καὶ παραφροσύνη ἑτέροις. ποικίλα μὲν γὰρ αὐτοῖς ἐπεφέρετο πάθη, ἅπαντα δὲ εἰς ὄλεθρον ἀπεκρίνετο. Λευθα-

2. τῆς συμφορᾶς add. ex R. et Intpr. *necessitatem calamitatis.* 4. τά τε θεῖα ἀφειδῶς R., ἀφειδῶς τά τε θεῖα vulg. 9. καὶ post νῦν δὲ ins. ex R. 10. βλοσυρώ R. et corr. Lugd., βλοσσυρώ vulg. 14. διαλιχμωμένος R. 15. ὑποφθινύθων R., ὑποφθιννύθων vulg. 18. πιεζόμενοι R. Lugd. (Cl.), Intpr. *degravata*, Par. πεσόμενοι, Ed. pr. πιεσσόμενοι. 20. καρηβαρεῖν R. αὐτῷ R. 21. ἐπεφέρετο R. Lugd. (Cl), ἐπεφέρητο edd.

ducti, vitae immutationem in causa esse putabant. At ipsam revera originem necessariamque causam mali plane non intelligebant, quae profecto erat iniustitia, et divina pariter atque humana iura ab ipsis proculcata. Ipsum itaque ducem videre erat evidenter poenis divinitus immissis obnoxium: insania enim manifestaque rabie, instar eorum, qui mente capti furere solent, corripiebatur, multaque vertigine agitabatur, gravesque eiulatus edebat, modo pronus, modo in alterutrum latus in solum procidens, multamque ex ore spumam ciens; oculi etiam ipsi erant torvi; horrendumque in modum inversi; eo denique insaniae venerat miser, ut ne a suis quidem membris degustandis abstineret. Assidue enim mordicus brachiis suis inhaerens, et carnes dentibus convellens, eas instar ferae alicuius bestiae dilaniabat, promanantem saniem lambens, atque ita sui ipsius satur paulatimque contabescens miserrime periit. Extincti vero sunt universim etiam ceteri, nihil penitus se remittente malo, donec omnes interierunt; ac febre quidem plurimi pressi, sana tamen mente perierunt; nonnullos autem gravissima apoplexia afflixit, alios capitis gravedo,

ρίῳ μὲν οὖν καὶ τῷ οἱ ἑπομένῳ ὁμίλῳ, ἐς τόδε τύχης τὰ τῆς A. C. 553
ἐκστρατείας ἐτελεύτα. I. I. 27

δ'. Ἐν ᾧ δὲ ταῦτα ἐν Βενετίᾳ ξυνέβαινε, Βουτιλῖνος P. 39
ἅτερος στρατηγὸς, τὰ μέχρι τοῦ πορθμοῦ τῆς Σικελίας πολίσματά τε καὶ φρούρια σχεδόν τι ἅπαντα λυμηνάμενος, ἐπανῄει αὖθις ὡς τάχιστα ἰθὺ Καμπανίας τε καὶ Ῥώμης. ἠκηκόει γὰρ τὸν Ναρσῆν καὶ τὰς βασιλέως δυνάμεις αὐτοῦ που ἠθροῖσθαι. καὶ ἠβούλετο μὴ μέλλειν ἔτι μηδὲ ἀλᾶσθαι, ἀλλὰ παντὶ τῷ στρατῷ παραταξάμενος, τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἀναῤῥίψαι· ἐπεὶ καὶ μέρος τι οὐκ ἐλάχιστον καὶ τῆς ἀμφ' αὐτὸν στρατιᾶς νόσῳ ἑαλώκει καὶ διεφθείρετο. ἤδη γὰρ τοῦ θέρους λήγοντος, καὶ τοῦ φθινοπώρου ἀρχομένου, αἱ μὲν ἄμπελοι τῷ καρπῷ ἐβρίθοντο, οἱ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων, (ἅπαντα γὰρ τῷ Ναρσῇ ἐμφρονέστατα προδιήρπαστο,) οἱ δὲ τοὺς βότρυς B
ἀφαιρούμενοι, καὶ ταῖς χερσὶ διαθλίβοντες, ἐνεφοροῦντο τοῦ γλεύκους, αὐτοσχεδιάζοντες τὸν ἀνθοσμίαν. ἐνθένδε τε αὐτοῖς ἡ γαστὴρ ἐπιμέγα ἐφέρετο καὶ διέῤῥει, καὶ τὸ μέν τι αὐτῶν ἔθνησκεν αὐτίκα, ἦσαν δὲ οἳ καὶ διεγίγνοντο. πρίν γε δὴ οὖν καὶ ἅπασιν ἐκνικῆσαι τὸ πάθος, ἐδόκει οἱ εἶναι πολεμητέα ἐς ὅ, τι ἐκβαίη. καὶ τοίνυν ἀφικόμενος ἐς Καμπανίαν, στρατοπεδεύεται οὐ πόῤῥω Καπύης τῆς πόλεως, ἀμφὶ τὰς ὄχθας τοῦ Κασουλίνου ποταμοῦ. ὃς δὴ ῥέων ἐκ τοῦ ὄρους τοῦ Ἀπιν- V. 29

4. ἕτερος R. 11. διαλώκει R. 13. R. in mg. ἦν δὲ. 14. βότρυς R., βότρυας vulg. 16. αὐτῶν R. 21. Καπύης R., Καπούης vulg.

alios delirium. Variis enim morbis laborabant, sed omnibus in perniciem desinentibus. Leutharis itaque quique eum sequebantur expeditio huiusmodi calamitosum habuit exitum.

4. Dum vero haec in Venetia contingunt, Butilinus alter dux oppidis castellisque propemodum omnibus ad Siculum fretum usque vastatis, statim quam citissime Campaniam versus et Romam se recepit. Inaudierat enim Narsetis et Imperatoris exercitus eo convenisse, et statutum erat non cunctari diutius neque animi pendere, sed in aciem instructis omnibus copiis de rerum summa decertare; quandoquidem non minima exercitus qui ei aderat pars morbo correpta interierat. Vergente enim iam aestate et autumno ineunte, vineae quidem uvis onustae erant; hi vero inopia aliarum rerum necessariarum (omnis enim commeatus per Narsetem prudentissime praereptus erat) avulsis uvis, succoque manibus expresso, musto sese ingurgitabant, odoriferum vinum, quod Graeci *ἀνθοσμίαν* vocant, ex tempore conficientes; unde vehementissimo alvi profluvio laborarunt: et nonnulli quidem eorum eo interierunt, nonnulli etiam supervixerunt. Priusquam itaque hic morbus omnes pervaderet, committendum sibi quocunque eventu proelium censebat. Quocirca cum in Campaniam venisset, castra non procul a Capua urbe fixit, ad ripas Casulini fluminis, quod quidem ex Apennino monte fluens, et per

A. C. 553 ναίου, καὶ ἀνὰ τὰ ἐκείνῃ πεδία περιελιττόμενος, ἐς τὴν
I. I. 27 Τυρσηνικὴν φέρεται θάλατταν. ἐνταῦθα δὴ οὖν ἱδρύσας τὸν
στρατὸν, χαράκωμά τε περιεβάλετο καρτερὸν, καὶ ἐπεποίθει
C τῷ χώρῳ· ὁ γὰρ ποταμὸς αὐτῷ ἐν δεξιᾷ ὑποῤῥέων ἀντ' ἐρύματος εἶναι ἐδόκει τοῦ μή τινα ἐπιέναι, καὶ τοὺς τῶν ἁμαξῶν τροχοὺς, ἃς δὴ ὡς πλείστας ἐπήγετο, στοιχηδὸν ἐς ἀλλήλους ἁρμόσας, ἐνέπηξε τὰ ὀπίσω τῷ ἐδάφει, ἄχρι καὶ ἐς τὰς πλήμνας περιχώσας, ὡς μόνα τὰ ἡμικύκλια ὑπερανέχειν καὶ προβεβλῆσθαι. τούτοις δὴ οὖν καὶ ἑτέροις ξύλοις πολλοῖς ἅπαν τὸ στράτευμα ἐρυμνώσας, ἔξοδόν τινα οὐ μάλα εὐρεῖαν καταλέλοιπεν κενὴν τῶν περιφραγμάτων, ὡς ἐκ τῆσδε αὐτοῖς ἐξείη ῥᾳδίως ᾗ βούλοιντο κατὰ τῶν πολεμίων ἐφόδους τε καὶ
D ἐπανόδους ποιεῖσθαι. ὅπως δὲ ἂν αὐτῷ μηδὲ τὰ τῆς γεφύρας τοῦ ποταμοῦ ἀφύλακτα εἴη, μηδέ γε ἐνθένδε πημαίνοιτο, προκαταλαμβάνει τε αὐτὴν, καὶ πύργον τινὰ ξύλινον ἐνταῦθα τεκτηνάμενος, ἐφίστησιν ἐν αὐτῷ ἄνδρας ὁπόσους οἷόν τε ἦν μαχίμους τε καὶ ἄριστα ὡπλισμένους· ἐφ' ᾧ ἐκ τοῦ ἀσφαλοῦς ἀμύνεσθαι, καὶ ἀπερύκειν τοὺς Ῥωμαίους διαβησείοντας. οὕτω δὲ ἕκαστα διαθεὶς, ᾤετό οἱ τὰ παρόντα ἐν δέοντι παρεσκευάσθαι, ὡς καὶ ἐν αὐτῷ δή που κεισόμενον πολέμου κατάρχεσθαι, καὶ οὐ πρότερον μάχης ἐσομένης, πρὶν ἂν ἐκείνῳ εἴη βουλομένῳ. καὶ τὰ μὲν ἀμφὶ τῷ ἀδελφῷ ἐν Βενετίᾳ ξυμβαίνοντα
P. 40 οὔπω ἐπέπυστο, ἐθαύμαζεν δὲ ὅτι δὴ αὐτῷ κατὰ τὸ ξυγκείμενον

2. Τυρσηνὴν R. θάλασσαν R. 4. τῷ χωρίῳ R. ὁ γὰρ R., ὅ τε γὰρ vulg. διαῤῥέων R. 7. Pro τὰ ὀπ. R. τὰ ἐπισώτερα: aberravit, ut videtur, a τὰ ὀπισώτερα. 19. παρασκευάσθαι R. 21. εἴη R., ἔοι vulg. 23. ἐπέπυστο R., πέπυστο vulg.

circumiacentes campos flexuose labens, in Tyrrhenum mare fertur. Hic itaque locato exercitu, valido eum vallo munivit, natura loci fretus. Fluvius enim ipsi ad dextram labens, propugnaculi loco esse videbatur, ne quis ea ex parte adoriretur, et curruum, quorum maximam habebat vim, rotas ordine inter se consertas solo infixit, terra ad modiolos rotarum usque aggesta, ita ut circumferentiae dimidia tantum pars exstaret et promineret. His, inquam, aliisque multis stipitibus cum universum exercitum communisset: exitum quendam non valde amplum neque ullo septo obstructum reliquit, ut per eum facile liceret, si liberet, excursus in hostes et recursus facere. Ne vero pons quo fluvius erat stratus incustoditus esset, neve ea ex parte damnum acciperet, hunc etiam praeoccupat, et turre quadam lignea in eo exstructa strenuos in ea quantum fieri poterat optimeque armatos viros collocat, qui pontem e tuto propugnarent, et Romanos transitum molientes propulsarent. His itaque singulis ita dispositis, omnia quam optime comparata censebat; tanquam in ipsius potestate futurum esset, bellum inchoare, neque prius proelium committi posset, quam ipsi liberet. Porro quae fratri suo in Venetis acciderant, nec-

τὸ στράτευμα οὐκ ἐπεπόμφει· καὶ ὑπετόπαζεν, ὡς οὐκ ἂν ἐς A. C. 553 τοσοῦτον ἐμέλλησεν, εἰ μή τι αὐτοῖς ξυνηνέχθη δεινὸν καὶ ἀντίξουν· I. I. 27 πλὴν ἀλλὰ καὶ ἐκείνων ἄνευ περιέσεσθαι τῶν πολεμίων ἡγεῖτο, ἅτε δὴ τῷ πλήθει καὶ ὣς ὑπερβάλλων. ἐς τρεῖς γὰρ αὐτῷ μάλιστα μυριάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη στρατιὰ ξυνετάττετο· ἡ δὲ τῶν Ῥωμαίων δύναμις μόλις ἐν ὀκτωκαίδεκα χιλιάσιν ἐτύγχανεν οὖσα.

ε. Αὐτός τε δὴ οὖν ὧδέ πως ἄριστα εἶχε προθυμίας, καὶ ἅπαντι τῷ στρατῷ παρεκελεύετο γιγνώσκειν, ὡς ὁ παρὼν ἀγὼν οὐκ ἐπὶ σμικρῷ τινι χωρήσει, „ἀλλ' ἢ καθέξομεν," ἔφη, B „τὴν Ἰταλίαν, οὗ δὴ καὶ ἕκατι ἀφικόμεθα, ἢ λελείψεται ἡμῖν ἅπασιν ἀκλεῶς ἐνθάδε τεθνάναι. οὐκοῦν τόδε ἡμᾶς, ὦ γενναῖοι, ἀντ' ἐκείνου ἑλέσθαι προσήκει, ἐξὸν ἄνδρας ἀγαθοὺς ἐν τῷ πολέμῳ γιγνομένους, ἀπόνασθαι ὧν ἐφιέμεθα." Βουτιλῖνος μὲν οὖν ταῦτά τε καὶ τὰ τοιάδε παραινῶν τοῖς πλήθεσιν οὐκ ἀνίει. οἱ δὲ ἐπεῤῥώννυντο ταῖς ἐλπίσι, καὶ τὰ ὅπλα, ὥς πη ἑκάστῳ φίλον, παρεσκευάζοντο. ὡδὶ μὲν γὰρ πελέκεις ἐθήγοντο πολλοί, ὡδὶ δὲ τὰ ἐπιχώρια δόρατα, οἱ ἄγγωνες, ἑτέρωθι δὲ τῶν ἀσπίδων αἱ διεῤῥωγυῖαι πρὸς τὸ ἐνεργὸν μετεποιοῦντο, καὶ ῥᾳδίως αὐτοῖς ἅπαντα παρεσκεύαστο. λιτὴ γὰρ C τοῦδε τοῦ ἔθνους ἡ ὅπλισις, καὶ οἵα οὐ τεχνιτῶν δεῖσθαι ποικίλων, ἢ μόνον ὑπ' αὐτῶν οἶμαι τῶν χρωμένων διακοσμεῖσθαι,

3. ἐκείνων R., ἐκείνου vulg. et Intpr. 11. δὴ καὶ ἕκ. R., δὴ ἕκ. vulg. ἐνθάδε τεθ. R., Intpr. *hic moriemur*, τὸ τεθ. vulg. 17. ξυνεσκευάζοντο R. 19. διεῤῥωγυῖαι R., διεῤῥαγυῖαι vulg. 23. f. καὶ μ.

dum inaudierat; mirabatur vero quod ei copias suas, uti inter ipsos convenerat, non misisset, suspicioque ipsi incidebat, non tam diu tardaturas fuisse, nisi eis aliquid sinistri adversique accidisset: nihilominus tamen etiam sine illis victoriam se ab hostibus reportaturum censebat; quippe qui vel sic copiarum multitudine esset superior. Qui enim ipsi reliquus erat exercitus ad triginta bellatorum millia accedebat, Romanorum vero exercitus vixdum erat millium octodecim.

5. Quocirca et ipse quam optime animatus erat et universum exercitum hortabatur, non de exigua aliqua re eo proelio decernendum esse, „sed aut Italiam, inquit, cuius causa venimus, obtinebimus, aut hoc unum iamiam nobis reliquum erit, ut omnes inglorii moriamur. Illud itaque nos potius, viri fortes, quam hoc, velle debemus; cum in nostra manu sit positum, si strenui esse velimus, quae optamus consequi." Butilinus itaque hisce aliisque verbis multitudinem hortari non desistebat. Hi vero bona spe fulti, arma ut cuique visum erat apparabant. Alibi enim secures multae acuebantur, alibi patria hastilia, quae ipsi angones vocant, alibi scuta confracta, ut usui essent, reficiebantur, facileque ipsis omnia instruebantur. Vilis enim est et neglecta huius nationis armatura quaeque variis opificibus non indigeat; sed facile ab ipsis, qui ea utuntur, si quid forte

A. C. 553 εἴ καί τι διαφθαρείη. θωράκων μὲν γὰρ καὶ κνημίδων ἀγνῶ-
L. I. [27]τες τυγχάνουσιν ὄντες, τὰς δὲ κεφαλὰς οἱ μὲν πλεῖστοι ἀσκε-
πεῖς ἔχουσιν, ὀλίγοι δὲ καὶ κράνη ἀναδούμενοι μάχονται· γυ-
μνοὶ δὲ τὰ στέρνα εἰσὶ καὶ τὰ νῶτα μέχρι τῆς ὀσφύος, ἐνταῦθα
δὲ ἀναξυρίδας, οἱ μὲν λινᾶς, οἱ δὲ καὶ σκυτίνας διαζωννύ-
μενοι τοῖς σκέλεσι περιαμπίσχονται. ἵπποις δὲ ἥκιστα χρῶνται,
πλὴν σφόδρα ὀλίγων, ἅτε δὴ αὐτοῖς τὸ πεζομαχεῖν σύντρο-
φόν τε ὂν καὶ πάτριον καὶ ἄριστα μεμελετημένον. ξίφος δὲ τῷ
μηρῷ, καὶ ἀσπὶς τῇ λαιᾷ πλευρᾷ παρῃώρηται. καὶ τοίνυν τόξα
D ἢ σφενδόνας ἢ ἄλλα ἄττα ἑκηβόλα ὅπλα οὐκ ἐπιφέρονται, ἀλλὰ
πελέκεις γὰρ ἀμφιστόμους καὶ τοὺς ἄγγωνας, οἷς δὴ καὶ τὰ πλεῖστα
κατεργάζονται· εἰσὶ δὲ οἱ ἄγγωνες δόρατα οὐ λίαν σμικρὰ, οὐμεν-
οῦν ἀλλ' οὐδὲ ἄγαν μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαί τε, εἴπου δε-
ήσοι, καὶ ἐς τὰς ἀγχεμάχους παρατάξεις πρὸς τὰς ἐμβολὰς ἐφι-
κνεῖσθαι. τούτων δὲ τὸ πλεῖστον μέρος σιδήρῳ πάντοθεν περιέχε-
ται, ὡς ἐλάχιστόν τι διαφαίνεσθαι τοῦ ξύλου, καὶ μόλις ὅλον
τὸν σαυρωτῆρα· ἄνω δὲ ἀμφὶ τὸ ἄκρον τῆς αἰχμῆς καμπύλαι
V. 30 τινὲς ἀκίδες ἐξέχουσιν ἑκατέρωθεν ἐξ αὐτῆς δήπου τῆς ἐπιδο-
ρατίδος, ὥσπερ ἄγκιστρα ὑπογναπτόμενα, καὶ ἐς τὰ κάτω
P. 41 νενεύκασι. καὶ οὖν ἀφίησι τυχὸν ἐν συμπλοκῇ τοῦτον δὴ τὸν
ἄγγωνα Φράγγος ἀνήρ. καὶ εἰ μὲν σώματί που ἐγχρίψειεν,
εἰσδύεται μὲν εἴσω, ὥσπερ εἰκὸς, ἡ αἰχμή, οὔτε δὲ αὐτὸν τὸν
βληθέντα οὔτε ἄλλον τινὰ ἐρύσαι ῥᾳδίως ἔνεστι τὸ δόρυ. εἴρ-

13. δεήσῃ R. 14. ἐφικνεῖσθαι R., ἀφικνεῖσθαι vulg. 19. ἄγγιστρα vulg. ὑπογναπτόμενα R., Intpr. *coarcuatae*, ὑπογαμπτόμενα vulg., ὑπογναμπτόμενα Lugd. 1. m. 23. οὔτε ἄλλον τινὰ add. R., Intpr. *neque alius quisquam*.

fractum fuerit, refici potest. Loricas enim et ocreas non norunt. Capita plerique eorum non muniunt, pauci vero galeis tecti pugnant. Pectoribus et tergoribus ad lumbos usque sunt nudis, inde braccis sive femoralibus alii lineis, alii coriaceis cincti, tibias cooperiunt. Equis vero non utuntur, nisi admodum paucis, quippe qui ad pedestrem pugnam, quae ipsis familiaris patriaque est, optime sint exercitati. Ensis femori, et scutum sinistro lateri appendet: arcubus aut fundis, vel aliis telis, quae eminus iaciuntur, non utuntur; sed ancipitibus securibus et angonibus, quibus praecipue rem gerunt. Sunt vero angones hastae quaedam neque admodum parvae, neque admodum magnae, sed et ad iactu feriendum, sicubi opus fuerit, et ubi cominus collato pede confligendum est impetusque faciendus, accommodatae. Hae pleraque sui parte ferro sunt obductae, ita ut perparum ligni a laminis ferreis nudum conspiciatur, atque adeo vix tota imae hastae cuspis; supra vero ad extremitatem spiculi, adunci quidam mucrones utrinque prominent, ex ipso spiculo instar hamulorum reflexi, et deorsum vergentes. In conflictu itaque Francus miles hunc angonem iacit; quod telum si corpori inflictum fuerit, adigitur qui-

γουσι γὰρ αἱ ἀκίδες ἔνδον ἐνεχόμεναι τῇ σαρκὶ, καὶ πικροτέ- A. C. 553
ρας ἐπάγουσαι τὰς ὀδύνας, ὥστε εἰ καὶ μὴ καιρίαν τὸν πολέ- I. I. 27
μιον τρωθῆναι ξυνενεχθείη, ἀλλὰ ταύτῃ γε διαφθαρῆναι. εἰ
δέ γε ἐς ἀσπίδα παγείη, ἀποκρέμαται μὲν αὐτίκα ἐξ αὐτῆς,
καὶ ξυμπεριάγεται, συρομένου ἐν τῷ ἐδάφει τοῦ ἀπολήγοντος·
ὁ δὲ βληθεὶς οὔτε ἐξελκύσαι τοῦτο δὴ δύναται τὸ δόρυ διὰ
τὴν εἴσδυσιν τῶν ἀκίδων, οὔτε ξίφει διατεμεῖν, τῷ μὴ ἐφι- B
κνεῖσθαι τοῦ ξύλου, ἀλλὰ τὸν σίδηρον παρατετάσθαι. ἐπειδὰν
δὲ τοῦτο ἐσίδοι ὁ Φράγγος, ὁ δὲ ἀθρόον ἐπιβὰς τῷ ποδὶ καὶ
ἐμπατήσας τὸν σαυρωτῆρα, καταβρίθει τὴν ἀσπίδα καὶ κατάγει,
ὡς ὑποχαλάσαι τὴν τοῦ φέροντος χεῖρα, καὶ γυμνωθῆναι τὴν
κεφαλὴν καὶ τὸ στέρνον. τότε δὴ οὖν αὐτὸν ἄφρακτον ἐκεῖνος
ἑλὼν ῥᾳδίως ἀπόλλυσιν, ἢ τὸ μέτωπον πελέκει πατάξας, ἢ δό-
ρατι ἑτέρῳ τὴν φάρυγγα διελάσας. τοιαύτη μὲν τοῖς Φράγγοις
ἡ ὅπλισις, καὶ ἐν τοῖσδε τὰ ἐς τὸν πόλεμον παρεσκευάζοντο.

ϛʹ. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπειδὴ ταῦτα
ἐγνώκει, αὐτίκα ὅγε ἅπαντι τῷ στρατῷ ἄρας ἐκ τῆς Ῥώμης, C
στρατοπεδεύεται οὐ πόῤῥω τῶν πολεμίων, ἀλλ' ὅσον πατάγου
τε ἀκούειν, καὶ διορᾶν τὸ χαράκωμα· οὕτω δὲ τῶν στρατευ-
μάτων ἀλλήλοις ἀναφανέντων, πολλὴ μὲν ἑκατέρωθεν ὑπῆρχεν

1. ἐνεχόμεναι τῇ σαρκί. Intpr. *cervice latius haerens* (?). 2. Intpr. legebat ἐπάγουσι: *affert.* 4. ἐς om. R. 5. συρομένου R., συρομένη vulg. 6. οὔτε ἐξελκύσαι R. (Cl.), οὔτε ξυνελκύσαι vulg. 9. ἐνίδοι R. 12. αὐτὸν add. ex R., Intpr. *hostem.* 16. ὁ add. ex R.

dem intro, uti verisimile est, cuspis, neque is qui ictus est neque alius quisquam facile telum evellere potest; obstant enim acuminati illi hamuli altius carni inhaerentes, et acerbos cruciatus excitant, adeo ut etiam si hostem nequaquam letale vulnus accepisse contingat, ex eo tamen intereat. Si vero scuto impactum fuerit, statim ex eo propendet, et circumagitur, infima sui parte solum verrens et versans. Is vero qui ictus est, neque telum scuto evellere valet, hamulis mordicus inhaerentibus, neque ense amputare, quod nimirum ad lignum pertingere non possit, ferreis laminis, quibus id obductum est, obsistentibus; quod simulac viderit Francus, confestim pede insultat, et proculcans imam hastam, scutum pondere sui corporis deprimit, ita ut, gestantis manu sese nonnihil laxante ac remittente, caput et pectus nudentur. Tum ille nudum hostem neque munitum nactus facile trucidat, sive securi frontem feriens, sive alia hasta iugulum traiiciens. Ac talis quidem est Francorum armatura, atque ita ad proelium apparabantur.

6. Narses vero Romani exercitus praetor ubi haec cognovit, statim et ipse universo exercitu Roma educto, non procul ab hostibus castra locat, sed unde et strepitus exaudiri et vallum conspici posset. Hoc itaque modo cum duo exercitus in mutuum conspectum venissent, accurate utrinque acies instruebantur, praesidiaque et excubiae locabantur, et duces ordines militares obibant. Spes vero et metus,

A. C. 553 παράταξις, πολλαὶ δὲ φρουραὶ, καὶ ἀγρυπνίαι, καὶ τῶν στρα- I. l. 27 τηγῶν ἀνὰ τὰ πλήθη περινοστήσεις· ἐλπὶς δὲ καὶ δέος καὶ παλιμβολία, καὶ ὅσα τοῖς περὶ μεγάλων ἀγωνιουμένοις παράλογα ἐγγίγνεται πάθη, ἄλλοτε ἄλλοις ἐπεφοίτα· τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν ἅπαντα καὶ δεδονημένα, ἐφ' οὓς ἂν καὶ χωρήσοιεν ἀμφιγνοοῦντα. ἐν τούτῳ δὲ οἱ Φράγγοι τὰς ἐχομένας κώμας δῃοῦντες, τὰ ἐπιτήδεια σφίσιν ἀναφανδὸν διε- D κόμιζον. Ναρσῆς δὲ τοῦτο ἰδὼν, αἶσχος οἰκεῖον ἡγεῖτο καὶ ἐχαλέπαινεν, εἴγε ἐξείη τοῖς τῶν δυσμενῶν ἀχθοφόροις οὕτω δή τοι ἀνειμένους ἐγγύτατα διαπορεύεσθαι, ὥσπερ οὐδενότι ἀντίπαλον θεωμένοις. ἐδόκει οὖν αὐτῷ οὐκ ἐπιτρεπτέα τολοιπὸν, ἀλλὰ παντὶ σθένει διακωλυτέον. Χαράγγης δέ τις ἀνὴρ Ἀρμένιος, ἐνηρίθμητο μὲν τοῖς Ῥωμαϊκοῖς ταξιάρχοις, ἀνδρειότατος δὲ ἦν ἐς τὰ μάλιστα καὶ φρενήρης, καὶ ἐν δέοντι φιλοκίνδυνος. τούτῳ δὴ οὖν τῷ Χαράγγῃ (ἵδρυτο γὰρ ἀμφὶ τὸ τέρμα τοῦ στρατοπέδου πλησιαίτατα τῶν πολεμίων ἐσκηνωμένος,) παρακελεύεται ὁ Ναρσῆς ἐπιέναι τοῖς ἁμαξελάταις, καὶ P. 42 σίνεσθαι αὐτοὺς καθ' ὅ, τι ἂν δύναιτο, ὡς ἂν μηκέτι χιλὸν διακομίζειν τολμῷεν. καὶ ὃς ἀθρόον ἐξιππασάμενος ἅμα ὀλίγοις τοῦ ἀμφ' αὐτὸν τάγματος, τὰς μὲν ἄλλας ἁμάξας ἀφαιρεῖται, καὶ τοὺς ἄγοντας κτείνει· μίαν δέ τινα αὐτῶν χόρτῳ σεσαγμένην

2. παλιμβολία R., παλιμβολίαι Lugd. 1. m. et Suid. s. v., idque explicat: ἡ εὐμετάβλητος γνώμη. Lugd. corr. παλιμβουλίαι, quod vulg. exhibet. 3. ἀγωνιζομένοις R. 5. ἐφ' οἷς R. 9. οὕτω δή τοι R., οὕτω δή τι vulg. 12. Χαράγγης R. et Intpr. hic et mox. Vulg. Χαναράγγης, quod, puto, memoria ex Procopii Persicis suppeditabat scribenti, immemori ibi dignitatis nomen esse. 16. ἐσκηνωμένος R., ἐσκηνημένος vulg. 19. ἐξιππάσας R.

variaeque animorum fluctuationes, et quicunque affectus inopinati de rebus magnis decertaturis suboriri solent, nunc hos nunc illos incessebant. Omnia vero Italiae oppida dubia suspensaque haerebant, cui tandem parti cederent. Interea Franci proximos vicos vastantes, commeatum transvehebant. Quod ubi animadvertit Narses, ad suum dedecus hoc pertinere censebat molesteque ferebat, si hostium calones ita libere loca quam maxime vicina pertransirent, perinde ac si nullum hostem vidissent. Visum itaque ei non est amplius id ferendum, sed omnibus viribus prohibendum. Charanges vero, vir quidam Armenius, Romanis tribunis accensus erat, strenuus inprimis et prudens et in adeundis periculis moderate audax. Huic itaque Charangi (erant enim eius tentoria in extremis castris quam proximo hostium fixa,) mandat Narses ut in curruum vectores impetum faceret, eisque quantum posset noceret, ne amplius pabula transvehere auderent. Ipse vero confestim paucis e sua legione equitibus secum ductis, reliqua quidem plaustra intercipit et vectores trucidat. E qui-

ἀγρίῳ τε καὶ γεγηρακότι, προσάγει τῷ πύργῳ, ὃν δὴ ἐπὶ τῆς A. C. 553 γεφύρας οἱ Φράγγοι ἐτύγχανον ἐξειργασμένοι, ἧπέρ μοι εἴρηται I. I. 27 πρότερον. καὶ οὖν ἐνταῦθα προσπελάσας τὴν ἅμαξαν, πῦρ ἐμβάλλει τῷ χόρτῳ, μεγίστης δὲ φλογὸς ἐξαπίνης ἀρθείσης, ῥᾳδίως ἅπασα ἡ τύρσις ἐνεπίμπρατο, ἅτε δὴ ξύλοις ἐσκευασμένη. οἱ δὲ ἄνδρες τῶν βαρβάρων ὁπόσοι ἐπὶ φρουρᾷ ἐτετάχατο, ἐπειδὴ ἀμύνεσθαι οὐκ ἠδύναντο, ἀλλ' ἤδη που καὶ αὐτοὶ πυρπολεῖσθαι ἤμελλον, ἔγνωσαν μεθεῖναι τὸ χωρίον, καὶ B οἱ μὲν μόλις ἐνθένδε διεκπεσόντες ἐπὶ τὸ σφῶν στρατόπεδον καταφεύγουσιν· οἱ δὲ Ῥωμαῖοι τῆς γεφύρας ἐγκρατεῖς ἐγεγένηντο. Τούτων δὲ οὕτω ξυνενεχθέντων, αὐτίκα οἱ Φράγγοι ταραχῆς, ὡς τὸ εἰκός, ἐνεπίμπλαντο, καὶ πρὸς τὰ ὅπλα ἐχώρουν. σφαδάζοντες τῷ θυμῷ καὶ λυττῶντες, κατέχειν τε ἐν ἑαυτοῖς τὰ φρονήματα οὐκ ἠδύναντο, ἀλλὰ τολμητίαι γε ἦσαν πέρα τοῦ μετρίου καὶ θαῤῥαλέοι, ὡς μηκέτι ἠρεμεῖν ἐθέλειν V. 31 μήδε διαμέλλειν, ἀλλ' αὐθημερὸν παρατάττεσθαι· καὶ ταῦτα προειρημένον αὐτοῖς ὑπὸ τῶν Ἀλαμανικῶν μάντεων, μὴ δεῖν ἐκείνης τῆς ἡμέρας διαμάχεσθαι, ἢ γιγνώσκειν ὡς ἄρδην ἅπαντες ἀπολοῦνται. οἶμαι μὲν οὖν εἰ καὶ τῇ ὑστεραίᾳ ἢ καὶ καθ' ἑτέραν ἡ ξυμβολὴ ἐγεγόνει, πάντως ἂν τοῦτο ἐκεῖνο ἐπεπόνθεσαν, C ὅπερ καὶ ἐν τῷ τότε ἀπέβη. οὐ γὰρ δή που ἡ τῆς ἡμέρας ἐναλλαγὴ ἀπέχρησεν ἂν αὐτοῖς ἐς τὸ μὴ οὐχὶ ποινὰς ἀπο-

1. Suid. s. v. *σεσαγμένην*: *παρεισάγει*. 4. *ἐξαπίνης* R., *ἐξαπιναίως* vulg. 10. *ἐγκρατεῖς* add. ex R., Intpr. *Romani e vestigio ponte potiuntur*; addit igitur *εὐθὺς*. Vulc. coni. *κύριοι*. 12. *ἐνεπίμπλαντο* R., *ἀνεπίμπλαντο* vulg. 16. *διαμέλλειν* R., *διαμέλειν* vulg. 20. *πάντες* R. 22. *μὴ οὐχὶ* R., *μὴ οὐ* vulg.

bus plaustris unum multo rurali aridoque foeno onustum turri admovet, quam Franci in ponte exstruxerant, cuius supra mentionem feci. Hoc itaque plaustro ita ad turrim admoto, ignem foeno immittit. Ingenti vero flamma repente sublata, facile universa turris utpote lignea conflagravit. Tum barbari quotquot in eius praesidio erant collocati, cum eam tueri non possent, ipsique incendio illo perituri viderentur, stationem deserendam censuerunt; ac difficulter quidem inde delapsi, ad exercitum ipsorum confugerunt; Romani vero ponte potiuntur. His ita peractis Franci statim tumultu, uti par erat, pleni ad arma convolant, frementes ira et rabidi, et summa animi impotentia correpti, ultraque modum audaces et praefidentes non ultra quiescendum sibi censebant, neque cunctandum, sed eo ipso die proelium committendum; quantumvis Alemannici vates praedixissent illo die confligendum non esse, aut scirent se ad unum omnes perituros. Ego vero ita existimo, etiam si postridie aut alio ab hoc die proelium commissum fuisset, eundem plane, qui tunc fuit, eventum futurum fuisse. Neque enim unius diei immutatio hoc effecisset, quo minus impietatis suae poenas luerent. Ceterum sive hoc ita evenerit, sive etiam for-

A.C. 553 L. I. 27 τίσαι ὧν ἐτύγχανον ἠσεβηκότες. πλὴν ἀλλ' ὅμως εἴτε οὕτω ξυμβὰν, εἴτε καὶ ἴσως τῶν Ἀλαμανικῶν χρησμολόγων ὅτῳ δὴ οὖν τρόπῳ τὰ ἐσόμενα ἐπιφρασαμένων, οὐ κενὸν τοῖς πολλοῖς οὐδὲ ἀτελεύτητον ἔδοξεν εἶναι τὸ μάντευμα. ὅπως δὲ τῶν ἐφεξῆς ἕκαστα ἐπράχθη, αὐτίκα ἐς τὸ ἀκριβὲς ὡς οἷόν τέ μοι λελέξεται.

ζ. Ὁ μὲν γὰρ τῶν Φράγγων λεὼς ὧδέ πως εἶχεν ὁρμῆς, καὶ ἤδη αὐτοῖς τὰ ὅπλα μετεκεχείριστο. ἐξώπλισε δὲ καὶ ὁ Ναρσῆς τοὺς Ῥωμαίους, καὶ ὑπεξῆγε τοῦ στρατοπέδου, ἐφ' ᾧ ἐν μεταιχμίῳ γενέσθαι, οὗπερ ἔδει αὐτοὺς ἐς φάλαγγα κα-
D ταστῆναι. ἐν ᾧ δὲ τὸ στράτευμα ἐκεκίνητο, καὶ ἤδη ὁ στρατηγὸς τῷ ἵππῳ ἐπεβεβήκει, ἀγγέλλεταί οἱ, ὡς Ἔρουλός τις ἀνὴρ, οὐ τῶν πολλῶν παρ' αὐτοῖς καὶ διαλανθανόντων, ἀλλ' εὐπατρίδης ἐν τοῖς μάλιστα καὶ ἀρίδηλος, ἕνα τῶν οἰκείων θεραπόντων ἀπεκτονὼς εἴη οἰκτρότατα ἐφ' ὁτῳοῦν καὶ σφαλέντα. αὐτίκα δὴ οὖν ἐπισχὼν τῷ ῥυτῆρι τὸν ἵππον, παράγει ἐς μέσον τὸν ἀνδροφόνον, ὡς οὐχ ὅσιον ὂν ἐπὶ τὸν πόλεμον ἰέναι πρὶν ἀπολυμήνασθαι καὶ ἀφαγνίσαι τὸ μίασμα. ἐπεὶ δὲ αὐτῷ πυνθανομένῳ τὸ πραχθὲν ἀνωμολόγει ὁ βάρβαρος καὶ οὐκ ἀνήνετο, τοὐναντίον μὲν οὖν καὶ ἐφετὸν εἶναι ἔφασκε τοῖς κεκτημένοις
P. 43 τοὺς σφετέρους δούλους ᾗ βούλονται μετιέναι, ὅτι τε καὶ οἱ ἕτεροι, εἰ μὴ σωφρονοῖεν, ἀλλὰ γὰρ καὶ οἵδε παραπλήσια πείσονται· ἐπειδὴ οὖν ὥσπερ οὐ μεταμέλον αὐτῷ τῆς παροι-

8. αὐτοῖς R., αὐτῷ vulg. 12. ἐπιβεβήκει R. 19. ἐφετὸν emendavi: nam ἐφιέναι inter alia ab optimis scriptoribus pro *permittere* ponitur. Intpr. *licere asserebat.* ἐφιτὸν R., ἐφικτὸν vulg. 22. παραπλήσια R., παραπλήσιον vulg.

tasse Alemannicis vatibus quocunque tandem modo futura praedicentibus, certe non vanum neque irritum id vaticinium multis est visum. Quo pacto autem deinceps reliqua gesta sint, accurate statim, quoad eius fieri poterit, dicentur.

7. Franci itaque ita animis aestuabant, et iam arma corripuerant. Narses etiam suos armavit castrisque eduxit, donec ad medium inter duos exercitus spatium venisset, ubi oportebat eos in aciem disponi. Interea vero dum exercitus movet, et iam praetor equum conscenderat, nuntiatur ipsi, Herulum quendam non e multis inter ipsos, neque obscurum, sed nobilem inprimis illustremque virum, quendam e domesticis suis servis, quod aliqua in re deliquisset, miserrime interfecisse. Statim itaque adductis habenis equum sistens, homicidam in medium producit, tanquam fas non esset proelium adire, nisi caede expiata. Interrogatus ergo ab eo barbarus, cum factum fateretur neque inficias iret, immo e contrario assereret, liberam dominis esse potestatem de servis suis pro suo arbitrio decernendi, ut et alii scirent, nisi officium facerent, similiter secum actum iri: cum itaque veluti nulla caedis perpetratae poenitudine ductus, pervicax

νίας, θρασύς γε ἦν ἔτι καὶ ὑψαγόρας καὶ λίαν φρονοῦντι ἐῴκει, A. C. 553 παρακελεύεται ὁ Ναρσῆς τοῖς δορυφόροις ἀποκτεῖναι τὸν ἄν- I. L. 27 δρα. καὶ ὁ μὲν ξίφει τὴν λαπάραν διατορηθεὶς ἐτεθνήκει. ὁ δὲ τῶν Ἐρούλων ὅμιλος, οἷα δὴ βάρβαροι, ἠνιῶντο καὶ ἐχαλέπαινον, καὶ ἀπόμαχοι ἔσεσθαι διενοοῦντο. ὁ δὲ Ναρσῆς οὕτω πως τὸ τῆς μιαιφονίας ἄγος ἀποδιοπομπησάμενος, καὶ τῶν Ἐρούλων ὀλίγα φροντίσας, ἐχώρει ἀνὰ τὴν παράταξιν, ἀνειπὼν ἐν κοινῷ καὶ ἀνα- B βοήσας, ὡς ὅ γε βουλόμενος τῆς νίκης μεταλαχεῖν, ξυνεπέσθω. οὕτω δή τι ἄρα διαφανῶς ἐπεποίθει τῇ τοῦ κρείττονος ἐπικουρίᾳ, καὶ ὡς ἐπὶ προδιεγνωσμένοις ἐφοίτα. Σίνδουαλ δὲ, ὁ τῶν Ἐρούλων ἡγεμὼν, αἰσχρόν τι εἶναι ἡγεῖτο καὶ ἀγεννὲς, εἴ γε πολέμου τοσούτου ξυνεστηκότος, αὐτός τε καὶ ὁ ἀμφ' αὐτὸν στρατὸς λειποταξίου ἁλοῖεν, δόξοιέν τε τῷ μὲν ἔργῳ δεδιέναι τοὺς πολεμίους, σκῆψιν δέ τινα καὶ προκάλυμμα τῆς δειλίας τὴν περὶ τὸν τεθνεῶτα εὔνοιαν πεποιῆσθαι. οὔκουν ἠρεμεῖν ἀνασχόμενος ἐσήμαινε τῷ Ναρσῇ ἀναμένειν, ὡς καὶ αὐτῶν ὅσον οὔπω παρεσομένων· ὁ δὲ, μενετέα μὲν οὐκ ἔφη, μελήσειν δὲ ὅμως αὐτῷ ὅπως ἂν ἐν δέοντι καὶ οἷδε τάξαιντο, εἰ καὶ ὀλίγῳ ὕστερον τύ- C χοιεν ἀφιγμένοι. οἱ μὲν οὖν Ἔρουλοι εὖ μάλα ἐξωπλισμένοι, ἐπορεύοντο βάδην ἐν κόσμῳ.

η'. Ναρσῆς δὲ ἐπεὶ ἐν τῷ χώρῳ ἐγεγόνει, οὗ δὴ συμπλέκεσθαι ἔμελλεν, αὐτίκα ἐς φάλαγγα καθίστη τὸν στρατὸν καὶ

1. φρονῶντι R., Lugd. pro φονῶντι corr. in mg. φρονοῦντι. Vulc. praefert φονῶντι. 5. ἀπόμαχοι — οὕτω πως om. R. 7. ἀναβοήσας R., βοήσας vulg. 12. Suid. s. v. λειποταξίου: αὐτός γε καί. 13. δόξοι R. 18. τετάξαιντο R.

et iactabundus, et caedem spiranti similis permaneret, Narses lictoribus, ut eum interficiant, mandat; atque is quidem ense ilia perfossus, interiit. Herulorum vero turba, utpote barbari, dolebant molesteque id ferebant, et a proelio se subducere statuebant. Narses vero, hoc pacto caede expiata, et de Herulis parum sollicitus, in aciem progressus, edixit universae multitudini et proclamavit, ut quicunque victoriae particeps esse vellet, una secum sequeretur; usque adeo ille aperte divini numinis auxilio erat fretus, et veluti ad rem antea diiudicatam accedebat. Sindual autem Herulorum dux turpe quiddam et generoso animo indignum censebat, si tanto proelio utrinque instructo, ipse pariter et sui defectionis insimularentur; et viderentur re quidem ipsa hostes reformidasse; formidinem vero suam praetextu benevolentiae erga mortuum palliasse. Nequaquam itaque conquiescere sustinens, Narseti significat, operiatur se, utpote iamiam cum suis adventurum. Narses vero se quidem non praestolaturum respondit, curaturum tamen, ut et ipsi suo in acie loco ordinentur, etiamsi paulo serius advenerint. Heruli itaque optime armati, bonoque ordine ocius procedebant.

8. Narses autem cum ad locum pervenisset, ubi committendum

A. C. 553 διέταττεν. οἱ μὲν οὖν ἱππεῖς ἑκατέρωθεν ἐπὶ τῶν ἄκρων ἐτετά-
I. I. 27 χατο, δοράτια φέροντες καὶ πέλτας, τόξα τε καὶ ξίφη πα-
ρῃωρημένα· ἦσαν δὲ οἳ καὶ σαρίσσας ἐκράτουν. αὐτὸς δὲ ἐπὶ
τοῦ δεξιοῦ κέρως εἱστήκει. Ζανδαλᾶς τε, ὁ τῶν ὀπαδῶν ἐπι-
στάτης, τοῦ τε θητικοῦ καὶ οἰκετικοῦ ὁπόσον οὐκ ἀπόλεμον ἦν,
ἀλλὰ καὶ οἶδε παρῆσαν. ἐπὶ θάτερα δὲ οἱ ἀμφὶ Βαλεριανὸν
τε καὶ Ἀρταβάνην, προστεταγμένον αὐτοῖς ὑποκρύπτεσθαι
D πρὸς βραχὺ ἀνὰ τὰ λάσια τῆς νάπης, καὶ ἐπειδὰν εἰσβάλλοιεν
οἱ πολέμιοι, τότε δὴ ἀθρόον αὐτοῖς ἐκ τοῦ ἀφανοῦς ἐπιέναι,
καὶ ἀμφιβόλους ποιεῖσθαι. ἅπασαν δὲ τὴν μεταξὺ χώραν ὁ πε-
V. 32 ζὸς εἶχεν. ἔμπροσθεν μὲν γὰρ ἐπὶ τοῦ μετώπου οἱ πρωτοστάται
θώρακας ποδήρεις ἐνειμένοι καὶ κράνη καρτερώτατα τὸν συνα-
σπισμὸν ἐπεποίηντο· ἑξῆς δὲ οἱ ἄλλοι ἐς βάθος ἀλλήλοις ἐνέκειντο,
ἕως εἰς τοὺς οὐραγοὺς ὁ ξυλλοχισμὸς ἐτελεύτα· τὸ δὲ ψιλὸν ἅ-
παν καὶ ἑκηβόλον, ὄπισθεν περιέθει καὶ ἀνέμενεν τὸν καιρὸν, ἡνί-
κα δέοι ἀκροβολίζεσθαι. ἀπεκέκριτο δὲ τόπος τοῖς Ἐρούλοις, τῆς
P. 44 φάλαγγος τὸ μεσαίτατον, καὶ ἦν ἔτι κενὸς, οὐ γάρ πω ἐκεῖ-
νοι παρῆσαν. ἐν τούτῳ δὲ ἄνδρες δύο τῶν Ἐρούλων, ἐτύγ-
χανον γὰρ ἤδη ηὐτομοληκότες παρὰ τοὺς πολεμίους ὀλίγῳ ἔμ-
προσθεν, ὡς καὶ ἀγνοεῖν δή που τὰ ὕστερον τῷ Σίνδουαλ βε-

1. ἐτετάχατο R., τετάχατο vulg. 6. Pro οἱ R. καὶ. 8. εἰσβάλλοιεν R., εἰσβάλοιεν vulg. 11. μὲν add. R. ἐπὶ μετ. R. Post πρωτοστάται addit Intpr. *quibus ad bellum erat cum Romanis inita societas.* 12. ἐνειμένοι Lugd. mg. (Cl), vulg. ἐνημμένοι, R. corr. in mg. ἐνημένοι. 13. ἐνέκειντο R. Lugd., ἀνέκειντο edd. 14. οὐραγοὺς R., Intpr. *ad postremos usque*, vulg. ἀγροὺς. ὁ ξυλλοχισμὸς add. R., Intpr. *agmen claudebatur.* 16. τόπος τ. Ἐρ. R., τοῖς Ἐρ. τ. vulg. 18. δύο R. Lugd., δύω edd. 20. ὑστέρα R.

erat proelium, statim exercitum in phalangem instruxit atque disposuit; atque equites quidem utrinque ad alas erant collocati, hastas et peltas gestantes, arcus etiam et enses appensos, nonnulli etiam sarissas habentes. Narses vero in dextro cornu constitit. Zandalas etiam familiae magister et quotquot ex servis et domesticis bello non inepti erant, adstabant. Ab utroque vero latere Valerianus et Artabanes cum suis copiis, quibus mandatum erat, ut nonnihil circa densiorem silvam laterent; cumque hostes impetum facerent, confestim in eos ex occulto irruerent omnique ex parte premerent. Omnem vero locum intermedium pedites obtinebant. In ipsa enim exercitus fronte antesignani loricas ad pedes usque demissas induti, validissimasque galeas gestantes, testudinem fecerant; post hos vero alii densa inter se serie stabant, in agros usque desinentes. Universa vero levis armatura, sagittariique et funditores a tergo erant collocati, velitandi tempus operientes. Herulis vero in medio totius agminis locus erat designatus; neque enim adhuc illi advenerant. Interea duo Heruli, qui paulo ante ad hostes defecerant, adeo ut quid postea consilii

βουλευμένα, ἐξωτρυνέτην ἅπαντας τοὺς βαρβάρους ὡς τάχιστα ἐπιφοιτᾶν τοῖς Ῥωμαίοις· „εὑρήσετε γὰρ αὐτούς,“ ἐφάτην, „ταραχῆς τε καὶ ἀκοσμίας ἀναπεπλησμένους, τοῦ μὲν Ἐρουλικοῦ στρατοῦ χαλεπαινόντων καὶ ξυγκινδυνεύειν ἀναινομένων, τοῦ δὲ ἄλλου πλήθους τῇ ἐκείνων ἀποστάσει καταπεπληγμένου“. τούτοις δὲ ὁ Βουτιλῖνος ἀνεπέπειστο ῥᾳδίως, τῷ βούλεσθαι, οἶμαι, ἀληθῆ γε αὐτὰ καθεστάναι. αὐτίκα δὴ οὖν ἐπῆγε τὸν στρατόν, καὶ ἅπαντες ξὺν προθυμίᾳ ἐχώρουν ἰθὺ τῶν Ῥωμαίων, οὐ μὴν ἠρεμαῖοι, οὐδὲ κατὰ κόσμον, ἀλλὰ τοῖς ἀγγέλμασιν ἀνεπτερωμένοι, θορύβῳ εἴχοντο καὶ προπετείᾳ, ὡς αὐτοβοεὶ ἅπαν τὸ ἀντιστατοῦν ἀναρπασόμενοι. ἦν δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως, οἱονεὶ ἔμβολον· δελτωτῷ γὰρ ἐῴκει, καὶ τὸ μὲν ἐμπρόσθιον, ὁπόσον ἐς ὀξὺ ἔληγεν, στεγανόν τε ἦν καὶ πεπυκνωμένον τῷ πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι, φαίης τε ἂν αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι· τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ στίχους τε καὶ λόχους ἐς βάθος ξυγκείμενα, καὶ ἐπιπλεῖστον ἐς τὸ ἐγκάρσιον παρατεταμένα, διΐστατο ἀλλήλων ἠρέμα καὶ ἀπεκέκριτο, καὶ προϊόντα ἐς μέγιστον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ μεταξὺ χωρίον κενὸν καθεστάναι, καὶ τὰ νῶτα γυμνὰ τῶν ἀνδρῶν στοιχηδὸν διαφαίνεσθαι. ἀπεστραμμένοι γὰρ σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως ἂν τοῖς μὲν πολεμίοις ἀντιπρόσωποι εἶεν, καὶ ἐκ τοῦ

A.C. 553
I. I. 27.
B
C

10. ἀναπτερωμένοι R. Pro εἴχοντο Bon. Vulc. coni. εἵποντο. 11. ἀντιταττοῦν R. 12. Suid. s. v. ἔμβολον: οἷον εἰς. 18. Suid. διεκέκριτο. 22. ἂν deest ap. Suidam. οὐκ pro ἐκ Sph. Par.

cepisset Sindual, ignorarent, barbaros omnes incitabant, ut quam citissime Romanos adorirentur, affirmantes fore ut apud eos omnia tumultus et perturbationis plena essent deprehensuri, quod nimirum Herulorum copiae indignabundae secessionem fecissent, proeliumque una adire detrectarent; et reliquae multitudinis animi illorum defectione essent consternati. Hisce ita dictis Butilinus facile persuasus, quippe qui vera ut essent optabat, confestim copias in hostem eduxit, omnesque magna animorum alacritate recta in Romanos ferebantur, non quidem sensim et placide ordinateque, sed nuntiis animum ipsis alasque addentibus, turbulente ac praecipitanter, tanquam primo impetu quidquid hostium esset discerpturi. Erat autem ipsis forma aciei instar cunei, Δ literae figuram prae se ferens, anteriore quidem sui parte in acutum desinens. Pressa enim erat et densa, scutis undequaque inter se consertis munita; dixisses suis caput sua structura efformare. Alae vero utrinque ex centuriis et decuriis in longum compositae, et ut plurimum in obliquum protensae, paulatim ab sese dilatabantur et dirimebantur, in maximam latitudinem desinentes; adeo ut locus intermedius vacuus relinqueretur, et nudata militum terga seriatim conspicerentur. Aversi enim inter se stabant, ut hostibus adversi essent,

A. C. 553 ἀσφαλοῦς ἀγωνίζοιντο τὰς ἀσπίδας προβεβλημένοι, τὰ δὲ ὀπι-
I. I. 27 σθίδια τῷ ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο.

θ'. Ἀλλὰ γὰρ τῷ Ναρσῇ, τύχης τε αἰσίας κυρήσαντι, καὶ τὸ πρακτέον ἄριστα μηχανησαμένῳ, ἅπαντα ἐς δέον ἀπέβη.
D ἐπειδὴ γὰρ οἱ βάρβαροι ξὺν βοῇ πολλῇ καὶ ἀλαλαγμῷ δρομαῖοι ἐπανελθόντες, συνέῤῥαξαν τοῖς Ῥωμαίοις, αὐτίκα διέσεισαν τοὺς ἐπὶ τῷ ὀμφαλῷ πρωτοστάτας ἀμφὶ τὸ κένωμα ἐσπεσόντες· οὔπω γὰρ παρῆσαν οἱ Ἔρουλοι, ἥ τε ἀρχὴ, διατεμοῦσα τὸ βάθος τῶν λόχων, καὶ φόνον οὐ πολὺν ἐργασαμένη, ὑπὲρ τοὺς οὐραγοὺς ἐξηνέχθη. ἔνιοι δὲ αὐτῶν καὶ περαιτέρω ἐχώρουν ὡς τὸ στρατόπεδον τῶν Ῥωμαίων αἱρήσοντες. τότε δὴ ὁ Ναρσῆς ἐπικάμψας ἠρέμα καὶ ὑπομηκύνας τὰ κέρα, καὶ ἐπικάμπιον ἐμπροσθίαν (ὡς ἂν οἱ τακτικοὶ ὀνομάσαιεν) τὴν φάλαγγα καταστήσας, παρακελεύεται τοῖς ἱπποτοξόταις ἐφιέναι τὰ βέλη ἑκατέρωθεν ἐναλλάγδην ἐς τὰ μετάφρενα τῶν πολεμίων. οἱ δὲ κατὰ ταῦτα ῥᾳδίως ἐποίουν. ἅτε γὰρ πεζοὺς
P. 45 ὄντας τοὺς βαρβάρους ἐκ τῶν ἵππων ὑπερανέχοντες, εὐκολώτατα ἠδύναντο βάλλειν τὸ ἀφεστηκὸς καὶ ἡπλωμένον καὶ ἐλεύθερον τοῦ ἐπιπροσθοῦντος. καὶ ἦν οὐ χαλεπὸν, οἶμαι, τοῖς ἐπὶ τῶν ἄκρων ἱππόταις τὸ μὲν κατὰ σφᾶς μέρος τῶν δυσμενῶν καὶ πλησιαίτατον ὑπερβαίνειν τοῖς βέλεσι, τοὺς δὲ ἀντικρὺ φαινομένους τιτρώσκειν. διεπεραίνοντο τοιγαροῦν πάντοθεν τὰ

1. ὀπίσθια διὰ τὸ Suid. 5. πολλῇ add. ex R. et Intpr. *cum clamore ingenti.* 6. αὐτίκα δὲ R. 11. αἱρήσαντες R. 12. τὰ κέρα R., τὰ κέρατα vulg.

et ex tuto confligerent, scutis protecti; terga vero mutua illa inter se contrapositione tuerentur.

9. Narseti autem, et prosperam fortunam nacto, quique quod facto erat opus optime excogitarat, cuncta ex animi sententia successere. Postquam enim barbari ingenti clamore ululatuque excitato concitatius proruentes impetum in Romanos fecerunt, confestim antesignanos medio inter duo cornua loco stantes perrumpentes in vacuum illum exercitus locum irruerunt; neque enim adhuc Heruli advenerant: et prima quidem barbarici exercitus pars, perfracta ordinum serie, et caede non magna edita, in postremum aciei agmen delata est, nonnulli vero etiam ulterius progressi, tanquam Romanorum castra capturi. Tum Narses inflexis sensim porrectisque alis, inversa aciei fronte (quod artis illius periti *ἐπικάμπιον ἐμπροσθίαν* vocaverint) equitibus sagittariis mandat, ut utrinque sagittas in hostium terga mutuo emittant; quod et ipsi facile praestabant. Cum enim barbari pedites essent, ipsi ex equis editiores existentes facillime poterant ferire distantes expansosque, neque eis anterius officere valentes. Neque erat difficile arbitror equitibus ad extremitates constitutis proximos sibi et quam maxime vicinos hostes sagittis transmittere; eos vero qui ex adverso conspiciebantur vulnerare. Traiiciebantur itaque Francis omni ex parte terga, Romanis quidem qui ad dextrum

νῶτα οἱ Φράγγοι, τῶν μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως τεταγμένων A. C. 553
Ῥωμαίων τοὺς ἐκεῖθεν λυμαινομένων, τῶν δὲ ἐπὶ θάτερα τοὺς I. I. 27
ἑτέρους. οὕτω τε οἱ ἄτρακτοι παραλλὰξ ἐς τἀναντία φερόμενοι, καὶ ἅπαν τὸ παρεμπίπτον διαφθείροντες ἐλάνθανον, οὔτε φυλάξασθαι τῶν βαρβάρων οἵων τε γιγνομένων, οὔτε ὅθεν βάλλονται σαφῶς ἐπισκοπούντων. ἀντιμέτωποι γὰρ τοῖς Ῥω- B
μαίοις ἑστῶτες, καὶ ἐς μόνον τὸ καθ' αὑτοὺς ὡς ἕκαστοι ἀποβλέποντες, καὶ πρὸς μὲν τοὺς ἔμπροσθεν ὁπλίτας ἐκ χειρὸς διαμαχόμενοι, τοὺς δὲ ἱπποτοξότας ὡς δὴ ὄπισθε τεταγμέ- V. 33
νους οὐ μάλα ὁρῶντες, τά τε στέρνα οὐ βαλλόμενοι, ἀλλὰ τὰ νῶτα, οὐκ εἶχον διαγιγνώσκειν οὗπερ ἐτύγχανον ὄντες κακοῦ. τοῖς δὲ πλείστοις οὐδὲ τοῦ διαπορεῖν καὶ ἀμφιγνοῆσαι τὰ ποιούμενα χώρα ἐγίγνετο, ἅμα τῇ πληγῇ τῆς τελευτῆς ἐπιφοιτώσης. πιπτόντων γὰρ ἀεὶ τῶν ἐκτὸς, εὐθὺς οἱ ἔνδοθεν ἀνεφαίνοντο, καὶ τούτου θαμὰ γιγνομένου, διέῤῥει αὐτοῖς τὰ πλήθη ὡς τάχιστα καὶ ἠφανίζετο, καὶ ἐς ὀλιγότητα ὑπεχώρει. ἐν τού- C
τῳ δὲ Σίνδουαλ τε καὶ οἱ Ἔρουλοι πελάσαντες τῇ μάχῃ, ὑπαντιάζουσι τῶν πολεμίων τοῖς διαπεραιωθεῖσι τὴν παράταξιν καὶ προαλαμένοις. αὐτίκα δὴ οὖν αὐτοῖς ἐς χεῖρας ἐλθόντες ἔργου εἴχοντο· οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες, καὶ μᾶλλον ἐνέδραν εἶναι τὸ χρῆμα ὑποτοπήσαντες, εὐθὺς ἐς φυγὴν ἐτράποντο, καταιτιώμενοι τοὺς αὐτομολήσαντας, ὡς δὴ ὑπ' ἐκεί-

6. ἀντιμέτωπα R. 9. ὄπισθεν vulg. 11. διαγινώσκ. vulg. 12. τοῦ Lugd., τὸ R., τῶν Par. ἀμφαγνοῆσαι R. 19. προαλαμένοις Lugd., προαλλαμένοις R., προαλωμένοις edd.

cornu positi erant, hostem ea in parte infestantibus: qui vero in sinistro cornu erant, eos qui in altera: cumque ita tela alternatim utraque ex parte in contrarium ferrentur, et quicquid obvium erat disperderent, barbari neque telorum ictus evitare poterant, neque unde ferirentur satis animadvertebant. Cum enim Romanis adversa fronte oppositi starent, singulique in id tantum, quod prae manibus erat, intenti respicerent, et adversus gravis armaturae milites in principiis stantes proeliarentur; equestres autem sagittarios utpote retro positos non conspicerent, et telorum ictus non pectoribus sed tergis exciperent; quo mali venissent intelligere non poterant. Plerisque vero eorum ne dubitandi quidem ambigendique de iis quae agebantur locus relinquebatur; statim cum ipso ictu morte eos corripiente. Cadentibus enim semper exterioribus, statim interiorum terga nudabantur, cumque id assidue continenterque fieret, copiae quam citissime labefactabantur atque interibant, et ad paucitatem redigebantur. Interea Sindual et Heruli cum proelio appropinquassent, in hostes incurrunt, qui perfracta penetrataque Romanorum acie, reliquos praeverterant. Statim itaque atque ad manus ventum est, pugnam cum eis conserunt: at illi inopinato rei eventu perculsi, immo potius insidias esse suspicati, confestim in fugam sunt versi; transfugas insimulantes, quod ab eis essent decepti. Sindual vero acriter

A. C. 553 νων ἐξηπατημένοι. οἱ δὲ ἀμφὶ Σίνδουαλ οὐκ ἀνίεσαν, ἀλλ'
I. I. 27 ἐνέκειντο, ἕως τοὺς μὲν κατεστόρεσαν, οἱ δὲ ἐς τὰς τοῦ ποταμοῦ ἐξέπεσον δίνας. οὕτω τε τῶν Ἐρούλων τῷ σφετέρῳ χώρῳ
D ἐγκαταστάντων, τό τε κένωμα ἐπληροῦτο, καὶ ἡ φάλαγξ συνεκέκλειστο, καὶ τολοιπὸν οἱ Φράγγοι, καθάπερ εἰς ἄρκυς ξυνειλημμένοι, ἐκτείνοντο πάντοθεν. ἥ τε γὰρ τάξις αὐτοῖς τελεώτατα διελέλυτο, καὶ χύδην ἐπὶ σφᾶς ὑπελίττοντο, οὐκ ἔχοντες ὅ, τι καὶ γένοιντο. οἱ δὲ Ῥωμαῖοι οὐ μόνον τοῖς τόξοις αὐτοὺς διεχρῶντο, ἀλλά τό τε ὁπλιτικὸν καὶ οἱ ψιλοὶ ἐπῄεσαν, δοράτιά τε ἀκοντίζοντες καὶ τοῖς κόντοις διωθούμενοι, καὶ ταῖς μαχαίραις κατατέμνοντες, οἵ τε ἱππεῖς ὑπερκερώσεις ποιούμενοι ὑπεδέχοντο αὐτοὺς εἴσω καὶ ἀπελάμβανον. εἰ δέ τι αὐτῶν
P. 46 καὶ διέφυγε τὰ ξίφη, οἱ δὲ τῇ διώξει ἐκβιαζόμενοι ἐς τὸν ποταμὸν κατεφέροντο, καὶ ὑποβρύχιοι γιγνόμενοι ἔθνησκον· οἰμωγή τε ἠκούετο ἁπανταχοῦ τῶν βαρβάρων οἰκτρότατα διολλυμένων· αὐτός τε δὴ οὖν Βουτιλῖνος ὁ στρατηγὸς καὶ ὅλον τὸ στράτευμα πανωλεθρίᾳ ἠφάνιστο, ἐν τοῖς καὶ οἱ τῶν Ἐρούλων πρὸ τῆσδε τῆς ξυμπλοκῆς μεταβάντες, καὶ οὐδεὶς ὅστις τῶν Γερμανῶν ἐς τὰ πάτρια ἐνόστησεν ἤδη, ὅτι μὴ πέντε ἄνδρες ὁτῳδηοῦν τρόπῳ διαδεδρακότες. πῶς δὲ οὐκ ἂν εἴη ἀρίδηλον, ὡς ποινὰς ὑπέσχον τῶν ἀδικημάτων, καὶ ὑπερτέρα τις αὐτοὺς μετῆλθεν ἀνάγκη; ὁ μὲν γὰρ μυρίος ἐκεῖνος ὅμιλος τῶν Φράγγων τε καὶ Ἀλαμανῶν, καὶ τῶν ὅσοι δὴ αὐτοῖς τυχὸν ἕτεροι τὸν πόλε-

1. *ἀνίεσαν — ἐνέκειντο* R. (Cl.), Intpr. *intermittendo — instituit.*, *ἀνῄεσαν — ἔκειντο* vulg., Lugd. mg. *ἴσ. ἐνέκειντο.* 14. *καὶ ὑποβρύχιοι — ἠκούετο* add. ex R. et Intpr. *et gurgitibus hausti interibant. unde et barbarorum continens eiulatus — audiebatur.* 18. *συμπλ.* R. 20. *εἴη* om. R.

eis absque ulla intermissione instabat, donec alios quidem prostravit, alios vero in vorticosum flumen adegit. Atque ita Herulis in suum locum receptis, vacuitas illa in medio exercitus suppleta est, et phalanx clausa: Francique deinceps veluti retibus involuti, omni ex parte caedebantur. Nam et ordo ipsorum penitus erat dissolutus, et confuse inter se glomerabantur, quid facerent ignari. Romani autem non solum sagittis eos interficiebant, sed et gravioris et levioris armaturae milites invecti hastas in eos torquebant, et contis profligabant, ensibusque obtruncabant; equites etiam diductis alis eos circumveniebant et concludebant; si qui vero eorum enses effugerant, hi ipsi insectantium vi compulsi praecipites in flumen ferebantur, barbaris passim miserrime pereuntibus. Ipse itaque dux Butilinus cum universo exercitu ad internecionem periit: inter quos etiam illi Heruli qui ante proelium transfugerant; neque quisquam e Germanis ad suos est reversus, praeter quinque viros, quocunque tandem modo illi evaserint. Quonam vero pacto non sit perspicuum eos impietatis suae poenas luisse, superiore quadam necessitate ipsis incumbente? Infinita

μεν ξυνδιήνεγκαν, ἄρδην ἀνήρπαστο, μόνοι δὲ ὀγδοήκοντα τῶν A. C. 553 Ῥωμαίων ἄνδρες ἀπέθανον, οἳ δὴ ἐτύγχανον ὑποδεξάμενοι I. 1. 27 τὴν πρώτην ἐμβολὴν τῶν πολεμίων. ἠρίστευσαν δὲ ἐν τῷδε B τῷ ἔργῳ τῶν μὲν Ῥωμαϊκῶν ταγμάτων σχεδόν τι ἅπαντες, βαρβάρων δὲ τῶν ξυστρατευομένων Ἀλίγερνος ὁ Γότθος (παρῆν γὰρ καὶ ὃς ἐν τῇ μάχῃ), Σινδουάλ τε ὁ τῶν Ἐρούλων στρατηγός, καὶ οὐδέν τι ἔλαττον ἔσχε τῶν ἄλλων. ἅπαντες δὲ τὸν Ναρσῆν ἐν ἐπαίνῳ ἐποιοῦντο καὶ ἀπεθαύμαζον, ὡς τῇ ἐκείνου προμηθείᾳ ἐπὶ μέγα δόξης χωρήσαντες.

ι. Νίκη γὰρ οὕτω λαμπρὰ καὶ διαφανὴς καὶ ἐς τόδε ὑπερβολῆς προελθοῦσα οὐ ῥᾳδίως, οἶμαι, ἀνὰ τὸν ἔμπροσθεν χρόνον ἑτέρῳ τῳ ξυνηνέχθη. εἰ δέ που ἄρα καὶ ἕτεροι πρότερον παραπλήσια τοῖς Φράγγοις πεπόνθασιν, ἀλλ' εὕροις γε ἂν C καὶ ἐκείνους ἀδικίας ἕκατι διαφθαρέντας. Δάτις μὲν γὰρ πάλαι ὁ Δαρείου σατράπης ἅμα στρατεύματι Περσικῷ, Μαραθωνάδε ἀφιγμένος καταστρέψασθαι τὴν Ἀττικὴν ᾤετο χρῆναι, καὶ μὲν δὴ καὶ ἅπασαν τὴν Ἑλλάδα. αἰτία δὲ ἦν τῆς ἐφόδου ὅσιον μὲν οὐδὲν οὐδὲ δίκαιον· ὅτι δὲ βασιλέα Δαρεῖον, ὡς ἔοικε, τὸ τῆς Ἀσίας μέγεθος οὐκ ἐχώρει, ἀλλὰ δεινὰ ἐποιεῖτο εἰ μὴ χειρώσοιτο καὶ τὴν Εὐρώπην. ταῦτά τοι καὶ ἡσσῶντο ἀνακράτος ὑπὸ Μιλτιάδου οἱ Μῆδοι. τοσοῦτοι γὰρ αὐτῶν ἐν τῷδε

3. δ' ἐν R. 13. τοῖς Φράγγοις add. ex R. et Intpr. *non absimilem — cladem — quam et Franci.* 14. καὶ om. R. 15. Vulg. et R. Μαραθῶνα δὲ. 18. οὐδὲν inserui ex R., vulg. et Intpr. om. 20. Intpr. *unde per Miltiadem devicti cum Date ipso et principe et debellati sunt Medi.*

enim illa Francorum pariter et Alemannorum turba, et quotquot alii sociale cum ipsis bellum gesserant, penitus deleti sunt; soli vero ex Romanis octoginta viri desiderati, qui quidem primum hostium impetum exceperant. In hoc autem proelio strenue rem gesserunt, e Romanis legionibus fere omnes; ex auxiliaribus vero barbaris Aligernus ille Gothus (nam et ipse conflictui interfuit) et Sindual Herulorum dux nihilo aliis inferior. Omnes vero Narsetem laudibus extollebant atque admirabantur, tanquam ipsius prudentia ad tantam gloriam evecti.

inceptam continuanti, ad Lazorum regionem et Persica bella est eundum, cum et iisdem temporibus singula gesta sint. Romanis enim et Persis gravissimum inter sese iam inde a multo tempore bellum intercessit, et frequenter mutuos agros populati sunt et devastarunt; modo citra ullam belli denuntiationem irruptionibus insidiosisque insultibus factis, modo numeroso exercitu apertoque proelio congredientes. Paulo autem antea inducias fecerant, non ita quidem ut absolutissimam pacem agerent, neque ut omnibus in partibus pericula bellica cessarent, sed tantum circa orientem et Armeniae fines utrique genti pax sancita erat; circa Colchicam vero regionem bellum vigebat. Lazi autem olim Colchi dicebantur, et hos illos esse constat; neque de hoc quisquam dubitaverit, qui Phasidem et Caucasum et diuturnam eorum circa haec loca habitationem considerarit. Dicuntur vero Colchi Aegyptiorum esse colonia. Aiunt enim multo tempore ante heroum, qui Iasonem comitabantur, adventum, immo ante Assyriorum imperium, etiam ante Nini et Semiramidis tempora, Sesostrim quendam Aegyptium regem ingenti indigenarum exercitu coacto, cum universam Asiam invasisset ac subiugasset, eo

A. C. 554 τε ἐνταῦθα καταλιπεῖν τοῦ ὁμίλου, καὶ τοίνυν ἐνθένδε τὸ τῶν I. I. 28 Κόλχων κατάγεσθαι γένος. τοῦτο δὲ Διόδωρός τέ φησιν ὁ Σικελιώτης καὶ ἄλλοι ὡς πλεῖστοι τῶν παλαιῶν ἱστοριογράφων. οἳ δὴ οὖν, εἴτε Λαζοὶ, εἴτε Κόλχοι, εἴτε Αἰγύπτιοι μετανάσται, περιμάχητοι ἐν τῷ καθ' ἡμᾶς γεγένηνται χρόνῳ, καὶ πλεῖστοι ὅσοι ἀγῶνες τῆς τούτων γε ἕκατι καταβέβληνται χώρας. Χοσρόης τε γὰρ ὁ Περσῶν βασιλεὺς ἤδη πολλὰ καὶ ἐπικαιρότατα τῶν ἐκείνῃ χωρίων σφετερισάμενος καὶ κατέχων, οὐκ ᾤετο δεῖν μεθιέναι, ἀλλὰ καὶ τὰ λοιπὰ χειρώσασθαι διενοεῖτο, Ἰουστινιανῷ τε τῷ Ῥωμαίων αὐτοκράτορι καταπροέσθαι Γουβάζην P. 56 τὸν Λαζῶν ἐν τῷ τότε βασιλέα, καὶ ἅπαν τὸ ἔθνος, κατηκόους ὄντας καὶ εὔνους καὶ τὰ ἐς θεὸν ὁμογνώμονας, οὐκ ἀνεκτὰ ἐδόκει οὐδὲ ὅσιον. μᾶλλον μὲν οὖν καὶ ἐπειρᾶτο παντὶ σθένει ἀπώσασθαι ὡς τάχιστα τοὺς πολεμίους. ἐλογίζετο γὰρ καὶ ἐδεδίει, ὡς εἰ τῷ πολέμῳ κρατήσαιεν οἱ Πέρσαι, καὶ ἁπάσης ἐπιλάβοιντο τῆς χώρας, οὐδὲν ἔσται τὸ κωλύον αὐτοὺς ἀνὰ τὸν Εὔξεινον πόντον ἀδεῶς ναυτιλλομένους, τὰ ἐνδότατα τῆς Ῥωμαίων ἀρχῆς ἀνιχνεύειν. τοιγάρτοι στράτευμά τε μέγιστον καὶ ἀλκιμώτατον ἐνταῦθα ἔταξεν, καὶ στρατηγοὺς ἐπέστησεν τοὺς ἀρίστους. Βέσσας τε γὰρ καὶ Μαρτῖνος καὶ Βούζης ἡγεῖτο, B ἄνδρες ἐν τοῖς μάλιστα γεγενημένοι καὶ πολέμους συχνοὺς

6. γε om. R. ἕκατι καταβ. χώρ. R., χ. ἕκ. κατ. vulg. 11. τῶν Λαζῶν R. Pro ἐν τῷ τότε R. ἐς τόν τε. 12. Post ὁμογνώμονας lacuna fuerat in R. usque ad οὐδὲ, in qua recentior manus scripsit: ἐδόκει, et in marg. εἶναι. 16. ἀμφὶ ἀνὰ τ. Ε. R. 18. στράτ. τε μέγ. κ. ἀλκ. R., στράτ. μέγ. τε κ. ἀλκ. vulg.

etiam loci venisse, et aliquam exercitus sui partem ibi reliquisse, atque inde Colchorum gentem deductam. Quod ipsum et Diodorus Siculus et alii complures veterum historicorum testantur. Hi itaque, sive Lazi, sive Colchi, sive Aegyptii sedibus suis migrantes, variis nostra aetate bellis fuerunt lacessiti, multaque proelia ob horum regionem sunt commissa. Chosroes enim Persarum rex cum iam multa valdeque opportuna illius regionis loca invasisset atque occupasset, nequaquam sibi conquiescendum duxit, sed et reliqua in suam potestatem redigenda. Iustinianus vero Romanorum imperator Gubazem Lazorum tum temporis regem et universam gentem, subditam sibi et benevolam et communis religionis cultusque divini nexu coniunctam, deserere nec aequum nec iustum censebat; quin potius omnibus viribus hostes quam citissime profligare tentabat. Reputabat enim cum animo suo et verebatur, ne si Persae bello vincerent, nihil eis impedimento futurum esset, quo minus per Euxinum pontum citra ullum metum navigantes interiora Romani Imperii loca pervaderent. Quocirca maximum validissimumque exercitum ibi locavit, praestantissimosque duces ei praefecit. Bessas enim et Martinus et Buses ei praeerant, viri spectatissimi et frequentibus proeliis exercitatissimi. Missus vero est etiam Iustinus Germani filius; ad-

ἀγωνισάμενοι. ἔσταλτο δὲ καὶ Ἰουστῖνος ὁ Γερμανοῦ, νεάζων A. C. 554 μὲν ἔτι κομιδῇ, τὰ δὲ πολέμια ἤδη πεπαιδευμένος. I. I. 28

ιθ'. Μερμερόης δὲ, ὁ τῶν Περσῶν στρατηγὸς, ἐπειδὴ πρότερον Ἀρχαιοπόλει τε δὶς προσβαλὼν ἀπεκέκρουστο, καὶ ἄλλα ἄττα ἐπεπράχει, ἃ δὴ ἔγωγε παρίημι, (ἀποχρώντως γάρ που Προκοπίῳ τῷ ῥήτορι τὰ μέχρι τῶνδε ἀναγέγραπται,) τότε δὴ αὖθις (ἐνθένδε γάρ μοι ἀρχομένῳ τὰ ἐφεξῆς ἁρμοστέον,) ἀφῖκτο μὲν ἐς Μουχείρισίν τε καὶ Κοταΐσιν τὸ φρούριον, ἐβούλετο δὲ τὴν ἐς Τήλεφιν δυσχωρίαν παραμειψάμενος, εἴσω τοῦ Φάσιδος γενέσθαι ποταμοῦ, καὶ τῷ ἀπροσδοκήτῳ τοὺς Ῥωμαίους ἐκπλήξας, διὰ πείρας ἐλθεῖν, εἴ πως ἂν ἔνια γοῦν C τῶν τῇδε πολισμάτων παραστήσασθαι δυνηθείη. ταῦτα δὲ αὐτῷ πράττειν ἐκ τοῦ ἐμφανοῦς πορευομένῳ καὶ ἐπιόντι ἀμήχανα ἦν. Μαρτῖνος γὰρ ὁ στρατηγὸς ἅμα τῇ ἀμφ' αὐτὸν στρατιᾷ ἐς τὴν Τήλεφιν ἱδρυμένος, (φρούριον δὲ τοῦτο καρτερόν τε καὶ ἐχυρώτατον,) διεφύλαττεν ἐπιμελέστατα τὰς εἰσόδους. ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον δύσβατόν τε καὶ ἀπρόσοδον. φάραγγές τε γὰρ καὶ πέτραι ἀπεῤῥωγυῖαι καὶ ἐς ἀλλήλας ἐπικλινόμεναι στενωτάτην ἀτεχνῶς τὴν ὑποκειμένην ἀτραπὸν ἐκτελοῦσιν. ἄλλοθεν δὲ οὐκ ἔστιν ὁτῳοῦν εἰσιτητέα. τὰ γὰρ ἐχόμενα D πεδία ἰλυώδη γέ εἰσι δεινῶς καὶ τελματώδη, λόχμαι τε δασεῖαι καὶ δρυμοὶ ἀνέχουσιν, ὡς καὶ ἑνὶ ἀνδρὶ, καὶ τούτῳ

1. δὲ καὶ R., δέ τε καὶ vulg. 4. Ἀρχαιοπόλει R. Lugd., Ἀρχαιπόλει edd. 5. ἐγὼ R. που add. ex R. 8. Cotaesium Kutais est, Imiretiae oppidum regium. 18. γὰρ om. R. 22. δρυμοὶ R., δρυμὰ vulg.

modum quidem ille adhuc iuvenis, sed iam tum bellicarum rerum peritus.

19. Mermeroes autem Persarum dux cum antea bis in Archaeopolim impetum fecisset, repulsus est aliaque nonnulla gessit, quae quidem praetereo: quandoquidem Procopius Rhetor abunde haec eo usque conscripsit. Tunc itaque rursus (nam hinc ordienti mihi, quae sequuntur, sunt coaptanda) ad Muchirisim et Cotaesium propugnaculum pervenit, eo consilio, ut difficultate locorum, quae sunt circa Telephim, praetergressa, ad Phasidem fluvium pertingeret, Romanisque inopinato ipsius adventu perculsis, tentaret, si qua ratione castella aliquot in potestatem suam redigere posset: quod quidem ipsi aperte rectaque via procedenti atque irruenti difficillimum factu fuisset. Martinus enim praefectus cum suis copiis Telephin insidens, (est autem hoc validum munitissimumque propugnaculum,) diligentissime aditus tuebatur: et est alioqui locus ipse accessu difficillimus. Nam et praecipitia et praeruptae petrae in se mutuo vergentrs angustissimam plane subiectam ei viam efficiunt, neque alia ulla ex parte cuiquam aditus patet. Circumiecti enim campi sunt vehementer palustres et limosi, quibus densi saltus et nemora imminent, adeo ut vel uni alicui eique expedito difficilis sit transitus; tantum abest

A. C. 554 εὐζώνῳ, ἄπορον εἶναι τὸ χρῆμα, μή τοί γε πλήθεσιν ὡπλι-
I. I. 28 σμένοις. πλὴν ἀλλὰ καὶ ὣς οἱ Ῥωμαῖοι οὐδὲν ὁτιοῦν πόνου
V. 41 ἀνιέντες, εἴ πού τι εὗρον τῶν τόπων σφαλερόν τε καὶ βάσιμον,
αὐτίκα ξύλοις τε καὶ λίθοις περιέφραττον, καὶ θαμὰ ἐν τοῖσδε
ἐμόχθουν. διαπορουμένῳ δὴ οὖν ἐν τοῖς παροῦσι τῷ Μερμε-
ρόῃ καὶ πλεῖστα διαλογιζομένῳ, προσῆλθεν διανοεῖσθαι, ὡς
εἴ γε ὁτῳδηοῦν τρόπῳ διαλύσοι τὴν φρουρὰν τῶν Ῥωμαίων,
καὶ ἠρέμα ἀπώσοιτο, οὐ πάμπαν αὐτῷ τὰ ἐς τὴν διάβασιν
P. 57 ἀνήνυτα ἔσται. πολεμίων μὲν γὰρ τῷ χώρῳ ἐνδελεχέστατα
ἐφεδρευόντων, οὐχ οἷόν τε ἦν ἅμα ἀμφοτέρων κρατῆσαι· ἐκεί-
νων δὲ ἀνιέντων, ἀλλὰ μόνην γε τὴν δυσχωρίαν ἀκέσασθαι,
καὶ τὸ δυσέμβολον τῆς πορείας ἐς τὸ εὐέφοδον ἀμωσγέπως με-
τασκευάσαι, οὐ λίαν ἀδύνατα εἶναι ἡγεῖτο. ἤλπιζε γὰρ τὴν
ὕλην ἐκτέμνων τῇ πολυχειρίᾳ καὶ ἀνακαθαίρων, καὶ τῶν πετρῶν
ὅ, τι ἀντίξουν διακολάπτων καὶ παραιρούμενος, οὐ χαλεπῶς
διαβήσεσθαι. ὡς ἂν οὖν ταῦτα διαπράξοιτο, ἐπενόει τοιάδε·
ἐσκήπτετο ἀθρόον νόσῳ τινὶ δεινῇ τε καὶ ἀνηκέστῳ ἑαλωκέναι,
καὶ οὖν ἀνεκέκλιτο δυσφορῶν δῆθεν καὶ ἀσχάλλων καὶ τὸ
B ξυμπεσὸν ὀλοφυρόμενος· ὅ τε λόγος οὗτος ἀνὰ πᾶν αὐτίκα
ἐφοίτα τὸ στράτευμα, ὡς ὁ στρατηγὸς πονήρως τε ἔχοι, καὶ
ὅσον οὔπω ἀπολεῖται· ὅσους τε αὐτῶν ἤρεσκεν μισθαρνεῖν τοῖς

2. οὐδέν τι οὖν R. 7. διαλύσοι Cl., διαλύσει R. et vulg. 10. ἅμα ἀμφ. R., ἀμφ. ἅμα vulg. 12. εὐέφοδον R. corr. in mg. pro εὐέφοστον, εὔοδον vulg. 13. εἶναι add. ex R. 17. δεινῇ τ. κ. ἀνηκ. ἑαλ. R., ἑαλ. δ. τ. κ. ἀν. vulg. 20. ἐφοίτα R., ἐχώρει vulg. 21. ὅσους δὲ Suid. s. v. μισθαρνεῖν. ἐπὶ τῇ τ. οἰκ. προσδ. τοῖς ἐναντ. R.

armatis agminibus. Sed ne sic quidem Romani ullum laborem praetermittentes, si quem uspiam comperissent locum parum tutum, quique videretur transiri posse, eum sudibus et saxis obstruebant, assidueque operi erant intenti. Ambigenti itaque hisce in rebus Mermeroi plurimaque secum reputanti, haec cogitatio in mentem venit, si quacunque ratione praesidium Romanorum solvere sensimque removere posset, non omnino irritum sibi transitus sui conatum fore. Hostibus enim assidue loco insidentibus, fieri non poterat, ut utriusque voti sui compos fieret. Illis vero remissioribus factis, cum id solum relinqueretur, ut locorum iniquitati mederetur, et difficilis transitus itinera pervia redderet; id ei non admodum impossibile factu videbatur. Sperabat enim, excisa sublataque vi manuum silva, obstantibusque petris excavatis, se non difficulter transiturum. Quocirca ut, quae animo conceperat, perficeret, huiuscemodi fraudem excogitavit. Simulavit se repente morbo correptum gravi pariter et incurabili. Decumbebat itaque summam aegritudinem prae se ferens, et fortunam suam lamentans. Rumor hic statim universum exercitum est pervagatus, praefectum gravissime aegrotare neque

A. C. 554 I. I. 28

ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείων προδοσίᾳ, καὶ λάθρα ἐξάγειν τὰ ἀπόῤῥητα, οὗτοι δὲ τὸ μὲν ἀτρεκὲς οὐκ ἐγίγνωσκον· (ἀσφαλέστατα γὰρ τὸ βούλευμα ἐκρύπτετο, καὶ οὐδὲ ἐς ἅπαντας τοὺς φιλτάτους ἐξέπιπτε·) μόνοις δὲ τοῖς ἐν τῷ ὁμίλῳ περιαγομένοις ἐξηπατημένοι τοῖς Ῥωμαίοις διήγγελλον. οἱ δὲ ῥᾳδίως ἐπείθοντο, οὐ τοσοῦτον, οἶμαι, τῇ ἀγγελίᾳ, ὁπόσον τῷ βουλομένῳ τῆς γνώμης.

κ΄. Εὐθὺς δὴ οὖν τὸ ἐνεργόν τε καὶ σύντονον τῆς φροντίδος ὑποχαλῶντες, οὐκέτι λίαν ἀκριβῆ τὴν φυλακὴν ἐποι- C οῦντο. ὀλίγαι τε παρῳχήκεσαν ἡμέραι, καὶ ὁ Μερμερόης ὡς δὴ τεθνηκὼς ἀπηγγέλλετο. ἔκρυπτε γὰρ ἑαυτὸν ἔς τι δωμάτιον, ὥς καὶ παρὰ τοῖς οἰκειοτάτοις τήνδε νικῆσαι τὴν δόξαν. τότε δὴ οὖν καὶ μᾶλλον τοῖς Ῥωμαίοις περιττόν τι ἐδόκει ἀγρυπνεῖν τε καὶ ἐπιπολὺ διαπονεῖσθαι. καὶ τοίνυν μεθέντες τὰς περιφράξεις καὶ τὴν ἐν τούτοις ἀπεργασίαν, ἐς τὸ ἀνειμένον μετέβαλλον, παννύχιόν τε καθεύδοντες καὶ ἐς τὰς ἐπαύλεις τῶν ἀγρῶν διαιτώμενοι, καὶ οὔτε κατασκόπους ἔστελλον, οὔτε ἄλλο τι ἔπρασσον τῶν δεόντων. ᾤοντο γὰρ ὡς οὐκ ἄν ποτε οἱ Πέρσαι, ἀστρατήγητοι δῆθεν γεγονότες, ἐπ᾽ αὐτοὺς ἥξουσι, D μᾶλλον μὲν οὖν καὶ ὡς ποῤῥωτάτω φεύξονται. ταῦτα δὲ γνοὺς ὁ Μερμερόης ἀνακαλύπτει ἐξαπιναίως τὸν δόλον καὶ ἐπιφαίνεται τοῖς Πέρσαις ὁποῖος καὶ πρότερον, καὶ εὐθὺς, ὡς

2. δὲ om. R. 11. ἔς τι δωμάτιον R. et Intpr. *in domicilio quodam*, ἐπὶ δωμ. vulg.

diu supervicturum. Porro rei ipsius veritas eos, qui operas suas hostibus locant consilia suorum prodendo et arcana clanculum patefaciendo, latebat. Accuratissime enim consilium celabatur, et ne cum amicissimis quidem communicabatur; solis vero rumoribus, qui per multitudinem circumferebantur, decepti, id Romanis nuntiarunt; qui quidem facile sunt persuasi, non tam, arbitror, nuntio, quam quod id maxime esset ex ipsorum animi sententia.

20. Statim itaque accuratam illam continuamque curam laxantes ac remittentes, segnius custodias agebant. Paucis post diebus Mermeroes etiam mortem obiisse nuntiatur. Occulebat enim se ipse in quadam domuncula, adeo ut etiam apud intimos suorum familiarium ea opinio valuerit. Tum vero et quidem magis supervacaneum visum est Romanis vigilare, supervacaneum ingentes labores suscipere. Quocirca omissis illis obstructionibus itinerum et laboribus, quos huic operi impendebant, ad remissius vivendi genus sunt dilapsi, solidas noctes dormientes, in villis praediisque degentes, neque speculatores emittebant, nec quicquam eorum, quae in rem ipsorum essent, agebant. Persuadebant enim sibi, Persas duce sive praefecto orbatos, nequaquam in se ituros, quin potius quam longissime fugituros. Haec vero ubi cognovit Mermeroes, confestim dolum detegit, ac Persis talem se, qualis antea fuerat, visendum prae-

A. C. 554 εἶχε προθυμίας, ἅπαντας κινήσας, καὶ τὴν χαλεπότητα τῆς πο-
I. I. 28 ρείας εὖ διαθεὶς, ᾗ πάλαι διενοεῖτο, παραγέγονεν ἀγχοῦ τοῦ
φρουρίου. καὶ ἤδη ἐπέλαζε τοῖς Ῥωμαίοις κατεπτηχόσι τῷ
παραλόγῳ καὶ οἵοις οὐκέτι ἀμύνεσθαι. τότε δὴ οὖν ὁ Μαρ-
τῖνος ἔγνω καταλιπεῖν τὸ χωρίον, πρὶν τελεώτατα παρελθεῖν
εἴσω τὸν Μερμερόην, καὶ μέγα τι κακὸν τοὺς τῇδε Ῥωμαίους
P. 58 ἐργάσασθαι. πῶς γὰρ ἐνῆν αὐτοὺς ὀλίγους γε ὄντας ἐνεγκεῖν
τὰ πλήθη τῶν πολεμίων, καὶ μὴ οὐχὶ αὐτοβοεὶ διαφθαρῆναι;
οὕτω δὴ οὖν καταστρατηγηθέντες ὑπὸ τῶν βαρβάρων, καὶ αἰ-
σχίστην ποιούμενοι τὴν ἀναχώρησιν, ἠπείγοντο τοῖς ἄλλοις
ἀναμιχθῆναι στρατεύμασιν. ἐτύγχανον γὰρ οἱ ἀμφὶ Βέσσαν
τε καὶ Ἰουστῖνον ἐν πεδίῳ τινὶ στρατοπεδευόμενοι, οὐ πόῤῥω
Τηλέφεως κειμένῳ, ἀλλὰ μόνοις σταδίοις ἑπτὰ διεστηκότι.
ἔστι δὲ οὐδὲν ὁτιοῦν ἄλλο ἐνταῦθα, ἢ μόνα χυτρῶν πωλητή-
ρια, ὡς καὶ τὴν προσηγορίαν ἐντεῦθεν τῷ χώρῳ εἰλῆφθαι·
B Ὀλλάρια γὰρ, ὡς ἂν Λατῖνός τις φήσοι, ἐπωνόμασται· δύναται
V. 42 δὲ τοῦτο τῇ Ἑλλήνων φωνῇ Χυτροπώλια. ἤδη δὲ πολλῶν ἅμα
τῷ Μαρτίνῳ προτερησάντων καὶ ἐν τῷ ἀσφαλεῖ γενομένων,
ἐβουλεύοντο ἅπαντες οἱ στρατηγοὶ, ἐνταῦθα τοὺς δυσμενεῖς
ἐκδεξάμενοι στήσεσθαί τε ἐς παράταξιν, καὶ διακωλύειν αὐ-
τοὺς ἀνὰ τὰ πρόσω ἰόντας. ἦν δέ τις τῶν ἐπισημοτάτων ἐν
τοῖς ταξιάρχαις Θεόδωρος ὄνομα, τὸ μὲν γένος ἕλκων ἐκ τοῦ

8. διαφθαρῆναι ὑπὸ δέους Suid. s. v. αὐτοβοεί. 14. μόνα R., μόνον vulg. 15. ἐντεῦθεν τῷ χώρῳ R., τῷ χώρῳ ἐνθένδε vulg. 16. Ὠλλάρια Par. τις ins. ex R. 20. στήσασθαι R.

bet; statimque, quanta potuit alacritate, omnibus copiis motis, et difficultatibus itinerum ea, quam iamdudum animo suo conceperat, ratione superatis, propugnaculo appropinquavit; et iam Romanis imminebat inopinato rei eventu perculsis, quique iam sese tueri non poterant. Tunc itaque Martinus locum deserendum censuit, priusquam Mermeroes, penitiore irruptione facta, Romanos, qui in praesidio erant, magna clade afficeret. Qui enim fieri poterat, ut perpauci tantam hostium vim sustinerent, neque primo statim impetu ad internecionem caederentur? Hoc igitur dolo circumventi superatique a barbaris, turpissimaque recessione facta, Romani reliquis copiis sese coniungere approperabant. Exercitus enim, quem Bessa et Iustinus ducebant, in campo quodam castra locarant non procul a Telephe sito, septem tantum stadiis inde distante. Est vero nihil aliud ibi quam ollarum forum, unde et loco nomen inditum. Ollaria enim, ut Latini dixerint, appellatur; quod perinde est, ac si Graece dicas *Χυτροπώλια*. Posteaquam vero iam multi cum Martino fuga praerepta in tuto essent constituti, visum est omnibus praefectis, ut ibi hostem exspectantes acie instructa obsisterent, ulterioreque transitu prohiberent. Erat vero quidam inter praecipuos clarissimosque duces Theodorus nomine, genus quidem ducens e gente

ἔθνους τῶν Τζάνων, παρὰ Ῥωμαίοις δὲ τεθραμμένος, καὶ A. C. 554
ἤδη τὸ βαρβαρικὸν τοῦ τρόπου, εἰ καὶ πάτριον ἦν, ἀποσκευα- I. I. 28
σάμενος καὶ ἐς τὸ ἀστειότατον μετακοσμήσας. οὗτος δὴ οὖν ὁ Θεόδωρος ἅμα τῇ οἰκείᾳ δυνάμει, (εἵποντο γὰρ αὐτῷ οὐ C
μείους ἢ πεντακόσιοι ἄνδρες τῶν ὁμοφύλων,) ἀμφὶ Τήλεφιν ἔτι ἐμεμενήκει, εἰρημένον αὐτῷ ὑπὸ Μαρτίνου, μὴ πρότερον ἐνθένδε χωρῆσαι, πρὶν ἂν θεάσοιτο ἅπαντας τοὺς πολεμίους εἰσβεβληκότας, εἰκάσοι τε αὐτούς, ὡς ἔνεστιν, ὅσοι εἶεν, καὶ γνοίη ὅπως ἔχουσιν ὁρμῆς τε καὶ γνώμης.

κα΄. Ὁ δὲ, (ἦν γὰρ ἐς ἅπαντα δραστήριός τε καὶ θαῤῥαλέος,) καὶ δὴ κατὰ ταῦτα ἐποίει· καὶ εἶτα, ἐπειδὴ παρόντα εἶδε τὰ πλήθη τῶν Περσῶν ἐντὸς τοῦ φρουρίου, ἔγνω τε αὐτοὺς οὐ μέχρι τοῦδε στησομένους, ἀλλὰ καὶ σφόδρα πολεμησείοντας, αὐτίκα ᾤχετο. εὑρὼν δὲ κατὰ τὴν πορείαν πολλοὺς τῶν Ῥωμαίων οὐκ εὐθυδρομήσαντας ἐς τὰ Χυτροπώλια, ἧπερ αὐτοῖς διετέτακτο, ἀλλ' ἐν οἰκήμασι Λαζικοῖς εἰσπηδήσαντας, καὶ D
ἀφαιρουμένους ἔλυμόν τε καὶ ζειὰς καὶ ἄλλα ἄττα τῶν ἐδωδίμων, ἀπελαύνειν τε αὐτοὺς ἐπειρᾶτο καὶ κατεμέμφετο τῆς παρανοίας, ὡς οὐκ εἰδότας οὗπερ τυγχάνουσιν ὄντες κακοῦ. ὅσοι μὲν οὖν ἦσαν αὐτῶν οὐ λίαν λίχνοι τε καὶ ἀκόλαστοι, οὗτοι δὲ μεταμαθόντες τὸ λῷον, ξυνείποντό τε αὐτῷ καὶ βάδην ἀπεκομίζοντο· πλὴν ἀλλ' οὐ γεγένηται χώρα τῷ Θεοδώρῳ σχο-

5. ἢ πεντακόσιοι — πρότερον ἐνθένδε om. R., lacunae signo in margine posito. 15. εὐθυδραμήσαντας R. 17. τε R. Lugd., γε edd. 18. παρανοίας R., παροινίας vulg. 20. ἦσαν et οὐ λίαν add. ex R. et Intpr. *qui gulae erant non admodum dediti.* 21. δὲ μεταμαθόντες R., δὴ μαθόντες vulg.

Zanorum, sed apud Romanos educatus, quique iam barbaricos mores, tametsi patrii erant, exuerat et ad summam urbanitatem traduxerat. Hic itaque Theodorus cum suo agmine (sequebantur enim ipsum non pauciores quingentis suae nationis viri) circa Telephim adhuc stationem habebat. Mandarat enim ei Martinus, ne prius inde discederet, quam omnes hostes irruentes vidisset, eorumque numerum, quoad fieri posset, observaret cognosceretque, quid virium, quid animi haberent.

21. Tum ille, ut erat ad omnia strenuus atque audax, mandata exsequitur. Ac deinde, cum iam Persarum copias propugnaculum ingressas vidisset, cognovissetque non eo tenus substiturum hostem, sed conflictus esse percupidum, confestim inde se subduxit. Cumque in itinere multos Romanorum non recta ad Ollaria contendentes deprehendisset, prout eis erat imperatum, sed Lazorum domibus insultantes, panicum et zeam sive semina, aliaque esculenta rapientes, eos revocare nitebatur, temeritatis accusans, qui nescirent, quibus in malis versarentur. Quotquot igitur ex iis erant minus gulosi atque intemperantes, potiora moniti ei sese adiunxerunt, et

A. C. 554 λαίτερον διαγγεῖλαι τοῖς στρατηγοῖς τὴν ἐπήλυσιν τοῦ Μερμε-
I. I. 28 ρόου. ἐνίων γὰρ ἔτι ἐκ τοῦ στρατοῦ τῇ ἁρπαγῇ ἐγκειμένων καὶ οὐκ ἀνιέντων, ἐπιφοιτῶσιν ἀθρόον οἱ Πέρσαι, καὶ ὀλίγους μὲν αὐτῶν ἔκτεινον· οἱ δὲ ἄλλοι δρομαῖοι ἔφυγον, καὶ δὴ ἐξαπιναίως ἐσπίπτουσιν ἀνὰ τὸ στρατόπεδον ξὺν οἰμωγῇ καὶ θορύβῳ, ὡς ἅπαντας ξυνταραχθῆναι τῷ αἰφνιδίῳ, καὶ πέρα
P. 59 τοῦ μετρίου δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι. οἱ δὲ στρατηγοὶ, (οὔπω γὰρ αὐτοῖς ἐς φάλαγγα ὁ στρατὸς ἐτετάχατο,) δεδιότες καὶ οἳ, μὴ σφίσιν οὐ παρεσκευασμένοις ἐπισταῖεν οἱ βάρβαροι, περιεφρόνουν μὲν τὰ πρότερον δοκηθέντα, οὐκ εἶχον δὲ ὅ, τι καὶ γένοιντο· οὔτε γὰρ βουλεύσασθαι αὐτοῖς περὶ τῶν παρόντων ὁ καιρὸς ἐνεδίδου καὶ τὸ ἤδη καταπεπλῆχθαι τὰς γνώμας. εὐθὺς οὖν ἄραντες ἐκ τοῦ πεδίου, καὶ ἅπαντα ἐπαγόμενοι τὰ στρατεύματα, ᾤχοντο ἀγεννῶς καὶ ἀκόσμως, καὶ οὐ πρότερον ἐπαύσαντο θέοντες, πρὶν ἐς τὴν Νῆσον ἱκέσθαι. ἄπεστι δὲ ἡ Νῆσος ἥδε Τηλέφεως πέντε μάλιστα παρασάγγαις. τοσαύτην ἄρα οἱ γενναῖοι αὐθημερὸν πο-
B ρείαν διήνυσαν, ὠκύτατα πεφευγότες. ἔστι γὰρ ὁ παρασάγγης, ὡς μὲν Ἡροδότῳ δοκεῖ καὶ Ξενοφῶντι, τριάκοντα στάδια, ὡς δὲ νῦν Ἴβηρες καὶ Πέρσαι φασὶν, ἐν ἑνὶ μόνῳ τῶν εἴκοσι πλείονα. Λαζοὶ δὲ οὕτω μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν, οὐ μὴν δὲ τῷ ὀνόματι χρῶνται, ἀλλὰ ἀναπαύλας καλοῦσι, καὶ, οἶμαι, εἰκό-

1. ἐπιήλυσιν R. 8. ὁ στρατηγὸς R. 9. παρασκευασμένοις R. 12. τὸ R. (Cl.), τῷ vulg. 20. ἐν mutandum non esse docebit Index. 21. οὐ μὴν δὲ — καλοῦσι om. R. et Intpr.

sensim se receperunt. Theodoro tamen locus non erat mature nuntiandi praefectis, Mermeroem imminere. Nonnullis enim adhuc extra castra rapinae intentis neque desistentibus Persae repente superveniunt; et nonnullos quidem eorum obtruncant; reliqui concitatiore cursu fugientes celeriter cum tumultu eiulatuque in exercitum ruunt, adeo ut omnes repentino motu perturbati et supra modum expavefacti, secessionem e castris fecerint. Praefecti vero (neque enim adhuc aciem ordinarant) metuentes etiam, ne barbari imparatos opprimerent, quae antea statuta erant, neglexerunt, neque quid consilii caperent sciebant. Neque enim tempus deliberationem de rebus praesentibus admittebat, neque ipsa animorum perturbatio. Motis igitur confestim e campo castris, universus exercitus in turpem incompositamque fugam se convertit; neque antea a fuga destiterunt, quam ad Insulam pervenissent. Distat autem haec Insula a Telephi quinque summum parasangis; tantum itineris strenui illi viri unius diei spatio confecerunt celerrime currentes. Constat autem parasanga, ut quidem Herodoto et Xenophonti placet, triginta stadiis, ut vero nunc Iberi et Persae volunt, uno tantum supra viginti. Idem sentiunt et Lazi; nequaquam tamen ea appellatione utuntur, sed *ἀναπαύλας*, hoc est mansiones, vocant, et mea quidem

τως. οἱ γὰρ παρ' αὐτοῖς ἀχθοφόροι, ἕκαστον παρασάγγην A. C. 554 περαιωθέντες, τά τε φορτία τίθενται, καὶ σφᾶς αὐτοὺς ἐλά- I. I. 28 χιστον ἀναπαύουσιν, ἑτέρων δήπου ἀμοιβαδὸν διαδεχομένων, καὶ καθόσον τοῦτο δρῶσιν, ἐς τοσοῦτον τὰς ὁδοὺς διαμετροῦνται καὶ κατατέμνουσιν. εἴτε δὴ οὖν οὕτως, εἴτε ἐκείνως τὸν παρασάγγην κλητέον, πεντήκοντά γε καὶ ἑκατὸν σταδίοις ἐκ C τοῦ φρουρίου ἡ Νῆσος διείργεται. ἔστι δὲ τὸ χωρίον ἐπιεικῶς ἐχυρὸν, καὶ οὐκ εὐέφοδον, ταῖς τῶν ποταμῶν περιβαλλόμενον δίναις. ὅ τε γὰρ Φᾶσις καὶ ὁ Δοκωνὸς, ἐκ τοῦ Καυκάσου διακριδὸν καταῤῥέοντε καὶ πολλῷ τὰ πρῶτα διεστηκότε, ἐνταῦθα τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης ἠρέμα πλησιάζετον ἀλλήλοιν καὶ οὐκέτι ἄποθεν φέρεσθον, ὥστε V. 43 ἀμέλει τῶν Ῥωμαίων διώρυχά τινα μηχανησαμένων, καὶ ἐκ τοῦ Φάσιδος ἐκροὴν εἰς τὸν Δοκωνὸν μετοχετευσάντων, τούτῳ δὴ τῷ τρόπῳ ἐς τὰ πρὸς τῆς ἕω τετραμμένα τῆς Νήσου ἡνῶσθαι ἄμφω τὼ ποταμὼ, καὶ ξυνειλῆφθαι τὸν χῶρον. ἐντεῦθεν δὲ αὖθις καμπάς τε καὶ περιελιγμοὺς ποιουμένω, οὐκ D ἐλάχιστόν τι χρῆμα τοῦ πεδίου εἴσω ἀπολαμβάνετον. προϊόντε δὲ ἀνὰ τὰ πρόσω, ἐς δυόμενον ἥλιον ξυμβάλλετον αὐτομάτως καὶ ἀναμίγνυσθον τελεώτατα, ὡς ταύτῃ γε ἅπαν τὸ μεταξὺ νῆσον ἐς τὸ ἀκριβὲς ἐκτελεῖσθαι. ἐνταῦθα μὲν οὖν οἱ Ῥωμαῖοι ἐτύγχανον ξυνειλεγμένοι.

1. παρ' αὐτῷ R. 5. οὕτως om. R. 7. Post ἔστι δὲ add. τοῦτο R. 8. οὐκ om. R. περιβαλλόμενον, (quod coni. Bon. Vulc.,) R. et Intpr. *aquis — circumactus*, παραβαλλόμενον vulg. 9. *Deconus* Intpr. 10. καταῤῥέοντες et διεστηκότες R. 1. m. 14. ἐκροὴν R., ἐκρόον vulg. 15. τῆς R., τῇ vulg. 17. περιελιγμὰ R. 18. προϊόντες R. 19. δυόμενον ἥλ. R., δυόμ. τὸν ἥλ. vulg. συμβ. R. 20. ἀναμίψυσθαι. R.

sententia recte. Nam et baiuli eorum singulis parasangis emensis et onera deponunt et paululum conquiescunt, aliis ad excipienda vicissim onera succedentibus; idque quoties factitant, per totidem spatia itinera metiuntur et dividunt. Sive igitur hoc, sive illo modo parasanga est appellanda, CL. stadiis a propugnaculo Insula haec distat. Est autem locus hic vehementer munitus, neque facile pervius, fluviorum vorticibus circumcinctus. Phasis enim et Doconus distinctis alveis e Caucaso defluentes, atque initio quam longissime inter se distantes, illic, cogente ita locorum situ, sensim sibi mutuo appropinquant, non magno amplius intervallo seiuncti: adeo ut Romani alveo quodam ducto, Phasidisque amnis aggere perfosso, eius fluenta in Doconum derivarint, eaque ratione duo hi fluvii, qua parte Insula in orientem vergit, in unum coeant locumque cingant. Inde vero rursus cum flexus quosdam anfractusque faciant, non exiguum campum intra se complectuntur. Ulterius vero progressi ad occidentem solem sponte sua coeunt penitusque commiscentur: ita ut quicquid ab his intercipitur, perfecte insulam efficiat. Hic itaque collecti Romani subsistebant.

A. C. 554 κβ'. Ὁ δὲ Μερμερόης ἐς τὰ Χυτροπώλια παραγενόμενος,
L. I. 28 καὶ πολλὰ τῆς ἀνανδρίας ἐπιτωθάσας τοὺς οὐκ ἀΐοντας καὶ
λοιδορησάμενος, ἔγνω μὴ περαιτέρω ἰέναι, μηδὲ τῇ Νήσῳ
προσβάλλειν. οὔτε γὰρ τὰ ἐπιτήδεια ἐκπορίζεσθαι τοσούτῳ
στρατῷ ἐν μέσῃ τῇ πολεμίᾳ οἷός τε ἦν, οὔτε ἄλλως παρεσκεύ-
P. 60 αστο ἐς πολιορκίαν. τοιγάρτοι ἀποπορευτέα μὲν αὖθις αὐτῷ
ἐπὶ Τήλεφίν τε καὶ τὴν ἐκείνῃ δυσχωρίαν οὐ μάλα ἐδόκει,
ξύλοις δὲ καὶ ἀκάτοις, ἃ δὴ ἐς τοῦτο ἐπεποίηντο, ζεύξας τὰς
τοῦ Φάσιδος ὄχθας καὶ οἷον γέφυραν τεκτηνάμενος, διεβίβασεν
ἀδεῶς ἅπαν τὸ στράτευμα, οὐδενὸς ἐνοχλοῦντος. καὶ δὴ τοὺς
εἰς Ὀνόγουριν Πέρσας ἱδρυμένους τὸ φρούριον, ὃ δὴ πρότε-
ρον αὐτὸς ἐν τῇ Ἀρχαιοπόλεως περιοικίδι ἐπιτείχισμα κατὰ
τῶν Ῥωμαίων κατεστήσατο, ἀλλὰ τούτους γε τοὺς Πέρσας
ἐπιθαρσύνας, καὶ ἑτέραν δύναμιν ἐμβαλὼν, καὶ ἅπαντα τὰ
τῇδε, ὡς ἐνῆν, κρατυνάμενος, πάλιν ἔς τε Κοτάϊσιν καὶ Μου-
χείρισιν ἐπανῆκεν. αὐτίκα δὲ νόσῳ τινὶ πεπιεσμένος καὶ διατε-
θεὶς χαλεπώτατα, τὸ μὲν πλεῖστον τοῦ στρατοῦ καὶ ἀλκιμώ-
τατον αὐτοῦ καταλέλοιπεν διαφυλάξοντας τὰ οἰκεῖα, αὐτὸς
B δὲ ἐς Ἰβηρίαν τὴν χώραν μετῆλθεν. καὶ τοίνυν ἐς πόλιν Με-
σχιθὰ οὕτω καλουμένην μόλις ἠγμένος, καὶ οὐκ ἐνεγκὼν τὸ

7. Pro ἐπὶ Τηλ. — δυσχωρίαν Suid. s. v. ἀποπορευτέα inepte: τῶν ἐπὶ Φᾶσιν ποταμῶν καὶ τῶν ἐκείνῃ δυσχωριῶν. Τήλεφιν R., Τήλεφον vulg. 8. ξύλοις δὲ καὶ ἀκάτοις, ἃ δὴ R., Intpr. *parvis navigiis — cratibus pluteisque superimpositis, Phasidis ripas — iungit.*, ξύλα δὲ καὶ ἀκάτους, αἳ δὴ vulg. ἐπεποίηντο R., πεποίηντο vulg. 9. διεβίβασεν R., διεβίβαζεν vulg. 11. Ὀνόγουριν R. et Intpr., Ὀνούγουριν vulg. 18. καὶ οἰκεῖα R. 19. Ad μετῆλθεν add. Intpr. *in hiberna.* Μεσχιθὰ R., *Mischita* Intpr., Μεσχισθὰ vulg.

22. Mermeroes vero cum ad Ollaria venisset, multisque contumeliis verborum mollitiem ignaviamque non audientibus obiecisset, censuit ulterius sibi progrediendum non esse, neque Insulam invadendam. Neque enim tanto exercitui commeatus in medio hostilis terrae suppetere potuisset, neque alioquin ad obsidionem bene comparatus erat. Quocirca redeundum sibi Telephin et ad illas locorum difficultates nequaquam censens, tabulis cratibusque et ratibus eum in usum confectis Phasidis ripas iungens, ac veluti ponte sternens, universum exercitum intrepide, nemine obsistente, traiecit, ac Persas quidem, quos in Onogori locarat, castello, quod ipse antea in ditione Archaeopolitana, ut adversus Romanos propugnaculi loco esset, struxerat, cum animasset validioreque praesidio auxisset, omniaque illic quantum poterat communisset, Cotaesium denuo et Muchirisim se recepit. Repente autem morbo quodam correptus, cum pessime haberet, maxima validissimaque exercitus parte, qui sua tuerentur, ibi relicta, ipse in Iberiam concessit, aegreque in oppidum Meschitha ita dictum delatus, cum vim morbi ferre non posset, ibi tum

πάθος, τότε δὴ τέθνηκεν ὡς ἀληθῶς ὁ Μερμερόης, ἀνὴρ ἐν A. C. 554 τοῖς μάλιστα παρὰ Πέρσαις γεγενημένος, καὶ δεινὸς μὲν ἐς I. I. 28 εὐβουλίαν, ἄριστος δὲ τὰ πολέμια, καὶ σφόδρα τὴν ψυχὴν ἀνδρειότατος· ὃς δὴ γηραιὸς ὢν ἤδη, καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος, καὶ οἷος μηδὲ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ἐμόχθει ὥσπερ τις νεανίας ῥωμαλεώτατος, καὶ οὐκ ἀπηγόρευεν πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην ἐς τὰς παρατάξεις ἐφοίτα, καὶ ταύτῃ τοὺς μὲν ἐναντίους κατέπληττεν, τοὺς δὲ C οἰκείους παραινῶν καὶ ἐγκελευόμενος, καὶ τὰ πρακτέα ὀρθῶς διατάττων, πολλὰς ἀνεδήσατο νίκας. οὕτως ἄρα τὸ στρατηγεῖν οὐ σώματος ῥώμῃ, μᾶλλον μὲν οὖν φρονήσει δοτέον. τότε δὴ τὸ σῶμα τοῦ Μερμερόου οἱ ἀμφ' αὐτὸν ἀνελόμενοι, καὶ ἐκτός που τοῦ ἄστεος ἀποκομίσαντες, οὕτω δὴ ἔρημόν τε καὶ ἀκάλυπτον κατὰ τὸν πάτριον ἔθεντο νόμον, κυσί τε ἅμα καὶ τῶν ὀρνέων τοῖς ὅσα μιαρὰ καὶ νεκροβόρα, παρανάλωμα γενησόμενον.

ιγ'. Ὧδε γὰρ τὰ ἐς τὴν ταφὴν οἱ Πέρσαι νομίζουσι, ταύτῃ τε τῶν σαρκῶν ἀφαιρουμένων, γυμνὰ δὴ τὰ ὀστᾶ πύθεται σποράδην ἀνὰ τὰ πεδία περιεῤῥιμμένα. θήκῃ γάρ τινι ἐμβαλεῖν ἢ λάρνακι τοὺς τεθνεῶτας, ἢ καὶ τῇ γῇ καταχωννύναι D ἥκιστα θέμις αὐτοῖς. ἐφ' ὅτῳ δὲ ἂν σώματι μὴ θᾶττον κατα-

5. *μὴ ἐφ' ἵππου* Suid. s. v. *γηραιός*. 6. *ἐμόχθει* et *καὶ* ante *οὐκ* om. Suid. probante B, Vulcanio. *ῥωμαλεότατος* R. 8. *ἐναντίον* R. *κατέπλητε* Sph. Par. *τοῖς δὲ οἰκείοις* R. 15. *σαρκοβόρα* legit Intpr.: *sarcovoris*. 16. *γὰρ* R. (Cl.), *καὶ* vulg.

vere tandem diem obiit Mermeroes, vir sane inter Persas praestantissimus, maximi consilii, reique bellicae peritissimus, animique vehementer strenui: qui quidem cum iam gravis annis, et a multo tempore utroque pede claudus esset, neque equitare posset, laboribus tamen perinde ac robustissimus aliquis iuvenis vacabat, neque ullos labores detrectabat; sed lectica gestatus in aciem prodibat, eaque ratione et hostibus terrorem incutiens, et suos animans atque exhortans; quaeque facto opus erat recte administrans, multas retulit victorias; usque adeo virtus imperatoria non corporis robori potius quam prudentiae est adscribenda. Tunc utique demortuum Mermerois corpus ipsius familiares elatum extraque oppidum deportatum solum ita ac nudum patrio ritu canibus pariter atque avibus obscoenis quaeque cadaveribus pascuntur, devorandum exposuerunt.

23. Hunc enim sepeliendi morem observant Persae, atque hac ratione absumtis carnibus, nuda ossa sparsim per campos proiecta putrescunt. In capsa enim aliqua vel loculo condere vel etiam terra obtumulare neutiquam fas est. Cuicunque vero cadaveri non statim advolarint aves, vel accurrentes canes non illico dilaniarint, illius hominis impuros fuisse mores credunt, animumque iniustum

A. C. 554 παῖεν οἱ ὄρνις, ἢ οἱ κύνες οὐκ αὐτίκα ἐπιφοιτῶντες διασπα-
I. I. 28 ράξαιεν, τοῦτον δὴ ἡγοῦνται τὸν ἄνθρωπον βέβηλον γεγονέναι τοὺς τρόπους, καὶ τὴν ψυχὴν ἄδικον καὶ βαραθρώδη, καὶ τῷ κακῷ δαίμονι ἀνειμένην. τότε δὴ οὖν καὶ μᾶλλον οἱ ἐπιτήδειοι τὸν κείμενον ὀλοφύρονται, ὡς τελεώτατα τεθνηκότα, καὶ οὐ μετὸν αὐτῷ τῆς κρείττονος μοίρας. ὃς δὲ ἂν τάχιστα καταβρωθείη, μακαρίζουσι τῆς εὐδαιμονίας, καὶ τὴν ψυχὴν ὑπεράγανται ὡς λίαν ἀρίστην καὶ θεοείκελον καὶ ἐς τὸν τοῦ ἀγα-
P. 61 θοῦ χῶρον ἀναβησομένην. οἱ δὲ πολλοὶ καὶ ἀσημότεροι εἴ που ἐν στρατοπέδῳ τύχοιεν νόσῳ τινὶ δυσκολωτάτῃ πεπιεσμένοι,
V. 44 ἔμπνοι ἔτι ἄγονται καὶ νηφάλιοι. ἐπειδὰν δέ τις οὕτως ἐκτεθείη, ἄρτου τρύφος αὐτῷ καὶ ὕδωρ καὶ βακτηρία ξυμπαράκεινται· καὶ μέχρι μὲν οἷός τε εἴη τῆς ἐδωδῆς ἀπογεύεσθαι, καί τι δυνάμεως αὐτῷ ὑπολείποιτο, ὁ δὲ ἀμύνεται ταύτῃ δὴ τῇ βακτηρίᾳ τὰ ἐπιόντα τῶν ζώων, καὶ ἀποσοβεῖ τοὺς δαιτυμόνας. εἰ δὲ οὔπω μὲν πάμπαν διαφθαρείη, νικῴη δὲ ὅμως τὰ τῆς νόσου ὡς μηκέτι κινεῖσθαι τὼ χεῖρε, τότε δὴ τὸν δείλαιον ἡμιθνῆτα καὶ ἄρτι ψυχοῤῥαγεῖν ἀρχόμενον κατεσθίουσι, καὶ προαφαιροῦνται τὴν ἐλπίδα τοῦ ἴσως ἂν καὶ περιέσεσθαι.
B πολλοὶ γὰρ ἤδη ἀναῤῥωσθέντες ἀπενόστησαν ἐς τὰ οἰκεῖα, καθάπερ ἐν σκηνῇ καὶ τραγῳδίᾳ ἐκ τῶν σκότου πυλῶν ἀφιγμένοι, ἰσχνοί τινες καὶ ἑτερόχρωτες καὶ οἷοι δεδίττεσθαι τοὺς ἐντυγ-

6. ὃς δὲ R., ὁ δὲ vulg. 8. Ad τοῦ ἀγαθοῦ Bon. Vulc. δαίμονος addendum censebat. 11. ἐξάγονται coni. Bon. Vulc. 12. ξυμπαράκεινται R., ξυμπαράκειται vulg. 14. ταύτῃ δὲ (scrib. δὴ) τῇ βακτ. R., δὴ τ. βακτ. ταύτῃ vulg. 16. πάμπαν add. ex R.

et barathro dignum, maloque daemoni dicatum. Tum porro et quidem magis necessarii atque amici iacentem lugent lamentisque prosequuntur, ut penitus emortuum, neque melioris fati participem. Qui vero quam citissime devoratus fuerit, felicissimum praedicant, eiusque animam summa admiratione prosequuntur, ut longe praestantissimam et Deo similem et in beatas sedes evolaturam. Promiscua vero et obscurior turba, sicubi in exercitu gravissimo aliquo morbo prematur, spirantes adhuc et mente constantes educuntur: posteaquam vero expositus in hunc modum aliquis fuerit, panis frustum ei et aqua baculusque iuxta apponuntur, ut quamdiu cibum degustare possit et virium aliquid ei supersit, baculo illo animantia irruentia arceat, epulonesque propulset. Si vero nondum quidem interierit, vincat tamen vis morbi adeo, ut iam manus amplius movere nequeat, tum utique miserum semimortuum et iam animam agere incipientem devorant, et spem diutius etiam fortasse vivendi praeripiunt. Multi enim cum iam convaluissent, domum redierunt veluti in scena et tragoedia ex tenebricosis Orci portis reversi, macilenti quidam et decolores obviosque terriculantes. Si

χάνοντας. εἰ δέ τις οὕτως ἐπανήξει, ἐκτρέπονταί γε αὐτὸν ἅπαν- A. C. 554
τες, καὶ ἀποφεύγουσιν ὡς ἐναγέστατον, καὶ ὑπὸ τοὺς χθο- L. I. 28
νίους ἔτι τελοῦντα, καὶ οὐ πρότερόν οἱ ἐφεῖται τῶν ξυνηθῶν
μεταλαχεῖν διαιτημάτων, πρὶν ὑπὸ τῶν μάγων ἀποκαθαρ-
θείη τὸ μίασμα δῆθεν τοῦ ἐλπισθέντος θανάτου, καὶ οἷον
ἀνταπολάβοι τὸ αὖθις βιῶναι. καὶ εὔδηλον μὲν ὅτι δὴ τῶν ἀν-
θρωπείων ἐθνῶν ὡς ἕκαστοι, εἴ γε ὁτῳδηοῦν νόμῳ ἐκ πλείστου
νενικηκότι ἐμβιοτεύσαιεν, τοῦτον δὴ ἄριστον ἡγοῦνται καὶ θε-
σπέσιον, καὶ εἴπου τι παρ᾽ ἐκεῖνον πράττοιτο, φευκτόν τε αὐ- C
τοῖς εἶναι δοκεῖ καὶ καταγέλαστον καὶ ὁποῖον ἤδη καὶ ἀπιστεῖ-
σθαι. ἐξεύρηνται δὲ ὅμως αἰτίαι τοῖς ἀνθρώποις καὶ λόγοι τῶν
οἰκείων πέρι νόμων ἄλλοθι ἄλλοι, τυχὸν μὲν ἀληθεῖς, τυχὸν
δὲ καὶ ἐς τὸ πιθανώτερον ἐσκευασμένοι. καὶ οὐδὲν οἶμαι θαυ-
μαστὸν, εἰ καὶ Πέρσαι τὰ παρὰ σφίσιν αὐτοῖς ἔθη αἰτιολο-
γοῦντες, ἀμείνονα πειρῶνται τῶν ἑκασταχοῦ ἀποφαίνειν· ἐκεῖνο
δὲ καὶ λίαν θαυμάσαιμι ἂν, ὅτι δὴ οἱ παλαίτατοι τῆς χώρας
οἰκήτορες, εἶεν δ᾽ ἂν οὗτοι Ἀσσύριοί τε καὶ Χαλδαῖοι καὶ Μῆ-
δοι, ἀλλ᾽ ἐκείνοις γε οὐ ταὐτὰ ἐδόκει. καὶ γὰρ ἀμφὶ Νῖνον
τὴν πόλιν καὶ ἀνὰ τὴν Βαβυλωνίαν χώραν καὶ πρός γε ἐν
τῇ Μηδικῇ τύμβοι τε καὶ θῆκαι τῶν πάλαι τεθνεώτων ἵδρυντο, D
οὐκ ἄλλον τινὰ ἢ τὸν ἡμέτερον ἀποσώζουσαι τρόπον, καὶ εἴτε

3. *τελοῦντα* R. Lugd. Intpr., *τελοῦνται* edd. 4. *ἀποκαθαρθείη* R., *ὑποκαθαρθείη* vulg. 6. *ἀνταπολάβοιτο αὖθις* R. 8. *τοῦτο δὲ* R. 9. *ἐκεῖνο* R. 14. *παρὰ σφίσιν αὐτοῖς* R., *παρ᾽ αὐτοῖς* vulg. 18. *Νῖνον* R. cum Herodoti Strabonisque libris, *Νίνον* vulg. 21. *ἄλλως* R. *ἢ* R., *καὶ* vulg.

quis autem ita redeat, aversantur eum omnes et defugiunt, ut maxime piacularem, et inter subterraneos adhuc eum censent; neque antea pristinum vitae institutum colere ei permittitur, donec a magis expiatum fuerit piaculum exspectatae mortis, et quodammodo vita redonetur. Et certe manifestum est singulas hominum nationes, si cui legi, quae a multo tempore obtinuerit, assueverint, optimam eam aequissimamque iudicare; et sicubi quid praeter eam fiat, reiectaneum id ipsis ac ridiculum videri dignumque, cui fides abrogetur. Inventae sunt tamen ab hominibus suarum legum rationes et causae aliae atque aliae, fortasse quidem verae, fortassis autem et ad persuadendum comparatae. Quo fit, ut mirum mihi non videatur, si et Persae rituum suorum rationem reddentes, eos etiam quibusvis aliis praestare censeant. Illud vero et quidem vehementer miror, quod vetustissimi illius regionis habitatores, Assyrii videlicet, Chaldaei et Medi, non eadem cum Persis sentiant. Nam circa Nini urbem et circa Babylonicam ac praeterea Medicam regionem tumuli et capsae eorum, qui olim mortui fuerunt, exstant, non alium quam nostrum morem servantes; et sive corpora sint, sive cinis, quod iis conditur,

A. C. 554 σώματα, εἴτε κόνις ἦν τὸ κρυπτόμενον, ὡς δὴ ἐκείνων κατὰ L. I. 28 τὸν παρ' Ἕλλησι νόμον πυροληθέντων, οὐδαμῶς ὅμοιά γε ταῦτα τοῖς νῦν γιγνομένοις ἐτύγχανον ὄντα.

κδ'. Οὔκουν ἐκεῖνοί γε ὧδε ἐγίγνωσκον, οὔτε περὶ τὰς ταφὰς, οὐμενοῦν ἀλλ' οὐδὲ ἐς τὴν τῆς εὐνῆς παρανομίαν ὁποῖα οἱ νῦν ἀκολασταίνουσιν, οὐ μόνον ἀδελφαῖς τε καὶ ἀδελφιδαῖς ἀνέδην μιγνύμενοι, ἀλλὰ πατέρες τε θυγατράσι, καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, ὦ νόμοι γε καὶ φύσις! υἱοὶ ταῖς τεκούσαις. ὅτι γὰρ αὐτοῖς καὶ τοῦτο κεκαινοτόμηται, ἐκεῖθεν P. 62 ἄν τις σαφέστατα διαγνοίη. λέγεται γάρ ποτε Σεμίραμιν τὴν πάνυ τὴν Ἀσσυρίαν εἰς τοῦτο ἀκρασίας ἡγμένην, ὡς Νινύᾳ τῷ παιδὶ ἐθελῆσαι ξυνελθεῖν ἐς ταὐτὸ, καὶ ἤδη πειρᾶν τὸν νεανίαν. τὸν δὲ ἀπαυήνασθαι καὶ χαλεπῆναι, καὶ τελευτῶντα, ἐπειδὴ αὐτὴν ἑώρα σφαδάζουσαν καὶ ἐγκειμένην, ἀποκτεῖναί τε τὴν μητέρα, καὶ τόδε τὸ ἄγος ἀντ' ἐκείνου ἑλέσθαι. καίτοι εἰ νόμῳ ταῦτα ἐφεῖτο, οὐκ ἂν, οἶμαι, ὁ Νινύας ἐς τόδε ὠμότητος ἧει. καὶ τί δεῖ τὰ λίαν παλαίτατα λέγειν; ὀλίγῳ γὰρ ἔμπροσθεν τῶν Μακεδονικῶν καὶ τῆς τῶν Περσῶν καταλύσεως, Ἀρταξέρξην φασὶ τὸν Δαρείου, Παρυσάτιδος τῆς μητρὸς πα-B ραπλήσια τῇ Σεμιράμιδι παθούσης, καὶ ξυγγενέσθαι οἱ ἱεμένης, ἀποκτεῖναι μὲν αὐτὴν ἥκιστα, ἐκκλῖναι δὲ ὅμως ξὺν ὀργῇ

4. Vulg. οὐκοῦν. — Utrumque e magorum moribus invaluit, Parthis, puto, dominantibus: Herod. I. 140. Catull. 5. ἐν τὴν (sic) R. 15. ἐκείνου R., idque coni. B. Vulcanius, ἐκείνης vulg. Intpr. *patrare id maluisse, quam scelus committere.* 19. μητέρος edd. 20. παθούσῃ R. ἱεσομένης R.

utpote illis Graecanico ritu crematis, neutiquam certe similia haec eis, quae nunc fiunt, fuerunt.

24. Nequaquam itaque illi hoc pacto senserunt, neque ita, ut qui nunc vivunt, et sepulturae et thori iura pro sua libidine violarunt, non solum cum sororibus et neptibus rem habentes, sed patres cum filiabus, et quod omnium est sceleratissimum, o leges, o natura! filii cum suis matribus. Huius enim flagitii novum ab eis exemplum statutum fuisse, manifestissime hinc cuivis liquere potest. Fertur namque magnam illam Semiramim Assyriam eo incontinentiae venisse, ut cum filio suo Ninya congredi voluerit, atque adeo iuvenem sollicitasse; illum vero recusasse molesteque tulisse; tandem vero cum matrem libidinis impatientem urgentemque cerneret, eam interfecisse, et hoc potius quam alterum illud scelus perpetrare maluisse. Atqui si lege haec permissa fuissent, nequaquam, uti arbitror, Ninyas eo crudelitatis venisset. Sed quid attinet haec perquam vetusta commemorare? Paulo enim post Macedonica tempora et Persarum eversionem aiunt Artaxerxem, Darii filium, matrem suam Parysatidem, cum eidem, quo Semiramis, malo obnoxia,

καὶ ἀποσείσασθαι, ὡς οὐχ ὅσιον ὂν τοῦτό γε, οὐδὲ πάτριον, A. C. 554
οὐδὲ τῷ βίῳ ξυνειθισμένον. Πέρσαις δὲ τοῖς νῦν τὰ μὲν πρό- I. L. 28
τερα ἔθη σχεδόν τι ἅπαντα παρεῖται ἀμέλει καὶ ἀνατέτρα-
πται, ἀλλοίοις δέ τισι καὶ οἷον νενοθευμένοις χρῶνται νομί-
μοις, ἐκ τῶν Ζωροάστρου τοῦ Ὀρμάσδεως διδαγμάτων κατα-
κηληθέντες. οὗτος δὲ ὁ Ζωρόαστρος, ἤτοι Ζαράδης (διττὴ γὰρ
ἐπ' αὐτῷ ἡ ἐπωνυμία), ὁπηνίκα μὲν ἤκμασεν τὴν ἀρχὴν, καὶ
τοὺς νόμους ἔθετο, οὐκ ἔνεστι σαφῶς διαγνῶναι. Πέρσαι δὲ V. 45
αὐτὸν οἱ νῦν ἐπὶ Ὑστάσπεω, οὕτω δή τι ἁπλῶς, φασὶ γεγο- C
νέναι, ὡς λίαν ἀμφιγνοεῖσθαι καὶ οὐκ εἶναι μαθεῖν, πότερον
Δαρείου πατὴρ, εἴτε καὶ ἄλλος οὗτος ὑπῆρχεν Ὑστάσπης. ἐφ'
ὅτῳ δ' ἂν καὶ ἤνθησε χρόνῳ, ὑφηγητὴς αὐτοῖς ἐκεῖνος, καὶ
καθηγεμὼν τῆς μαγικῆς γέγονεν ἁγιστείας, καὶ αὐτὰς δὴ τὰς
προτέρας ἱερουργίας ἀμείψας, παμμιγεῖς τινας καὶ ποικίλας
ἐνέθηκε δόξας. τὸ μὲν γὰρ παλαιὸν Δία τε καὶ Κρόνον καὶ
τούτους δὴ ἅπαντας τοὺς παρ' Ἕλλησι θρυλλουμένους ἐτίμων
θεοὺς, πλήν γε ὅτι δὴ αὐτοῖς ἡ προσηγορία οὐχ ὁμοίως ἐσώ-
ζετο. ἀλλὰ Βῆλον μὲν τὸν Δία τυχὸν, Σάνδην τε τὸν Ἡρα-
κλέα, καὶ Ἀναΐτιδα τὴν Ἀφροδίτην, καὶ ἄλλως τοὺς ἄλλους
ἐκάλουν, ὥς που Βηρωσσῷ τε τῷ Βαβυλωνίῳ, καὶ Ἀθηνο- D
κλεῖ, καὶ Σιμάκῳ, τοῖς τὰ ἀρχαιότατα τῶν Ἀσσυρίων τε καὶ

2. πρότερα R. et Intpr. *priscos mores*, πρότερον vulg. 5. Ζοροάστρου R. Ὀρμάσδεος R., Intpr. *Orimasdei*. 6. Ζορόαστρος R. et Intpr., Ζωρόαδος vulg. 15. ἐνέθηκε R. ac fort. Lugd., ἀνέθηκε edd. 16. τούτους δὴ R. et Lugd., τούτους δὲ edd. 21. Σιμάκῳ Lugd., Σειμάκῳ R., Συμμάχῳ Intpr. et Par.

rem secum habere cuperet, non quidem necasse, declinasse tamen iracunde ac reiecisse; quod neque pium id esset, neque patrium, neque in communi vita consuetum. Persae vero, qui nunc sunt, priores quidem mores fere omnes neglexerunt atque abiecerunt, alienis vero ac veluti adulterinis institutis utuntur, Zoroastri Oromasdae disciplina deliniti. Hic autem Zoroaster sive Zarades (duplex enim ei appellatio tribuitur), quando primum floruerit et leges condiderit, liquido non constat. Persae vero huius aetatis sub Hystaspe, simpliciter tamen citraque ullam adiectionem, vixisse aiunt, adeo ut valde ambigatur neque certo sciri possit, utrum Darii pater, an alius quispiam hic Hystaspes fuerit. Quocunque vero tandem tempore floruerit, auctor eis et dux magicae religionis exstitit; pristinoque sacrorum ritu immutato, confusaneas quasdam et varias opiniones induxit. Antiquitus enim Iovem et Saturnum ceterosque omnes Deos a Graecis celebratos colebant, eo excepto, quod non easdem appellationes retinerent; sed Belum quidem Iovem et Sandem Herculem, Anaïtida Venerem, aliterque alios vocabant, ut alibi Berosus Babylonius, et Athenocles, et Simacus, qui antiquissimas Assyriorum

A. C. 554 I. I. 28 Μήδων ἀναγραψαμένοις, ἱστόρηται· νῦν δὲ ὡς τὰ πολλὰ τοῖς καλουμένοις Μανιχαίοις ξυμφέρονται, ἐσόσον δύο τὰς πρώτας ἡγεῖσθαι ἀρχὰς, καὶ τὴν μὲν ἀγαθήν τε ἅμα καὶ τὰ κάλλιστα τῶν ὄντων ἀποκυήσασαν, ἐναντίως δὲ κατ' ἄμφω ἔχουσαν τὴν ἑτέραν· ὀνόματά τε αὐταῖς ἐπάγουσι βαρβαρικὰ καὶ τῇ σφετέρᾳ γλώττῃ πεποιημένα. τὸν μὲν γὰρ ἀγαθὸν, εἴτε θεὸν εἴτε δημιουργὸν, Ὀρμισδάτην ἀποκαλοῦσιν, Ἀριμάνης δὲ ὄνομα τῷ κακίστῳ καὶ ὀλεθρίῳ. ἑορτήν τε πασῶν μείζονα
P. 63 τὴν τῶν κακῶν λεγομένην ἀναίρεσιν ἐκτελοῦσιν, ἐν ᾗ τῶν τε ἑρπετῶν πλεῖστα καὶ τῶν ἄλλων ζώων ὁπόσα ἄγρια καὶ ἐρημονόμα κατακτείνοντες, τοῖς μάγοις προσάγουσιν, ὥσπερ ἐς ἐπίδειξιν εὐσεβείας. ταύτῃ γὰρ οἴονται τῷ μὲν ἀγαθῷ κεχαρισμένα διαπονεῖσθαι, ἀνιᾶν δὲ καὶ λυμαίνεσθαι τὸν Ἀριμάνην. γεραίρουσι δὲ ἐς τὰ μάλιστα τὸ ὕδωρ, ὡς μηδὲ τὰ πρόσωπα αὐτῷ ἐναπονίζεσθαι, μήτε ἄλλως ἐπιθιγγάνειν, ὅτι μὴ ποτοῦ τε ἕκατι καὶ τῆς τῶν φυτῶν ἐπιμελείας.

κε΄. Πολλοὺς δὲ καὶ ἄλλους θεοὺς ὀνομάζουσι καὶ ἱλάσκονται· τοῦτο Ἑλληνικόν. θυσίαις τε χρῶνται καὶ ἀφαγνισμοῖς καὶ μαντείαις· καὶ τοῦτο Ἑλληνικόν. τὸ δὲ πῦρ αὐτοῖς τίμιόν τε εἶναι δοκεῖ καὶ ἁγιώτατον, καὶ τοίνυν ἐν οἰκίσκοις
B τισὶν ἱεροῖς τε δῆθεν καὶ ἀποκεκριμένοις ἄσβεστον οἱ μάγοι φυλάττουσι, καὶ ἐς ἐκεῖνο ἀφορῶντες τάς τε ἀποῤῥήτους τε-

2. καλ. Μανιχαίοις R., Μανιχ. καλ. vulg. 4. κατ' ἄμφω R., καὶ κατ' ἄμφω vulg. 5. αὐταῖς R., αὐτοῖς vulg. 7. Ὀρμισδάτην R., Intpr. *Hornusdatim*, Ὀρμισδάστην vulg.

Medorumque res conscripserunt, testantur. Nunc vero maiore ex parte cum iis, qui Manichaei dicuntur, conveniunt; quatenus duo prima principia statuunt, atque alterum quidem bonum et optima quaeque ex se gignens; alterum contrario plane modo secundum haec duo se habens; nominaque illis indunt barbara, ex ipsorum lingua ducta. Bonum enim, sive Deum sive creatorem, Hormisdatem appellant; Arimanes autem pessimo illi ac pernicioso est nomen. Festum etiam omnium maximum, quod malorum sublationem vocant, peragunt, in quo serpentes quamplurimos, et ex aliis animantibus quaecunque desertis in locis degunt, interficientes, magis offerunt, veluti in argumentum pietatis. Ea enim ratione credunt se bonam gratamque bono illi operam navasse, ingratam vero et noxiam Arimani. Venerantur autem praecipue aquam, adeo ut neque faciem ea abluant, neque aliter attingant, nisi potus causa et ob plantarum curam.

25. Multos vero etiam alios Deos habent et colunt; id Graecanicum est. Sacrificiis etiam utuntur et lustrationibus et vaticiniis; etiam hoc Graecanico more. Ignis autem iis maxime honorandus sanctissimusque videtur; atque idcirco in aediculis quibusdam sacris ac semotis magi eum perennem asservant, inque eum despicientes

λετὰς ἐκτελοῦσι, καὶ τῶν ἐσομένων πέρι ἀναπυνθάνονται. τοῦ- A. C. 554
το δὲ, οἶμαι, τὸ νόμιμον ἢ παρὰ Χαλδαίων ἢ ἐξ ἑτέρου του I. I. 28
ἀνελέξαντο γένους. οὐ γὰρ δὴ τοῖς ἄλλοις ξυμβαίνει. ὧδέ πως ἄρα αὐτοῖς ἡ δόξα, ἐκ πλείστων ὅσων ἐθνῶν ἠρανισμένη, ὡς ποικιλώτατα ξύγκειται. καί μοι τοῦτο οὐκ ἄπο τρόπου δοκεῖ γεγενῆσθαι. ἄλλην γὰρ οὕτω πολιτείαν οὐκ οἶδα ἐς πλείστας μορφάς τε καὶ σχήματα μεταβαλοῦσαν, καὶ ἐν ταὐτῷ μένειν ἐπιπλεῖστον οὐ διαρκέσασαν, ἀλλὰ μυρίων ἐθνῶν ἄλλοτε ἄλλων ἐπικράτειαν δεξαμένην· τῷ τοι ἄρα καὶ εἰκότως πολλῶν ἰδεῶν C
τε καὶ νόμων γνωρίσματα σώζει. πρῶτοι μὲν γὰρ ὧν ἀκοῇ ἴσμεν Ἀσσύριοι λέγονται ἅπασαν τὴν Ἀσίαν χειρώσασθαι, πλὴν Ἰνδῶν τῶν ὑπὲρ Γάγγην ποταμὸν ἱδρυμένων. Νῖνός τε πρότερον φαίνεται καὶ βασιλείαν ἐνταῦθα βεβαίαν καταστησάμενος, Σεμίραμίς τε αὖ μετ' ἐκεῖνον, καὶ ἑξῆς ἅπαντες οἱ τούτων ἀπόγονοι μέχρι καὶ ἐς Βελεοῦν τὸν Δερκετάδου. ἐς τοῦτον γὰρ δὴ τὸν Βελεοῦν τῆς τοῦ Σεμιραμείου φύλου διαδοχῆς παυσαμένης, Βελητάρας τις ὄνομα, φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν τοῖς βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης, ἐκρα-

6. ἄλλην γ. οὕτω πολ. οὐκ οἶδα. Sic R. et vulg. Intpr. legisse videtur ἄλλ. γ. πολ. οὔπω οἶδα, aut ἄλλ. γ. οὔπω πολ. οὕτως οἶδα, nam vertit: *nondum enim aliam rem p. vidi.* 7. μεταβαλοῦσας R. 12. Νῖνος R., Νίνος vulg. 13. βεβαίαν add. ex R., Intpr. *videtur tunc primum imperium obfirmasse.* 15. Βελεοῦν R., Βελλεοῦν vulg. Intpr. eum vocat *Belum Decortari*. Quidquid scripserit Agathias, illud dubio caret eundem esse, qui in Canone Eusebii et apud Syncellum *Belochus* vocatur; secundum Syncellum XIX. Assyriorum rex, cui successerit *Balatorus*; apud S. Hieronymum *Bellepares*: Eusebio, qui cuncta fraudibus turbavit, *Balaeus* dictus. ἐς τοσοῦτον R. 17. Βελητάρας R., Intpr. *Belitaras*, Βελητάραν vulg.

arcana sacra peragunt, et de rebus futuris sciscitantur. Hoc vero, ut arbitror, institutum vel a Chaldaeis, vel ab alia aliqua natione acceperunt, neque enim cum aliis consentit. Ita illis opinio ex quamplurimis gentibus conflata, varie admodum composita est. Et mihi quidem non abs re id factum videtur. Neque enim aliam ullam rem publicam novi, in ita varias formas ac species mutatam, quaeque in uno eodemque statu quam diutissime permanere non potuerit; sed cum quam plurimarum ac diversissimarum gentium imperium admiserit, idcirco etiam verisimiliter multarum formarum et legum monumenta servat. Primi enim omnium, quos auditu accepimus, Assyrii dicuntur universam Asiam occupasse, exceptis Indis, qui ultra Gangem habitant. Ninus quoque primo videtur etiam imperium ibi stabilisse, et post eum Semiramis, ac deinceps omnes horum posteri ad Belum Dercetadae filium. Cum enim in hoc Belo Semiramicae stirpis successio desineret, Belitaras quidam nomine vir insitor et hortorum, qui in regia erant, curator ac magister, imperium sibi mira ratione

A. C. 554 πώσατο παραλόγως τὴν βασιλείαν, καὶ τῷ οἰκείῳ ἐνεφύτευσε
I. I. 28 γένει, ὥς που Βίωνι γέγραπται καὶ Ἀλεξάνδρῳ τῷ Πολυΐστο-
D ρι, ἕως ἐς Σαρδανάπαλον, ὥς ἐκεῖνοί φασι, τῆς ἀρχῆς ἀπο-
μαρανθείσης, Ἀρβάκης ὁ Μῆδος καὶ Βέλεσυς ὁ Βαβυλώνιος
ἀφῄρηνται αὐτὴν τοὺς Ἀσσυρίους, καθελόντες τὸν βασιλέα,
καὶ ἐς τὸ Μηδικὸν μετέστησαν ἔθνος, ἓξ τε καὶ τριακοσίων
V. 46 ἤδη πρὸς τοῖς χιλίοις, ἢ καὶ ὀλίγῳ πλειόνων, ἐτῶν παρῳχη-
κότων, ἐξ οὗ τὰ πρῶτα ὁ Νῖνος τῶν ἐκείνῃ κατέσχεν πρα-
γμάτων. οὕτω γὰρ Κτησίᾳ τῷ Κνιδίῳ τοὺς χρόνους ἀναγρα-
ψαμένῳ καὶ Διόδωρος ξύμφησιν ὁ Σικελιώτης. Μῆδοι τοίνυν
αὖθις ἐκράτουν, καὶ ἅπαντα τοῖς ἐκείνων ἐτάττοντο νόμοις. ἔτη
P. 64 δὲ καὶ τούτων ἐν τῇ ἀρχῇ διανυσάντων οὐ μεῖον ἢ τριακόσια,
Κῦρος ὁ Καμβύσου τὸν Ἀστυάγην καταπολεμήσας, ἐπὶ Πέρ-
σας τὴν ἡγεμονίαν μετήγαγε. πῶς δὲ οὐκ ἤμελλεν, Πέρσης τε
ὢν αὐτὸς ἰθαγενής, καὶ ἅμα χαλεπαίνων τοῖς Μήδοις διὰ τὰς
ξὺν Ἀστυάγει παρατάξεις; κρατήσαντες δὲ καὶ οἱ Περσικοὶ
βασιλεῖς ὀκτώ τε καὶ εἴκοσι καὶ διακόσια ἔτη, καὶ μέντοι καὶ
ἡ τούτων ἀρχὴ τελεώτατα διεῤῥύη, στρατῷ ἐπηλύτῃ καὶ βα-
σιλεῖ ἀλλοτρίῳ καταλυθεῖσα. Ἀλέξανδρος γὰρ ὁ Φιλίππου Δα-
ρεῖον ἀποκτείνας τὸν Ἀρσάμου, τὸν βασιλέα, καὶ ἅπασαν
τὴν Περσίδα παραστησάμενος, ἐς Μακεδονικὴν τὰ πράγματα

3. Intpr. post Σαρδ. addit *sub quo*, quasi legisset ἐφ᾽ οὗ. 4. Βέλεσυς R., Βέλεσσυς vulg. 7. ἢ καὶ R., Intpr. *aut*, καὶ vulg. — Secundum Syncellum 1460. 8. ἐξ οὗ R., ἀφ᾽ οὗ vulg. τῶν ἐκείνων R. 11. ἔτι R. pro ἔτη. 14. Intpr. *cum Persa is esset, Persiaeque insuetus*.

vindicavit suoque generi insevit, quemadmodum Bio et Alexander Polyhistor memoriae prodiderunt, donec Sardanapalo regnante, ut illi scribunt, cum iam emarcuisset imperium, Arbaces Medus et Belesys Babylonius illud Assyriis eripuerunt, interfecto ipsorum rege, et ad Medos transtulerunt, sex et trecentis iam supra mille et paulo amplius annis elapsis, ex quo primum Ninus ibi summam rerum obtinuerat. Ita enim Ctesiae Cnidio tempora describenti Diodorus etiam Siculus assentitur. Medi itaque rursum imperium sunt adepti, omniaque ipsorum legibus constituebantur. Cum vero etiam hi annis non minus trecentis imperio essent potiti, Cyrus Cambysae filius Astyage debellato ad Persas imperium traduxit. Quo pacto enim id non erat facturus, cum et Persa ipse esset indigena, simulque Medis infensus ob proelia cum Astyage habita? Cum vero etiam Persici reges annis octo et viginti supra ducentos imperassent, etiam horum imperium penitus est collapsum, ab externo exercitu et rege alienigena dissipatum. Alexander enim Philippi filius interfecto Dario rege, Arsami filio, totaque Perside subacta, ad Macedonicam gubernationem res transtulit. Ita enim rerum gesta-

μετέθηκε πολιτείαν. οὕτω γὰρ ἦν μεγαλουργὸς ἐς τὰ μάλιστα A. C. 554 καὶ ἀμαχώτατος, ὥς, ἐπειδὴ αὐτὸν καὶ ἀποβιῶναι ξυνέβη, I. I. 28 ὅμως τοὺς ἐκείνου διαδόχους, Μακεδόνας γε ὄντας, κατασχεῖν B ἐπιπλεῖστον τῆς ἀλλοδαπῆς καὶ ὀθνείας, καὶ ἐπὶ μέγα δυνάμεως ἀφικέσθαι. καὶ οἶμαι ἄχρι καὶ ἐς τόδε τοῦ καιροῦ ἦρχον ἂν καὶ ἐπεκράτουν, τῇ τοῦ οἰκιστοῦ κρατυνόμενοι δόξῃ, εἰ μὴ ἐς ἀλλήλους στασιάσαντες, καὶ θαμὰ κατά τε σφῶν αὐτῶν καὶ πρὸς Ῥωμαίους παραταξάμενοι, τοῦ πλείονος ἕκατι, διέλυσαν τὰς οἰκείας δυνάμεις, καὶ οὐκέτι ἀνάλωτοι τοῖς πέλας ἐδόκουν. τοιγάρτοι ἄρξαντες οὐ λίαν ἐλάττονα χρόνον τῶν Μήδων, ὅτι μὴ ἑπτὰ ἔτεσι δέοντα, (πειστέον γὰρ κἀνταῦθα τῷ Πολυΐστορι,) ἐς τοσοῦτον δὴ οὖν κρατήσαντες, Παρθυαῖοί C γε αὐτούς, ἔθνος κατήκοον καὶ ἥκιστα ἐν τῷ πρὸ τοῦ ὀνομαστότατον, παρέλυσαν τῆς ἀρχῆς τοὺς Μακεδόνας. καὶ εἶτα ἐκεῖνοι τῶν ὅλων πλὴν Αἰγύπτου ἡγοῦντο, Ἀρσάκου μὲν πρότερον τῆς ἀποστάσεως ἀρξαμένου, ὡς καὶ Ἀρσακίδας τοὺς μετ' αὐτὸν ὀνομάζεσθαι, Μιθριδάτου δὲ οὐ πολλῷ ὕστερον ἐς μέγα τι κλέος τὸ Παρθυαίων ὄνομα ἐξενεγκόντος.

κς' Ἑβδομήκοντα δὲ ἐτῶν ἤδη ἐπὶ διακοσίοις παρῳχηκό-

12. κρατήσαντας et 16. ἀρξαμένους sph. Par. 19. Ab Arsacis initiis usque ad interitum Artabani anni 476. numerantur: vid. Ste. Croix ad Tacit. ed. Oberlin. T. II. p. 872. Unde aliquis coniiciat ἑβδομήκοντα ἐπὶ τετρακοσίοις emendandum esse. Verumtamen nihil mutare ausim, quum propter consensum R. et Intpr. cum Lugdunensi, tum vero praesertim propter temporis summam, quod Agathias Macedonum imperio tribuit. Quos quum septem tantum annis minus quam Medos Asiam tenuisse ponit, Medos autem per 300. annos imperasse, sequitur illum sibi persuasisse, Parthorum imperium anno demum 44. a. Chr. n. exortum esse. Ita vero Macedonum annos a primo Alexandri post patrem regnantis, non a Darii regno everso supputavit. Ac Polyhistorem quoque auctorem falso fert, qui Sulla rem Romanam tenente florebat.

rum magnitudine eximie clarus erat belloque insuperabilis, ut etiam posteaquam eum e vivis excedere contigit, successores tamen ipsius, Macedones cum essent, alienam exteramque regionem quam diutissime in potestate retinuerint, et ad summam potentiam evaserint. Et sane arbitror eos etiam in hunc usque diem regnaturos imperiumque obtenturos fuisse, Alexandri gloria suffultos, nisi inter se dissidentes frequentibusque proeliis tum adversus se mutuo, tum adversus Romanos habitis, plura habendi studio, suas ipsorum vires potentiamque fregissent, effecissentque ut non amplius finitimis insuperabiles viderentur, cum alioquin imperassent non minore temporis spatio quam Medi, septem videlicet annis minus; nam etiam hac in re credendum est Polyhistori. Cum itaque tanto tempore imperassent, a Parthis, gente aliis subdita minimeque antea celo-

A. C. 554 των ἀπὸ Ἀρσάκου τοῦ προτέρου ἐς Ἀρτάβανον τὸν ἔσχατον
I. L. 28 βασιλέα, ἡνίκα τὰ Ῥωμαίων πράγματα ὑπὸ Ἀλεξάνδρῳ τῷ Μαμαίας παιδὶ ἐτετάχατο, κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ τὸ Χοσ-
D ρόου τοῦ καθ' ἡμᾶς βασιλεύειν ἤρξατο γένος, ἥ τε μέχρι καὶ νῦν παρὰ Πέρσαις κατέχουσα πολιτεία ἐν τῷ τότε ἀρχὴν εἴληφε καὶ οἷον κατάστασιν πρώτην. Ἀρταξάρης γάρ τις τοὔνομα, Πέρσης ἀνήρ, ἄδοξος μὲν τὰ πρῶτα καὶ ἀφανέστατος, ἄλλως δὲ μεγαλουργὸς καὶ δραστήριος, καὶ δεινὸς κινῆσαι τὰ καθεστῶτα, ξυνωμότας ἀγείρας καὶ ἐπιθέμενος, Ἀρτάβανον μὲν ἀναιρεῖ τὸν βασιλέα, ἑαυτῷ δὲ περιθεὶς τὴν κίδαριν, καὶ τὴν Παρθικὴν δύναμιν καταλύσας, αὖθις τοῖς Πέρσαις τὴν σφετέραν ἀνενεώσατο βασιλείαν. ἦν δέ γε οὗτος τῇ μαγικῇ κάτοχος
P. 65 ἱερουργίᾳ καὶ αὐτουργὸς τῶν ἀπορρήτων. ταῦτά τοι καὶ τὸ μαγικὸν φῦλον ἐγκρατὲς ἐξ ἐκείνου γέγονε καὶ ἀγέρωχον, ὃν μὲν ἤδη καὶ πρότερον, καὶ ἐκ παλαιοῦ τήνδε τὴν ἐπίκλησιν ἀποσῷζον, οὔπω δὲ ἐς τοῦτο τιμῆς τε καὶ παρρησίας ἠρμένον, ἀλλ' ὁποῖον ὑπὸ τῶν ἐν τέλει ἐστὶν ᾗ καὶ περιορᾶσθαι. δῆλον δέ· οὐ γὰρ ἂν οἱ ἀμφὶ Δαρεῖον Πέρσαι, Σμέρδιος πάλαι τοῦ μάγου μετὰ Καμβύσην τὸν Κύρου τὴν βασιλείαν ὑποσυλήσαντος, συμφορὰν ἐποιοῦντο τὸ γεγενημένον, καὶ αὐτόν τε τὸν Σμέρ-

9. ξυνομότας R. 16. ἡγμένον R. 19. τοῦ Κύρου R.

bri, imperio fuerunt exuti; qui deinceps eo universo, Aegypto excepta, sunt potiti; Arsacide quidem primum defectionis auctore, adeo ut Arsacidae, qui eum sequuti sunt, dicti fuerint. Mithridates vero non multo post ad summam quandam gloriam Parthorum nomen evexit.

26. Annis autem LXX. supra ducentos ab Arsace primo ad Artabanum ultimum regem usque elapsis, cum Romanorum res sub Alexandro Mamaeae filio essent constitutae, sub id tempus Chosrois progenies apud nos regnare coepit; Persarumque gubernatio, quae in hunc usque diem durat, tum temporis initium habuit. Siquidem Artaxares quidam nomine, vir Persa, inglorius quidem primum et obscurus, industrius tamen magnisque rebus gerendis par, aptusque ad quae bene constituta sunt movendum, coniuratorum manu collecta, Artabanum regem adortus obtruncat, et cidari capiti suo imposita, Parthicaque potentia subversa, Persis denuo pristinum imperium recuperavit. Erat autem is magicae disciplinae addictus et arcanis sacris operabatur; unde et magica gens ex eo tempore validior arrogantiorque est facta; quae quidem etiam antea erat, et ab antiquo hanc appellationem retinet, nondum tamen eo honoris et licentiae erat evecta; sed aliqua etiam ex parte e magistratibus contemnebatur, quod quidem aperte liquet. Neque enim qui circa Darium erant Persae, cum olim Smerdis quidam magus post Cambysem Cyri filium regnum arripuisset, bonum factum illud duxerunt, et Smerdem obtruncarunt, multosque alios eiusdem cum eo instituti ac

διν ἀπέκτειναν, καὶ πολλοὺς τῶν ὅσοι ὁμογνώμονες ἐκείνῳ A. C. 554 ἐτύγχανον ὄντες, ὡς οὐκ ἐξὸν τοῖς μάγοις τῷ βασιλείῳ θώκῳ I. I. 28 ἐνωραΐζεσθαι καὶ ἱζάνειν. οὕτω δὲ αὐτοῖς οὐ μιαροὶ ἔδοξαν εἶναι οἱ φόνοι, μᾶλλον μὲν οὖν καὶ μείζονος ἄξιοι μνήμης, B ὥστε ἀμέλει τὴν στάσιν ἐκείνην Μαγοφόνια ἑορτὴν ὀνομασθῆ- V. 47 ναι, καὶ θυσίας ἐπιτελεῖσθαι χαριστηρίους. νῦν δὲ τιμῶσιν αὐτοὺς ἅπαντες καὶ ὑπεράγανται, καὶ τά τε κοινὰ ταῖς τούτων βουλαῖς καὶ προαγορεύσεσι διατάττεται, καὶ ἰδίᾳ ἑκάστῳ τῶν συμβαλλόντων, ἢ δίκην λαγχάνοντι, ἐφίστανται διασκοποῦντες τὰ ποιούμενα, καὶ ἐπικρίνοντες· καὶ οὐδὲν ὁτιοῦν παρὰ Πέρσαις δόξειεν ἂν ἔννομόν τε εἶναι καὶ δίκαιον, ὅγε μὴ ὑπὸ μάγου ἐμπεδωθείη.

ιζ'. Λέγεται δὲ τὴν τοῦ Ἀρταξάρου μητέρα Παβέκῳ τινὶ ξυνῳκηκέναι, παντάπασι μὲν ἀσημοτάτῳ καὶ σκυτοτόμῳ τὴν τέχνην, τῆς δὲ τῶν ἀστέρων πορείας δαημονεστάτῳ, καὶ οἵῳ C ῥᾳδίως τὰ ἐσόμενα διασκοπεῖσθαι· ἄνδρα δὲ στρατιώτην Σάσανον ὄνομα, διὰ τῆς Καδουσαίων, οὕτω ξυνενεχθὲν, πορευόμενον χώρας, ἐπιξενωθῆναί τε τῷ Παβέκῳ, καὶ ἐς τὸ ἐκείνου δωμάτιον καταχθῆναι· τὸν δὲ ὁτῳδηοῦν τρόπῳ, ἅτε, οἶμαι, μάντιν, ἐπιγνόντα ὡς ἡ τοῦ ξένου γονὴ ἀρίστη τε ἔσται καὶ ἀρίδηλος, καὶ ἐπὶ μέγα εὐδαιμονίας χωρήσει, ἀλύειν μὲν καὶ

2. ἐξῆν R. βασιλεῖ Lugd. θώκῳ R., θάκῳ vulg. 8. προαγορεύσεσι R., Intpr. *praedictionibus*, προσαγορεύσεσι vulg. 9. ἢ R., εἰς vulg.

sententiae; quod fas non esset magis regium solium affectare eique insidere; tantumque abfuit, ut piaculares illae caedes ipsis sint visae, ut potius etiam maiore memoria dignas iudicarint, utque seditionem illam festum vocarint μαγοφόνια dictum, hoc est magorum caedes, et sacrificia diis pro gratiarum actione instituerint. Nunc vero magi omnes in summo apud eos sunt honore ac veneratione, publicaque omnia eorum consiliis praedictionibusque administrantur, et unicuique privatim, quae ad dicam causamque suam pertinent, intentanti, praesunt magi, qui cognoscant quid agatur, et arbitrium suum interponant; neque quicquam omnino Persis videtur legitimum esse et aequum, quod non a mago confirmatum stabilitumque fuerit.

27. Fertur etiam Artaxari mater Pabeco cuidam nupsisse, ignobili plane homini, coriario scilicet sive sutori, peritissimo tamen cursus astrorum, quique facile futura prospiceret. Virum autem quendam militarem, nomine Sasanum, per Cadusaeorum regionem forte fortuna iter facientem, apud Pabecum hospitio exceptum et in illius domuncula divertisse; hunc vero quocunque tandem modo (crediderim certe ut vatem), cum praevidisset eum, qui ex hospite illo gigneretur, fore praeclarum maximeque illustrem et ad summum felicitatis fastigium evasurum; doluisse quidem et fortunam suam deplorasse, quod sibi

A. C. 554 I. I. 28 ὀλοφύρεσθαι, ὅτι δὴ αὐτῷ οὔτε θυγάτηρ ὑπῆν, οὔτε ἀδελφή, οὐμενοῦν οὐδὲ ἄλλο τι γύναιον ὡς ἐγγύτατα ξυνημμένον. τέλος D δὲ ξυγκατακλῖναί οἱ τὴν γαμετὴν καὶ τῆς εὐνῆς ἐπιχωρῆσαι, ὑπεριδόντα μάλα γενναίως τοῦ αἴσχους, καὶ τῆς παραυτίκα λώβης τε καὶ ἀτιμίας τὴν μέλλουσαν τύχην ἀνταλλαξάμενον. οὕτω τε φύντα τὸν Ἀρταξάρην, τραφῆναι μὲν ὑπὸ τῷ Παβέκῳ· ἐπεὶ δὲ νεανίας γενόμενος καρτερώτατα τὴν βασιλείαν κατέσχεν, ἔριν εὐθὺς καὶ νεῖκος ἐξαίσιον ἀναφανδὸν Σασάνῳ τε καὶ Παβέκῳ ἀναῤῥαγῆναι. ἑκάτερον γὰρ ἐθέλειν πρὸς αὐτοῦ τὸν παῖδα ἐπονομάζεσθαι. μόλις δὲ ἄμφω ξυμβῆναι, ἐφ' P. 66 ᾧ δῆτα υἱὸν μὲν αὐτὸν Παβέκου καλεῖσθαι, ἐκ σπέρματος δὲ ὅμως Σασάνου τεχθέντα. οὕτω μὲν τὸν Ἀρταξάρην γενεαλογοῦντες οἱ Πέρσαι, ἀληθῆ ταῦτά φασι καθεστάναι, ὡς καὶ ἐν ταῖς βασιλείοις διφθέραις ἀναγεγραμμένα. ἐγὼ δὲ ἁπάντων τῶν ἐφεξῆς ἀπογόνων, ὅσοι δὴ τὴν ἀρχὴν διεδέξαντο, τά τε ὀνόματα ὀλίγῳ ὕστερον φράσω, καὶ πρός γε ὁπόσον ἕκαστος ἐκράτησεν χρόνον· καίτοι ἅπασι τοῖς μέχρι νῦν χρονογράφοις παρεῖται, καὶ οὐ περιπλείστου γεγένηται τὰ τοιαῦτα διερευνήσασθαι. ἀλλὰ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἀπὸ Ῥωμύλου τυχὸν, καὶ ἔτι πρότερον ἀπὸ Αἰνείου τοῦ Ἀγχίσου ἀρχόμενοι, μέχρις Ἀναστασίου τε καὶ Ἰουστίνου τοῦ πρεσβυτέρου B ἀπαριθμοῦνται· τοὺς δὲ παρὰ Πέρσαις (φημὶ δὲ τούτους ἐκείνους, ὁπόσοι δὴ μετὰ τὴν Παρθυαίων κατάλυσιν ἔτυχον βεβασιλευ-

16. ἕκαστος ἐκρ. R., ἐκρ. ἕκ. vulg. 21. πρεσβυτέρου R., πρεσβύτου vulg.

nec filia esset, neque soror; neque ulla alia mulier arcta affinitate coniuncta, tandem vero se toro suo cessisse, hospitemque uxori suae adiunxisse, abiecto strenue pudore; quippe qui dedecus ac ignominiam, quae sibi inde imminebat, cum bona quam exspectabat fortuna esset commutaturus; atque ita natum Artaxarem, educatum quidem a Pabeco; cum vero iam adultiore aetate fortissime regnum obtineret, contentionem statim immanemque rixam aperte inter Sasanum et Pabecum exarsisse; utrumque enim voluisse filium ex se appellari; atque aegre tandem inter eos convenisse, ut filius quidem Pabeci vocaretur, e semine tamen Sasani genitus. Hoc modo Artaxaris genus repetentes Persae, vera haec esse affirmant, ut in regiis membranis conscripta. Ego vero omnium deinceps posterorum, quotquot ei successerunt, paulo post et nomina recensebo, et quamdiu quisque regnaverit: quod quidem ab omnibus, qui in hunc usque diem annales scripserunt, est praetermissum, neque magnae curae eis fuit huiuscemodi res pervestigare; sed Romanorum quidem reges a Romulo fortassis, aut altius adhuc ab Aenea Anchisae filio orsi, ad Anastasium et Iustinum seniorem usque enumerant: Persarum vero reges (eos inquam, qui post Parthorum expulsionem regnarunt,) non item apponentes, tempora non recte distinxerunt;

κότες,) οὐκ ἔτι ὁμοίως ἀντιτιθέντες τοὺς χρόνους διευκρινή- A.C. 554
σαντο, δέον οὕτω ποιεῖν. ἐμοὶ δὲ τὸ ἀκριβὲς καὶ τούτων πέρι I. I. 28
ἀναλέλεκται ἐκ τῶν παρὰ σφίσιν ἐγγεγραμμένων, καὶ οἶμαι τῇ παρούσῃ ξυγγραφῇ μάλα προσήκειν ἁπάντων ἐπιμνησθῆναι· καὶ τοίνυν προϊὼν ἐπιμνήσομαι, ἡνίκα ἂν δεῖν οἰηθείην, εἰ καὶ ὀνομάτων πολλῶν καὶ τούτων βαρβαρικῶν οὕτω δή τι ψιλῶς καταλόγους ποιεῖσθαι δεήσει, καὶ ταῦτα ἐνίων οὐδενότι ἀξιαφήγητον εἰργασμένων· τοσοῦτον δὲ μόνον πρὸς τὸ παρὸν εἴποιμι ἂν τοῦ σαφοῦς γε ἕκατι καὶ ἐς πλεῖστα χρησίμου, ὡς C
ἐννέα τε καὶ δέκα καὶ πρός γε τριακόσιοι ἐνιαυτοὶ τελευτῶσιν ἐς τὸ πέμπτον τε καὶ εἰκοστὸν ἔτος τῆς Χοσρόου τούτου βασιλείας. καθ᾽ ὃν δὴ χρόνον οἵ τε ἐν τῇ Κολχίδι χώρᾳ πόλεμοι διεφέροντο, καὶ τὸν Μερμερόην ἀποβιῶναι ξυνηνέχθη. διήνυστο δὲ ἄρα ἐν τῷ τότε, Ἰουστινιανῷ βασιλεῖ ὀκτώ τε καὶ εἴκοσιν ἔτη Ῥωμαίων κρατοῦντι.

7. ἀξιαφήγηται R. 8. τοσοῦτον R., τοσοῦτο vulg. 10. ἐννέα τε καὶ δέκα R., ἐννεακαίδεκα vulg. — *Pagius* Crit. in Baron. Annales T. II. p. 602. h. l. annum ab instituto regno Persico cum Iustiniani et Chosrois annis non convenire bene intellexit. Sed idem quum Mermerois mortem anno p. Chr. n. 552. assignet, quippe quo anno Procopii Persicarum rerum historia desinat, omnes numeros in loco nostro corruptos esse censet, et 327. pro 319., 22. pro 25. et 26. pro 28. rescribi iubet. Verum ipse Agathias p. 55. B. Persica bella, mox enarranda, κατὰ τοὺς αὐτοὺς χρόνους cum superioribus h. e. cum ingenti terrae motu evenisse profitetur; hunc autem anno Chr. 554. accidisse quum tota temporum ratio evincit, tum ipse Pagius Baronium corrigens p. 615. ostendit. Et hic quidem annus idem ille est, quem Agathias h. l. a Chosrois initio regni proficiscens *vicesimum quintum*, a Iustiniani *vicesimum octavum* esse dicit. Nihil igitur in his mutandum, sed aperte huic anno etiam annus regni Persici accommodandus est, quod facillime fiet, si pro ἐννέα τε καὶ δέκα restituimus: ἐννέα τε καὶ εἴκοσι; nisi forte in hunc errorem ipse Agathias male ducendis rationibus inciderit (adnot. Clas.). 13. τὸν Μερμ. R., τ. μὲν Μερμ. vulg.

cum alioquin ita facere oportuisset. Ego vero accurate, quae de his etiam ab ipsis conscripta sunt, recollegi; et praesenti historiae magnopere conducere arbitror omnium meminisse. In progressu itaque, ubi opus fore iudicavero, id faciam; tametsi multa nomina et quidem barbara leviter tantum recensere oportebit; et quidem nonnullorum, qui nihil memoratu dignum gesserunt. Hoc tantum in praesentia lucis utilitatisque ad plurima causa dicam, undeviginti supra trecentos annos terminari atque desinere in vigesimum quintum annum imperii huius Chosrois; quo ipso tempore et bella in Colchica ditione vigebant, et Mermeroem mortem obire contigit. Iustinianus vero imperator tum temporis vigesimum octavum annum, ex quo Romanis imperarat, peregerat.

A. C. 554 κη'. Ἀλλὰ γὰρ βραχέα ἄττα περὶ Χοσρόου διεξελθὼν,
I. L. 28 αὐτίκα ἔγωγε ἀνὰ τὰ πρότερα καὶ δὴ ἐπανήξω. ὑμνοῦσι γὰρ
αὐτὸν καὶ ἄγανται πέρα τῆς ἀξίας, μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ
D καὶ ἔνιοι τῶν Ῥωμαίων, ὡς λόγων ἐραστὴν, καὶ φιλοσοφίας
V. 48 τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του
ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλληνικῶν ξυγγραμμάτων. καὶ τοίνυν φασὶν, ὅτι δὴ ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου, τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἂν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ πεποίκιλται, καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις, οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας, οὐμενοῦν οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν τε καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος, οἶμαι, ὁ Παρμενίδης. ἐγὼ δὲ οὕτως αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκροτάτης, οὐκ ἂν ποτε οἰηθείην. πῶς μὲν γὰρ οἷόν τε ἦν τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων καὶ ἐλευθέριον, καὶ
P. 67 πρός γε τῇ τῶν πραγμάτων φύσει πρόσφορόν τε καὶ ἐπικαιρότατον, ἀγρίᾳ τινὶ γλώττῃ καὶ ἀμουσοτάτῃ ἀποσωθῆναι; πῶς δὲ ἂν ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγανωμένος, δίαιτάν τε λαχὼν ἐς ὅ, τι βαρβαρικωτάτην καὶ πρὸς

1. διελθὼν R. 8. ὁ ante Παιανιεὺς om. Suid. s. v. Χοσρόης. τὸν Ὀ. R. et Suid., τῶν Ὀ. vulg. 10. γραμματικῇ R. 13. τε add. ex R. οἶμαι om. Suid. 15. μὲν om. idem. 16. καὶ ante ἐλευθ. om. idem. 18. ἀμουσοτάτῃ R., ἀμουσοτάτῳ vulg., ἀμουσότητι Suid. 19. ἂν delet Suid. γεγαννυμένος Suid. l. l. et s. h. ipsa voce. 20. βαρυτάτην Suid.

28. Ceterum ubi paucula quaedam de Chosroe commemoravero, statim ad priora redibo. Depraedicant enim illum atque admirantur supra ipsius meritum non tantum Persae, sed et nonnulli Romanorum, veluti litterarum amatorem, quique ad philosophiae nostrae culmen evaserit, cum ei Graecanica scripta ab interprete quopiam in Persicam linguam essent conversa. Aiunt itaque, quod totum Aristotelem melius ebiberit, quam Demosthenes Thucydidem, quodque Platonicis dogmatibus totus refertus fuerit, adeo ut ne Timaeus quidem eius intelligentiam subterfugerit, tametsi lineari speculatione valde sit argutus et naturae motus investiget; sed neque Phaedo, neque Gorgias, neque alius quisquam ex elegantioribus et difficilioribus ipsius dialogis, qualis, arbitror, est Parmenides. Ego vero eum doctrina praeditum fuisse et quidem summa, nequaquam crediderim. Qui enim fieri poterat, ut puritas illa veterum nominum et nativa gratia, et praeterea rerum ipsarum naturae congruens valdeque accommodata, in agresti quadam et ineptissima lingua conservaretur? Quo vero etiam pacto vir regio fastu a puero multaque assentatione delibutus, et barbarum inprimis vitae genus sectatus et bella semper proeliaque spirans, quo pacto, inquam, qui ita vitam instituit, videatur ali-

πολέμους ἀεὶ καὶ παρατάξεις δρῶσαν, πῶς δὴ οὖν ὧδε βιοὺς [A. C. 554] ἤμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπόνασθαι τοῖς δι- [L. I. 28] δάγμασι καὶ ἐνασκηθῆναι; εἰ μὲν οὖν ἐπαινοίη τις αὐτόν, ὅτι δὴ βασιλεύς γε ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπη ἀπογεύεσθαι λόγων, καὶ τῇ περὶ ταῦτα γάννυσθαι δόξῃ, ξυνεπαινέσαιμι ἂν καὶ ἔγωγε τὸν ἄνδρα, καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. ὅσοι δὲ λίαν αὐτὸν σοφὸν ἀποκαλοῦσι, καὶ μονονουχὶ [B] τοὺς ὅπῃ ποτὲ πεφιλοσοφηκότας ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς ἀρχὰς καὶ αἰτίας διαγιγνώσκειν, ὁποῖον τὸν ἄγαν πεπαιδευμένον οἱ ἐκ τοῦ περιπάτου ὁρίζονται· οἱ δὴ οὖν ταῦτα οἰόμενοι ἐκείνῃ ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ.

κθ'. Ἀνὴρ γάρ τις Σύρος τὸ γένος, Οὐράνιος ὄνομα, κατὰ τὴν βασιλέως πόλιν ἠλᾶτο, τέχνην μὲν ἐπαγγελλόμενος τὴν ἰατρικὴν μετιέναι, τῶν δὲ Ἀριστοτέλους δογμάτων οὐδὲν μὲν ἐς τὸ ἀκριβὲς ἐγίγνωσκεν, ἐκομψεύετο δὲ ὡς πλεῖστα εἰδέναι, βρενθυόμενος τῷ δύσερις εἶναι παρὰ τοὺς ξυλλόγους. [C] πολλάκις γὰρ ἰὼν πρὸ τῆς βασιλείου στοᾶς, καὶ ἐν τοῖς τῶν

2. ἔμελλε Suid. 2. ἀπόνασθαι R. et Suid., ἀπώνασθαι vulg. 4. τε om. Suid. 8. αὐτὸν σοφὸν R. et Suid., σοφ. αὐτ. vulg. 9. ὅπῃ ποτὲ R., ὅποι ποτὲ vulg. ὑπερβαλλόμενον R. et Suid., ὑπερβαλόμενον vulg. καὶ ins. ex R. et Suid. 10. διαγιγνώσκειν R., διαγινώσκειν vulg. 11. ὁποῖον — οἰόμενοι om. Suid. 12. ἐκείνῃ R., ἐκεῖνοι vulg. 15. Οὐράνιος ὄνομα, Σύρος τὸ γένος Suid. s. v. Οὐράνιος. 16. μὲν om. Suid. 17. δὲ om. idem. 19. παρὰ R. et Suid., περὶ vulg.

quid magni ac memorabilis fructus ex hisce disciplinis reportare et in iis exercitatus esse posse? Quod si quis itaque eum idcirco laudaverit, quod rex cum esset et Persa, tantarumque gentium pariter ac rerum cura ei incumberet, nihilominus tamen etiam studia litterarum degustare voluerit et hac gloria se oblectarit: collaudaverim profecto hominem etiam ego, aliisque barbaris praetulerim. Quotquot vero eum eximie doctum vocant et tantum non omnibus, quotquot uspiam philosophiae cultores exstiterunt, antecellentem, perinde ac si omnium artium ac scientiarum principia et causas pernovisset, qualem illum eximie doctum Peripatetici statuunt; qui, inquam, ita sentiunt, quam longissime a vero aberrare deprehendi possint, solam multitudinis famam sequentes.

29. Vir enim quidam, natione Syrus, Uranius nomine, Byzantii oberrabat, artem quidem profitens medicam, ex Aristotelis vero dogmatibus nullum perfecte norat, inani tamen variae doctrinae opinione turgebat, quod contentiosus esset in congressibus. Frequenter

A. C. 554 I. I. 28 βιβλίων ἥμενος πωλητηρίοις, διεπληκτίζετο καὶ ἐμεγαληγόρει πρὸς τοὺς αὐτόθι ἀγειρομένους, καὶ ταῦτα δὴ τὰ εἰθισμένα ῥημάτια τοῦ κρείττονος πέρι ἀνακυκλοῦντας, ὁποῖον δή τι αὐτοῖς ἥ τε φύσις ἐστὶ καὶ ἡ οὐσία, καὶ τὸ παθητὸν καὶ τὸ ἀξύγχυτον καὶ ἄλλα τοιάδε. τούτων μὲν οὖν οἱ πλεῖστοι οὐδὲ ἐς γραμματιστοῦ, οἶμαι, φοιτήσαντες, οὐδὲ μὴν βίῳ ἀρίστῳ ἐκδεδιῃτημένοι, ἔπειτα ῥᾴδιόν τι ἡγοῦνται καὶ προχειρότατον, ὑπερβάθμιον, D τὸ λεγόμενον, πόδα τείνειν, καὶ θεολογίας ἐφάπτεσθαι, πράγματος οὕτω μακαρίου τε καὶ ἀνεφίκτου, καὶ μείζονος ἢ κατ' ἀνθρώπους, καὶ μόνῳ τῷ ἀγνοεῖσθαι θαυμαζομένου. τοιγάρτοι τὰ πολλὰ περὶ δείλην ὀψίαν ἀπὸ κραιπάλης, ὡς τὸ εἰκὸς, καὶ ἀκολασίας ξυναλιζόμενοι, οὕτω δὴ ἐκ τοῦ παρείκοντος ἐκείνων τῶν ὑπερτέρων ἀπάρχονται λόγων καὶ ζητήσεως θεσπεσίας, ἀεί τε περὶ ταὐτὰ στενολεσχοῦντες, οὔτε πείθονται ὑπὸ σφῶν, οὔτε ἄλλως μεταμανθάνουσι τὰ προεγνωσμένα, ὁποῖα ἅττα καὶ τύχοιεν ὄντα. ἔχονται δὲ διαπαντὸς τῶν αὐτῶν οἱ αὐτοὶ, καὶ τελευτῶντες τῆς φιλονεικίας χαλεπαίνουσι κατ' P. 68 ἀλλήλων, καὶ ἀναφανδὸν διαλοιδοροῦνται, φωνὰς ἀσχήμονας ἀφιέντες, ὥσπερ ἐν κύβοις διαμαχόμενοι. οὕτω τε λύεται

3. ἀνακυκλῶν Suid., Intpr. ἀνακαλοῦντας legisse videtur, nam vertit: *his, qui se circumsisterent, postulantibus.* αὐτῷ Par., Intpr. *qualis nam illi natura.* 4. τὸ ante ἀξύγχυτον inser. ex R. et Suid. 5. καὶ ἄλλα τοιάδε om. Suid. Pro τούτων μὲν οὖν idem ὧν. γραμματιστοῦ R. Lugd. Suid., γραμματικοῦ edd. 6. οὐ μὴν Suid. ἐκδεδιῃτημένον R. 9. ἢ om. R. 14. ταῦτα R.

enim ad palatii porticus ventitans, et in librariis tabernis sedens, contendebat verbisque ampullaribus agebat cum iis, qui eo commeare solent, et consueta haecce de Deo vocabula iactare, qualia nimirum sunt natura atque essentia, et passibilitas, ut ita dicam, atque inpermixtibilitas: quorum plerique ne Grammatistarum quidem scholas frequentarant, sed nec satis frugi homines erant: facile interea aliquid atque expeditum esse existimant transsultorio, quod est in proverbio, pede ferri, et de Deo disserere, adeo beata et incomprehensibili re, humanumque intellectum exsuperante, eoque solo, quod ignoretur, admiranda. Quocirca frequenter vespertinis temporibus, cum ex crapula, ut verisimile est, et luxu reversi sua habent conciliabula, prout cuique libitum fuerit, irreverenter de sublimibus hisce rebus divinisque quaestionibus sermones miscent; et semper de iisdem argutantes, nec ipsi aliis quicquam persuadent, neque de concepta semel opinione, qualiscunque tandem ea sit, discedunt, sed eadem semper mordicus retinent et tuentur; finitaque altercatione infensis inter se animis discedunt, et apertis conviciis sese mutuo lacessunt, turpes voces emittentes, instar aleatorum rixantium. Atque ita solvitur ipsis certamen, aegreque discedunt,

αὐτοῖς ὁ ἀγὼν, καὶ μόλις ἀπαλλάττονται, ὀνήσαντες μὲν οὐδ' A. C. 554
ὁποστιοῦν ἢ ὀνηθέντες, ἔχθιστοι δὲ ἀντὶ φίλων γεγενημένοι. L. I. 28
ἐν τούτοις δὲ τὰ πρῶτα λαχὼν ὁ Οὐράνιος, ὥσπερ ὁ παρ'
Ὁμήρῳ Θερσίτης, ἐκολῴα καὶ μακρηγορῶν οὐκ ἀνίει. καίτοι V. 49
οὐδὲν αὐτῷ περὶ θεοῦ βεβαίως ἐδόκει, οὐδὲ ἠπίστατο ὅπως
χρὴ ἐν τούτοις ἀντιφέρεσθαι τὰ εἰκότα· ὅμως νῦν μὲν τῇ
πρώτῃ θέσει τῶν πεύσεων ἐναντιούμενος, νῦν δὲ πρὶν ἀποκρί-
νεσθαι ἀντερωτῶν τὰς αἰτίας τῶν προβλημάτων, οὐ ξυνεχώρει
ἐν κόσμῳ ἰέναι τὸν λόγον, ἀλλὰ διετάραττεν τὸ σαφὲς, καὶ
τὴν εὕρεσιν ἀνεσόβει. ἠβούλετο μὲν γὰρ τὴν ἐφεκτικὴν καλου- B
μένην ζηλοῦν ἐμπειρίαν, κατά τε Πύῤῥωνα καὶ Σέξτον τὰς
ἀποκρίσεις ποιεῖσθαι, καὶ τέλος ἔχειν τὴν ἀταραξίαν τῷ μηδὲν
ὁτιοῦν οἴεσθαι ληπτὸν καθεστάναι· πλὴν ἀλλ' οὐδὲ ταῦτα
ἀποχρώντως ἐμεμαθήκει ἢ ὅσον ἀπομάξασθαι σποράδην καὶ
ἐλάχιστόν τι θηρᾶσαι, καὶ τοὺς οὐδαμῶς παιδείας μετειληχότας
ἐξαπατᾷν δύνασθαι καὶ παράγειν. ὢν δὲ ἄρα ἐν λόγοις ἀμα-
θὴς, ἀλλὰ ἀμαθέστερός γε ὑπῆρχεν τὸν βίον. ἐς γὰρ τὰ δώ-
ματα τῶν εὐδαιμόνων ἰὼν, καὶ σιτούμενος ἀφειδῶς τὰ ποικι-
λώτερα τῶν ἐδωδίμων, θαμά τε ὁμιλῶν τῇ θηρικλείῳ, καὶ
λόγοις χρώμενος ὑπὸ μέθης αἰσχροῖς τε ἄγαν καὶ ἀκολά- C
στοις, γέλωτα ὤφλισκανεν πλεῖστον, ὡς καὶ παίεσθαι τυχὸν

4. μακρηγορῶν et ἀνίει R., μακρηγοροῦν et ἀνήει vulg. 7. ἀποκρίνεσθαι R., ἀποκρίνασθαι vulg. 11. Σέξστον R. 12. τοῖς μηδὲν R. 13. λοιπὸν R. 16. ἄρα R., ἄρ' vulg. 18. ποικιλότερα R.

nullo cum fructu dato vel accepto; acerrimi vero hostes ex amicis facti. Inter hos primas obtinens iste Uranius, perinde atque Homericus ille Thersites, tumultuabatur et verborum nullum faciebat finem; nihil vero solidi de Deo sentiebat, neque sciebat, quomodo oporteret probabilia opponere; nihilominus tamen modo primae thesi interrogationum contradicens, modo vero priusquam responderet, contra interrogans causas quaestionum, non sinebat disceptationem ordine procedere; sed aperta confundens, efficiebat ut rei quaesitae veritas emicare invenirique non posset. Volebat enim ephecticem vocatam disciplinam (qua iudicium de quavis re proposita suspenditur) imitari, et iuxta Pyrrhonem et Sextum Empiricum responsiones facere; finemque consequi vacuitatem perturbationis in animo, existimando nimirum nihil esse, quod percipi intellectuve comprehendi posset. At ne haec quidem perdidicerat, sed tantum degustarat, et exiguam quandam cognitionem consecutus erat, qua eos qui hanc disciplinam nunquam attigerant, fallere ac circumvenire posset. In litteris vero rudis cum esset, in usu vitae multo erat rudior atque inscitior. Lautiorum enim domos frequentans, variisque cibis se ingurgitans, et Thericleum poculum frequenter ori admovens, verbisque utens prae temulentia valde turpibus atque obscoenis, ludibrio habitus est maximo, adeo ut

A. C. 554 ἐπὶ κόῤῥης, καὶ τοῖς ἐκπώμασιν ὥσπερ τινὶ ἑωλοκρασίᾳ τὸ
I. I. 28 πρόσωπον καταῤῥαίνεσθαι, καὶ εἶναι κοινὸν ἄθυρμα τῶν δαιτυμόνων, οὐ μεῖον ἢ οἱ γελωτοποιοὶ καὶ μιμολόγοι. ἀλλὰ γὰρ τοιόσδε ὢν ὁ Οὐράνιος, ἧκέν ποτε παρὰ τοὺς Πέρσας ὑπὸ Ἀρεοβίνδου τοῦ πρεσβευτοῦ ἀπηγμένος. ἅτε δὴ ἀπατεὼν καὶ κόθορνος, καὶ οἷος τὴν οὐκ οὖσαν ἑαυτῷ περιποιεῖν εὐκοσμίαν, αὐτίκα ὅγε στολὴν μὲν ἠμπίσχετο σεμνοτάτην, ὁποίαν παρ' ἡμῖν οἱ τῶν λόγων καθηγηταὶ καὶ διδάσκαλοι ἀμφιέννυνται, οὕτω δὲ, σοβαρῷ δῆθεν καὶ ἐμβριθεῖ τῷ προσώ-
D πῳ, ἐσεφοίτα ὡς τὸν Χοσρόην. ὁ δὲ τῷ παραδόξῳ θεάματι καταπεπληγμένος, καὶ ἱερόν τι εἶναι εἰκάζων τὸ χρῆμα, καὶ φιλόσοφον αὐτὸν ὡς ἀληθῶς ὑποτοπήσας, (οὕτω γὰρ αὐτοῦ καὶ ὠνομάζετο,) ἄσμενός τε εἶδεν καὶ φιλοφρόνως ἐδεξιοῦτο. καὶ εἶτα ξυγκαλεσάμενος τοὺς μάγους, ἐς λόγους αὐτῷ καθίστατο γενέσεώς τε καὶ φύσεως πέρι, καὶ εἰ τόδε τὸ πᾶν ἀτελεύτητον ἔσται, καὶ πότερον μίαν τὴν ἁπάντων ἀρχὴν νομιστέον.

λ'. Τότε δὴ οὖν ὁ Οὐράνιος καίριον μὲν οὐδὲν ὁτιοῦν
P. 69 ἔλεγεν, οὐδέ γε τὴν ἀρχὴν διενοεῖτο· μόνῳ δὲ τῷ θρασύς τε εἶναι καὶ στωμυλώτατος, καθάπου φησὶν ὁ ἐν Γοργίᾳ Σωκράτης „οὐκ εἰδὼς ἐν οὐκ εἰδόσιν" ἐνίκα. οὕτω τε εἷλεν τὸν βασιλέα ὁ βῶμαξ ἐκεῖνος καὶ ἔμπληκτος, ὡς χρημάτων τέ οἱ δω-

5. Ἀρεοβίνδου R. Suid. s. v. Οὐράνιος et Intpr., Ἀρεβίνδου vulg. ἀπηγμένος Suid., Intpr. *ductus*, ἀφιγμένος R. et vulg. 7. μὲν om. R. ἠμπίσχετο R., ἀμπίσχεται vulg. 8. ἄρ' ἡμῖν R. ἀμφιέννυται edd. 10. ὡς om. R. 12. αὐτός που coni. Bon. Vulc. pro αὐτοῦ. 19. στωμυλότατος R.

et colaphis caederetur interdum, et cyathis veluti pridianorum poculorum reliquiis facies ei perfunderetur, et omnibus esset convivatoribus deridiculus, non minus quam moriones, histriones et scurrae. Ac talis quidem cum esset Uranius, ad Persas venit, ab Areobindo quodam legato adductus. Ut impostor et cothurni instar versatilis, quique fictitiam morum concinnitatem prae se ferre norat, honestissimam sibi vestem induit, quali apud nos litterarum professores doctoresque utuntur; et sic, tetrico ac gravi vultu, ad Chosroen ingressus est, qui novitate spectaculi perculsus, et aliquid divinae rei esse imaginatus, et philosophum revera ipsum esse ratus (nam et ita ibi vocitabatur) libens eum benigneque excepit. Convocatis autem magis, sermones cum eo miscuit de generatione et natura, et an hoc universum finis expers futurum esset, et an unum rerum omnium principium sit statuendum.

30. Tum itaque Uranius nihil quidem opportunum dicebat, neque prorsus intelligebat, sola vero praefidentia et inani linguae volubilitate, quemadmodum in Gorgia ait Socrates, nihil sciens inter nihil scientes, vincebat. Ita vero scurra ille stolidus regem cepit, ut et ingenti pecuniae summa eum donarit, et ad communem secum

ῥήσασθαι πλῆθος, καὶ κοινῆς μεταδοῦναι τραπέζης, καὶ ἀπάρ- A. C. 554 ξασθαι φιλοτησίας, οὔπω τοῦτο ἐπ' ἄλλῳ τῳ γεγενημένον, I. I. 28 ἐπόμνυσθαί τε πολλάκις ἦ μὴν οὐπώποτε τοιόνδε ἄνδρα ἑωρακέναι. καίτοι πρότερον ἀρίστους ὡς ἀληθῶς ἐτεθέατο φιλοσόφους, ἐνθένδε ὡς αὐτὸν ἀφικομένους. οὐ πολλῷ γὰρ ἔμπροσθεν Δαμάσκιος ὁ Σύρος καὶ Σιμπλίκιος ὁ Κίλιξ, Εὐλάμιός τε ὁ Φρὺξ, καὶ Πρισκιανὸς ὁ Λυδὸς, Ἑρμείας τε καὶ Διογένης B οἱ ἐκ Φοινίκης, καὶ Ἰσίδωρος ὁ Γαζαῖος, οὗτοι δὴ οὖν ἅπαντες τὸ ἄκρον ἄωτον, κατὰ τὴν ποίησιν, τῶν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ φιλοσοφησάντων, ἐπειδὴ αὐτοὺς ἡ παρὰ Ῥωμαίοις κρατοῦσα ἐπὶ τῷ κρείττονι δόξα οὐκ ἤρεσκεν, ᾤοντό τε τὴν Περσικὴν πολιτείαν πολλῷ εἶναι ἀμείνονα· τούτοις δὴ τοῖς ὑπὸ τῶν πολλῶν περιᾳδομένοις ἀναπεπεισμένοι, ὡς εἴη παρ' ἐκείνοις δικαιότατον μὲν τὸ ἄρχον, καὶ ὁποῖον εἶναι ὁ Πλάτωνος βούλεται λόγος, φιλοσοφίας τε καὶ βασιλείας ἐς ταὐτὸ ξυνελθούσης, σῶφρον δὲ ἐς τὰ μάλιστα καὶ κόσμιον τὸ κατήκοον, C καὶ οὔτε φῶρες χρημάτων, οὔτε ἅρπαγες ἀναφύονται, ἀτὰρ οὐδὲ τὴν ἄλλην μετιόντες ἀδικίαν, ἀλλ' εἶ καί τι τῶν τιμίων κτημάτων ἐν ὁτῳδηοῦν χώρῳ ἐρημοτάτῳ καταλειφθείη, ἀφαιρεῖται ὅστις οὐδεὶς τῶν ἐντυγχανόντων, μένει δὲ οὕτως, εἰ καὶ V. 50 ἀφύλακτον ᾖ, σωζόμενον τῷ λελοιπότι ἔστ' ἂν ἐπανήκοι· τούτοις δὴ οὖν ὡς ἀληθέσιν ἀρθέντες, καὶ πρός γε ἀπειρημένον αὐτοῖς ἐκ τῶν νόμων ἀδεῶς ἐνταῦθα ἐμπολιτεύεσθαι, ὡς τῷ καθε-

3. μὴν R. Lugd. (Cl.), μὲν edd. 6. *Eulamium* omnes vocant. 10. αὐτοῖς R. 20. οὕτως R., οὔτω vulg. 22. οὖν om. R.

mensam admitteret, et patera praelibata ei propinaret, quod nulli antea alteri factitarat; frequenter etiam iuraret se nunquam talem virum vidisse, tametsi antea praestantissimos revera philosophos vidisset, qui hinc ad eum se contulissent. Paulo enim ante Damascius Syrus, et Simplicius Cilix, et Eulamius Phryx, et Priscianus Lydius, Hermiasque et Diogenes Phoenices, et Isidorus Gazaeus, hi inquam omnes, flos ipse atque apex, ut poetice loquar, nostri aevi philosophorum, cum ipsis opinio de Deo, quae apud Romanos vigebat, non satis probaretur, existimabant Persicam disciplinam longe esse praestantiorem, hisce videlicet rebus, quae a multis celebrantur, persuasi: quod apud illos principatus sit iustissimus, et qualem Plato describit, philosophia et regno in unum conspirante; probi vero inprimis et modesti subditi; et neque fures ibi nascuntur, neque praedones, sed nec alias iniustitiae species perpetrantes; adeo ut si quis aliquid ex rebus suis pretiosis loco quantumvis deserto reliquerit, nemo qui in id inciderit, sit sublaturus, manet vero ita, etiamsi incustoditum ait, integrum ei qui reliquit, donec redeat: his itaque rebus ut veris exciti, et praeterea cum ipsis interdictum esset legibus secure hic degere, quippe qui receptis moribus atque institutis sese non accom-

A. C. 554 στῶτι οὐχ ἑπομένοις, οἱ δὲ αὐτίκα ἀπιόντες, ᾤχοντο ἐς ἀλλο-
L. I. 28 δαπὰ καὶ ἄμικτα ἤθη, ὡς ἐκεῖσε τολοιπὸν βιωσόμενοι. πρῶτον μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας μάλα εὑρόντες καὶ πέρα
D τοῦ δέοντος ἐξωγκωμένους, ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ ἑώρων, ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται, οἱ μὲν ἡλίσκοντο, οἱ δὲ καὶ διελάνθανον, ἅπαν δὲ εἶδος ἀδικίας ἡμαρτάνετο. καὶ γὰρ οἱ δυνατοὶ τοὺς ἐλάττονας λυμαίνονται, ὠμότητί τε πολλῇ χρῶνται κατ' ἀλλήλων καὶ ἀπανθρωπίᾳ· καὶ τὸ δὴ πάντων παραλογώτερον· ἐξὸν γὰρ ἑκάστῳ μυρίας ὅσας ἄγεσθαι γαμετὰς, καὶ τοίνυν ἀγομένοις ἀλλὰ μοιχεῖαί γε ὅμως τολμῶνται. τούτων δὴ οὖν ἁπάντων ἕκατι οἱ φιλόσοφοι ἐδυσφόρουν καὶ σφᾶς αὐτοὺς ᾐτιῶντο τῆς μεταστάσεως.

λα'. Ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ διαλεχθέντες ἐψεύσθησαν
P. 70 τῆς ἐλπίδος, ἄνδρα εὑρόντες φιλοσοφεῖν μὲν φρυαττόμενον, οὐδὲν δὲ ὅ, τι καὶ ἐπαΐοντα τῶν αἰπυτέρων, ὅτι τε αὐτοῖς οὐδὲ τῆς δόξης ἐκοινώνει, ἕτερα δὲ ἄττα ἐνόμιζεν ὁποῖα ἤδη μοι εἴρηται, τήν τε τῶν μίξεων κακοδαιμονίαν οὐκ ἐνεγκόντες, ὡς τάχιστα ἐπανῄεσαν. καίτοι ἔστεργέ τε αὐτοὺς ἐκεῖνος καὶ μένειν ἠξίου, οἱ δὲ ἄμεινον εἶναι σφίσιν ἡγοῦντο, ἐπιβάντες μόνον

2. πρῶτα R. 4. ἐξωγκωμένους R. et Lugd., ἐξογκ. edd. αὐτοὺς R. (Cl.), αὐτὸν, superscripto ῶ, Lugd. et in mg. αὐτοὺς, αὐτὸν edd. 5. δὲ add. ex R. 6. ἅπαν δὲ R., ἅπαν τε Lugd., ἅπαντες edd. 7. λυμαίνονται R., ἐλυμαίνοντο vulg. 9. ἔξεστι R. 14. ψεύσθησαν R.

modarent, ad peregrinas nullaque morum similitudine coniunctas gentes sese contulerunt, tanquam ibi deinceps victuri. Primum itaque cum eos, qui in dignitate aliqua vel magistratu constituti erant, valde fastuosos animisque supra modum elatis esse comperissent, detestabantur eos atque improbabant; postea animadverterunt multos parietum perfossores et grassatores ac fures partim deprehendi, partim latere, omnemque iniustitiae speciem vigere. Potentiores enim opprimunt inferiores, multamque inter se crudelitatem atque inhumanitatem exercent; et, quod omnibus est absurdius, cum unicuique permissum sit tot ac velint uxores ducere, et iam duxerint, ab adulteriis tamen non abstinent. His itaque omnibus de causis philosophi summa animi aegritudine affecti se ipsi migrationis suae damnabant.

31. Postquam vero collatis cum ipso etiam rege sermonibus spe sua essent frustrati, hominemque comperissent philosophiae quidem studium iactantem, qui tamen nihil adhuc sublimiorum audierat, sed ne opinione quidem cum ipsis conveniebat, aliis vero nonnullis institutis assueverat, qualia modo recensui; illam quoque promiscui concubitus vaesaniam non ferentes, confestim inde se receperunt. Atqui

τῶν Ῥωμαϊκῶν ὁρίων, αὐτίκα, οὕτω παρασχὸν, καὶ τεθνά- A. C. 554
ναι, ἢ μένοντες παρὰ Πέρσαις τῶν μεγίστων γερῶν μεταλαγ- I. I. 28
χάνειν. οὕτω τε ἅπαντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ. ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος εἰς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. ἐπειδὴ γὰρ B
κατ' ἐκεῖνο τοῦ χρόνου Ῥωμαῖοί τε καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ ξυνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων, τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας εἰς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τολοιπὸν ἐφ' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν, ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους. οὐ γὰρ ἀνῆκεν ὁ Χοσρόης μὴ οὐχὶ καὶ ἐπὶ τῷδε συστῆναι καὶ κρατεῖν τὴν ἐκεχειρίαν. λέγεται δὲ αὐτοῖς κατὰ τὴν ἀποπορείαν θαυμάσιόν τι ἡλίκον καὶ μνήμης ἄξιον ξυνενεχθῆναι. καταλύσαντες γὰρ ἐν ἀγρῷ τινι Περσικῷ, ἐθεά- C
σαντο σῶμα νεκρὸν ἀνθρώπου νεοθανοῦς, οὕτω πως ἄταφον ἐρριμμένον. οἱ δὲ τὴν παρανομίαν τοῦ βαρβαρικοῦ νόμου κατελεήσαντες, καὶ οὐχ ὅσιον εἶναι ἡγούμενοι περιϊδεῖν τὸ μέρος ἀδικουμένην τὴν φύσιν, περιέστειλάν τε τὸ σῶμα ὡς οἷόν τε ἦν διὰ τῶν θεραπόντων, καὶ τῇ γῇ καταχώσαντες ἔθαψαν. ὡς δὲ ἐκάθευδον ἅπαντες ἐκείνης τῆς νυκτὸς, ἔδοξέ τις αὐτῶν,

12. ἐπὶ τῷδε R., ἐπὶ τῷ vulg. 19. Ante τὸ σῶμα R. ins. καί.

ille eos adamabat, utque manerent rogabat; ipsi vero magis ex re sua esse censebant, si vel immissis tantum in Romanorum fines pedibus, statim, si ita usu veniret, morerentur, quam si apud Persas manentes amplissimis honoribus praemiisque afficerentur. Atque ita omnes domum redierunt, barbari regis hospitalitate valere iussa. Fructum tamen ex ea peregrinatione retulerunt in re minime vulgari aut contemnenda; sed unde eis deinceps iucundissime per omnem vitam et ex animi sententia vivere licuit. Cum enim per id tempus Romani et Persae pacem ac foedus inter sese pepigissent, haec etiam in pactis conditio continebatur, quod viri illi ad suas sedes reversi citra ullum metum in posterum ibi degere possent, neque quicquam quam quod probarent sentire aut patriam opinionem mutare cogerentur. Neque enim permittere voluit Chosroes, quin hac etiam in parte pacta constarent rataque essent. Fertur vero in eorum reditu admirandum quid et memoratu dignum eis accidisse. Cum enim in agro quodam Persico conquiescerent, conspicati sunt cadaver hominis recenter mortui neglectim ita inhumatum abiectum. Tum illi barbaricae legis iniquitatem commiserati, et nequaquam aequum esse censentes, si negligerent naturam ex parte iniuria affectam, contexerunt ut potuerunt per ministros cadaver, terraque contumulantes sepelierunt. Nocte vero illa, dormientibus iam omnibus, visus est eorum, nescio

A.C. 554 οὐκ οἶδα δὲ ὅστις, (οὐ γὰρ ἔχω τοὔνομα φράσαι,) ἔδοξε γοῦν
L. I. 28 ὅμως ὁρᾶν κατ' ὄναρ ἄνδρα πρεσβύτην, γνώριμον μὲν οὐδαμῶς,
οὐδ' ὅσον εἰκάσαι, ἄλλως δὲ σεμνὸν καὶ αἰδοῖον, καὶ φιλοσοφίαν ἀσκοῦντι ἐμφερῆ τῷ τε σχήματι τῆς στολῆς καὶ τοῦ πώ-
D γωνος τῷ λίαν ἐκκρεμεῖ καὶ ἀφειμένῳ, ἐμβοᾶν τε αὐτῷ καθάπερ ἐγκελευόμενον καὶ παραινοῦντα τόδε τὸ ἔπος·

Μὴ θάψης τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
Γῆ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα.

ἀφυπνισθεὶς δὲ ἀθρόον ὑπὸ τοῦ δέους, ἀπήγγειλε τοῖς ἄλλοις τὸν ὄνειρον. οἱ δὲ τὸ μὲν παραυτίκα διηπόρουν, ἐς ὅ, τι ἄραιο καὶ ἀποβαίη. ἐπεὶ δὲ εἰς τὸ περίορθρον ἀναστάντες ἐβάδιζον ἀνὰ τὰ πρόσω, παρέρποντες ἐκεῖνο τὸ χωρίον, οὕτω τῆς τῶν
P. 71 τόπων θέσεως ἀναγκαζούσης, οὗ δὴ αὐτοῖς τὰ ἐπὶ τῇ ταφῇ ἐσχεδίαστο, εὑρίσκουσι τὸν νεκρὸν γυμνὸν αὖθις ὕπερθεν κείμενον, ὡς δὴ τῆς γῆς αὐτὸν τρόπῳ τινὶ αὐτομάτῳ ἐς τοὐμφανὲς ἀναβαλούσης, καὶ διαφυλάττειν ἄβρωτα μὴ ἀνα-
V. 51 σχομένης. καταπλαγέντες δὲ τῷ παραλόγῳ τῆς θέας, εἴχοντο τῆς πορείας, μηδὲν ὁτιοῦν τολοιπὸν ἐπ' αὐτῷ δράσαντες τῶν σφίσι νενομισμένων. ἀνελογίζοντο γὰρ τὸν ὄνειρον, καὶ ὡμο-

1. δὲ om. R. 2. κατ' ὄναρ add. ex R., vulg. et Intpr. om. 3. ὅσον R., ὡς vulg., ὅς Lugd. 4. ἀσκοῦντι R. (Cl.), ἀσκοῦντα vulg. 6. ἐγκελευόμενον καὶ παρ. R., παρ. κ. ἐγκελ. vulg. 9. ἀπήγγειλε R., ἀπήγγελλε vulg. 14. ὕπερθεν κείμενον R., ὑπερκείμενον vulg., Intpr. *in agri superficie iacentem.* 16. ἀναβαλούσης edd. ex mg. Lugd., ἀναλαβούσης R. et Lugd.

quis, (neque enim nomen novi,) visus tamen est sibi videre virum senem, minime quidem notum, gravem alioquin et venerandum, et philosophiae studium tam vestis forma quam oblonga promissaque barba prae se ferentem, qui sibi inclamabat, tanquam exhortans ac mandans, hos versus:

Ne tumules inhumatum; at nudum linque cadaver
Dilacerare canes, escamque volucribus esse:
Mater enim Tellus cunctorum haud suscipit illum,
Qui matrem est ausus facto vitiare nefando.

Ille autem confestim prae metu expergefactus, somnium suum aliis renunciavit: atque hi initio quidem dubitabant, quonam somnium esset evasurum. Summo itaque mane cum surrexissent et institutum iter prosequerentur, transeuntes illum campum, situ locorum ita cogente, in quo subitariam sepulturam procurarant, reperiunt cadaver illud denuo nudum super tumulum iacens, perinde ac si terra illum spontanea aliqua ratione in apertum eiecisset, neque eum non discerptum atque absumptum asservare sustinuisset. Miraculo itaque spectaculi perculsi iter suum continuarunt, nullo amplius ex instituto ac more ipsorum officio ei praestito. Somnium enim expende-

λόγουν ἐντεῦθεν ὅτι δὴ οἱ Πέρσαι ποινὴν ἔχουσι καὶ τιμωρίαν A. C. 554
τῆς ἐπὶ ταῖς μητράσιν ἀκολασίας, τὸ ἄταφοι μένειν, καὶ ὑπὸ I. I. 28
τῶν κυνῶν ἐνδίκως διασπαράττεσθαι.

λβ'. Τούτων δὲ τῶν ἀνδρῶν ἐς πεῖραν ἐλθὼν ὁ Χοσρόης,
ὅμως τὸν Οὐράνιον πλέον ἀγάμενος ἦν καὶ ἐπόθει. αἴτιον δὲ B
τούτου ὅπερ, οἶμαι, φύσει τῷ γένει πρόσεστι τῷ ἀνθρωπείῳ. πεφύκαμεν γὰρ ἅπαντες τὰ μὲν καθ' αὑτοὺς καὶ παραπλήσια φίλα ἡγεῖσθαι καὶ κάλλιστα, ἀλεείνειν δὲ καὶ ἐκτρέπεσθαι τὸ ὑπερβάλλον. τοιγάρτοι καὶ ἐνταῦθά οἱ ἐπανελθόντι γράμματά ποτε κεχαρισμένα ἔστελλεν, καὶ διδασκάλῳ ἐχρῆτο. ὁ δὲ οὐκέτι ἐφαίνετο ἀνεκτὸς, βρενθυόμενος τῇ τοῦ βασιλέως φιλίᾳ, ὥς καὶ ἀποκναίειν ἅπαντας ἔν τε τοῖς ξυμποσίοις καὶ ἀνὰ τοὺς συλλόγους,
μηδέν τι ἕτερον ᾄδειν ἐθέλων, ἢ ὅπως αὐτὸν ἐγέραιρεν ὁ Χοσ- C
ρόης, καὶ ὁποῖα ἄττα διελεγέσθην. καὶ πολλῷ σκαιότερος ἐπανῆκεν ἡμῖν ὁ γεννάδας ἢ πάλαι ὑπῆρχεν, ὥσπερ τοῦδε ἕνεκα μόνου τοσαύτην ὁδὸν ἀναμετρήσας. ὅμως, καίτοι φαυλότατός γε ὢν καὶ καταγέλαστος, ἀλλὰ τῷ πολλάκις ὑμνεῖν τὸν βάρβαρον καὶ δι' ἐπαίνου ποιεῖσθαι, αὐτὸς δή που κατὰ τὸ μᾶλλον ἔπεισε τοὺς πολλοὺς ὡς εἴη σφόδρα πεπαιδευμένος. οἱ γὰρ ἀταλαιπώρως ἅπαντα προσιέμενοι, καὶ ἀμφὶ ταῦτα δὴ τὰ ξένα
καὶ παραλογώτερα τῶν ἀκουσμάτων διακεχηνότες, ῥᾳδίως ὑπή- D
γοντο ἐπικομπάζοντί τε αὐτῷ καὶ σεμνολογουμένῳ, μήτε ὅστις

11. ἀνεκτῶς R. 15. γεννάδας R., γενναῖος vulg.

runt, et in eam inde sententiam venerunt, quod Persae hanc poenam et vindictam luant flagitiosi cum matribus suis congressus, inhumati manere et a canibus merito discerpi.

32. Horum autem virorum cum iam periculum fecisset Chosroes, nihilominus tamen Uranium plus et admirabatur et expetebat. Causa vero huius rei naturaliter, uti arbitror, humano generi est insita. Solemus enim omnes, quae ad nos propius accedunt similiaque nobis sunt, amica ducere et optima; refugere autem atque aversari quod maius est et superius. Quocirca et ei huc reverso amicissimas litteras mittebat, et magistro utebatur. Quo factum est, ut iam esset intolerabilis, regis amicitia turgidus atque elatus; omnes passim in conviviis et conventibus vellicans, neque aliam ullam cantilenam canens, quam quo honore ipsum affecisset Chosroes, et quibus de rebus inter se commentati fuissent; multoque ferocior nobis praeclarus ille vir rediit, quam antea fuerat, perinde ac si ea tantum de causa tantum itineris esset emensus. Cum alioquin esset homo vanissimus, planeque ridiculus, tamen eo ipso, quod barbarum regem frequenter celebraret ac depraedicaret, multis plane persuadebat, quod vehementer esset doctus. Qui enim leviter omnia admittunt, et peregrinis ac novis narrationibus avidis auribus inhiant, facile ab ipso magnificis splendidisque verbis eas ornante atque amplificante persua-

A. C. 554 ὃ ἐπαινῶν, μήτε ὅντινα ἐπαινοίη, καὶ ἐφ' ὅτῳ, διασκοποῦντες. I. I. 28 ἐς μὲν γὰρ στρατευμάτων παρασκευὴν καὶ ὅπλων εὐκοσμίαν, καὶ τὸ διαπαντὸς ἐν τοῖς πολέμοις διαπονεῖσθαι, δικαίως ἂν τις θαυμάσειε τὸν Χοσρόην, ὡς οὔτε ὄκνῳ εἴξαντα πώποτε, οὔτε τῇ τοῦ γήρως ἀσθενείᾳ· λόγων δὲ πέρι καὶ φιλοσοφίας τοιοῦτον αὐτὸν ἡγητέον ὁποῖον εἶναι εἰκὸς ἄνδρα ξυνόμιλόν τε καὶ ἀκροατὴν Οὐρανίου ἐκείνου ἀποδεδειγμένον.

1. ἐφ' ὅτε R. 7. ἐκεῖνον (sic) R.

debantur, neque quis esset laudator, neque quem laudaret, neque qua de re, considerantes. Nam quod ad exercituum instructionem et armorum rectam administrationem assiduamque bellorum exercitationem attinet, merito quispiam laudaverit Chosroem, quippe qui neque labori unquam cesserit, neque senectutis imbecillitati: in litteris vero et philosophia talis censendus est, qualem verisimile est esse virum, qui et sodalis et auditor Uranii illius sit declaratus.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ
ΙΣΤΟΡΙΩΝ Γ.

AGATHIAE SCHOLASTICI
HISTORIARUM LIBER III.

ARGUMENTUM.

Agathiae querelae otium a rebus forensibus desiderantis (1). *Nachoragan Persarum dux creatur. Martini et Rustici in Gubazem, Lazorum regem, odium* (2). *Insidiis structis cum eo conveniunt* (3). *Gubazes ab Ioanne, Rustici fratre, occiditur* (4). *Lazorum indignatio. Romani Onoguris obsidionem parant* (5). *Persae fortiter resistunt* (6). *Turpis Romanorum fuga* (7). *Lazorum post caedem regis deliberatio* (8). *Oratio Aeetis, ut ad Persas deficiant, suadentis* (9, 10). *Contra Phartazes ad fidem Romanis servandam hortatur* (11, 12, 13). *Iustinianus Athanasium ad causam cognoscendam in Lazorum terram mittit. Rusticus et Ioannes in vincula coniiciuntur* (14). *Tzathes, Gubazis frater, Lazorum regnum accipit. Soterichus ad dona regia distribuenda in Asiam missus* (15), *a Misimianis oppressus cum liberis suis interficitur* (16). *Quo facto Misimiani ad Persas desciscunt. Dilimnitarum manus a Nachoragane adversus Hunnos Sabiros missa* (17), *ab his nocturno proelio victa conciduntur* (18). *Nachoragan, pacis conditionibus frustra oblatis, ad Phasidem urbem expugnandam se confert* (19). *Romani ex Neso ad eam communiendam et defendendam accurrunt* (20). *Munimenta navalia instruuntur. Pars Romanorum, proelio temere commisso, aegre in oppidum se recipiunt* (22). *Martinus ficto nuntio militum animos confirmat* (23). *Parte copiarum ad speculandum emissa, Nachoragan exercitum adversus oppidum ducit. Iustinus, Deum in propinquo templo adoraturus, inde progreditur* (24). *Revertens Persas oppidum summa vi oppugnantes a tergo adoritur* (25). *Primum sinistrum cornu eorum in fugam vertitur* (26). *Mox universi, turbatis ordinibus, ingenti clade fugantur* (27). *Multi Persarum lixae, qui in manus Romanorum inciderunt, misere pereunt. Nachoragan cum pedestri exercitu hibernatum in Iberiam proficiscitur* (28).

α'. Τὰ μὲν οὖν παρὰ Πέρσαις νόμιμα, καὶ ἡ ποικίλη A. C. 554
τῆς σφῶν πολιτείας μεταβολὴ καὶ, ὁπόσα χρῆναι ᾠήθην περὶ I. I. 28 P. 72
Χοσρόου καὶ τοῦ κατ' αὐτὸν γένους εἰρῆσθαι, ταῦτα δὴ οὖν V. 52

1. Persarum instituta, variaque ipsorum reipublicae immutatio, et quaecunque de Chosroe eiusque genere mihi dicenda visa sunt, ea universa et quidem longiore oratione sum persecutus, et ad praece-

A. C. 554 ἅπαντα, εἰ καὶ μακροτέρῳ ἐξείργασται λόγῳ, καὶ οὐ λίαν ἔχε-
I. I. 28 ται τῶν προτέρων, ἀλλ' οὐ περιττά γε ἴσως δόξειεν ἄν, οὐδὲ
ἄχρηστα, μᾶλλον μὲν οὖν καὶ τὸ θέλγον, ὡς ἐμὲ ἡγεῖσθαι,
ξὺν τῷ ὠφελίμῳ ἀπειληφότα. ἐθέλω γάρ, εἰ ἐπ' ἐμοὶ εἴη, καὶ
περιπλείστου ποιοῦμαι, ταῖς Μούσαις, φασί, τὰς Χάριτας
B καταμιγνύναι. καίτοι ἑτέρωθί με καθέλκουσιν αἱ φροντίδες,
καὶ ἕπομαί γε οὔτι ἑκὼν εἶναι τῇ περιαγούσῃ ἀνάγκῃ. ἡ γάρ
μοι ξυγγραφή, τοῦτο δὴ τὸ μέγιστόν τε καὶ σεμνότατον ἔργον
καὶ πάσης ἀσχολίας ὑπέρτερον, εἴποι ἂν ἡ λύρα ἡ Βοιωτία,
ὁδοῦ τε καὶ βίου πάρεργον γίγνεται, καὶ οὐκ ἔνεστί μοι ὡς
P. 73 ἥδιστα ἐμβιῶσαι τοῖς ποθουμένοις. δέον γὰρ τοὺς πάλαι σο-
φοὺς σχολαίτερον ἀναλέγεσθαι μιμήσεως ἕκατι, ἅπαντά τε τὰ
ἑκασταχοῦ ξυμφερόμενα γνωματεύειν ἐς τὸ ἀκριβὲς καὶ ἀνα-
πυνθάνεσθαι, ἀνειμένον τε ἀμφὶ ταῦτα ἔχειν τὸν νοῦν καὶ
ἐλεύθερον· ἀλλ' ἔγωγε, ἥμενος ἐν τῇ βασιλείῳ στοᾷ, βιβλίδια
πολλὰ δικῶν ἀνάπλεα καὶ πραγμάτων ἐξ ἑωθινοῦ μέχρι καὶ ἐς
ἥλιον καταδύντα ἐκμελετῶ καὶ ἀνελίττω· καὶ λίαν μὲν ἄχθο-
μαι τοῖς ἐνοχλοῦσιν, ἀνιῶμαι δὲ αὖθις εἰ μὴ ἐνοχλοῖεν, ὡς
οὐχ οἷόν τέ μοι ὂν τῶν ἀναγκαίων ἀποχρώντως ἐμπίπλασθαι
ἄνευ πόνου καὶ δυσπαθείας. πλὴν ἀλλ' οὐδ' ὣς ἀνήσω τοὐμόν,
B οὐδὲ ἀποπαύσομαι ἔστ' ἂν ὁ ἔρως με ἄγῃ, εἰ καί μοί τις νε-
μεσήσειεν ὡς ὑπερτέρων ἐφιεμένῳ, καί, τὸ λεγόμενον, ἐν πίθῳ

2. δόξοιεν R. 19. ὂν τῶν R. (Cl.), ὄντων vulg. ἐμπί-πλασθαι R., ἐμπιπλᾶσθαι vulg. 21. ἀποπαύσομαι R., παύσομαι vulg. καὶ μὴ R.

dentia non plane pertinent. Sed neque supervacanea fortasse videri possint neque inutilia, quin potius, meo quidem iudicio, utile dulci coniunctum habentia. Cupio enim, si in me esset, maximique facio, Musis, quod aiunt, Gratias permiscere: in diversum vero me abripiunt curae, sequorque illibenti animo circumagentem me necessitatem. Historiae enim scriptio maximum cum sit augustissimumque opus, omnique occupatione praestantius, accessorium quoddam, ut Boeotia lyra dixerit, viae simul et vitae occupatio efficitur. Neque enim mihi licet in iis quae maxime vellem, suavissime vitam traducere. Nam cum oporteret veterum sapientum scriptis relegendis immorari, imitandi videlicet causa, et quaecunque passim utiliter litteris prodita sunt, accurate expendere et perscrutari, animumque ab aliis curis solutum ac liberum iis impendere: ego vero sedens ad porticum regiam, libellos litibus forensibus et molestiis plenos a mane in vesperum usque tractandis et versandis sum occupatus: et molestae quidem mihi vehementer accidunt forenses istae interpellationes et turbae, molestum vero rursus mihi hisce molestiis carere, cum videlicet absque laboribus et molestiis necessaria mihi nequaquam suppetant. Ceterum ne sic quidem conquiescam, quod ad me attinet, neque de-

φιλεργοῦντι τὴν κεραμείαν. εἰ γάρ τῳ καὶ δόξειεν εἶναι τἀμὰ A. C. 554
νόθα γε ὡς ἀληθῶς καὶ ἀνεμιαῖα, καὶ οἷα ψυχῆς ἐς πλεῖστα L. I. 28
μεριζομένης κυήματα, ἀλλ' ἐμαυτὸν γοῦν ἴσως ἀρέσκοιμι ἄν,
καθάπερ τῶν ᾀδόντων οἱ ἀμουσότατοι. ὡς ἂν δὲ μὴ περαι-
τέρω ἐκδρομὰς ποιούμενος καὶ μεταβάσεις ἐς ἀπειροκαλίαν ἐκ-
φέρεσθαι δόξαιμι, αὖθις δὴ ἔμοιγε τῶν Κολχικῶν ἀγώνων
καὶ τοῦ προτέρου λόγου μεταληπτέα.

β'. Τότε γὰρ ὁ Χοσρόης, ἠγγελμένον αὐτῷ ὡς τεθνη- V. 53
κὼς εἴη ὁ Μερμερόης, περιήλγησεν μέν, ὥσπερ εἰκός, τῇ
ξυμφορᾷ καὶ ἠνιάθη· ὡς ἂν δὲ τὰ ἐν Λαζικῇ στρατεύματα μὴ C
χηρεύοιεν ἡγεμόνος, αὐτίκα ὅγε στρατηγὸν τὸν Ναχοραγὰν
ἀναδείκνυσιν, ἄνδρα τῶν σφόδρα λογίμων τε καὶ ὀνομαστο-
τάτων. καὶ τῷ μὲν τὰ ἐς τὴν πορείαν παρεσκεύαστο καὶ ἤδη
ἐχώρει. ἐν ᾧ δὲ ἦν ἐκεῖνος ἐν τούτοις, παράλογα ἄττα καὶ
ἄθεσμα ἐν τῇ Κολχίδι χώρᾳ ξυνέβη. ἐπειδὴ γὰρ οἱ Ῥωμαῖοι,
ὥσπερ μοι πρότερον ἐῤῥήθη, ἀκλεέστατα ἐτύγχανον πεφευ-
γότες, καὶ τὰ πράγματα τὸ μέρος καταπροέμενοι τοῖς πολε-
μίοις, Γουβάζης ὁ τῶν Λαζῶν βασιλεύς, οὐκ ἀνεκτὸν ἡγού-
μενος τὸ αἶσχος, δεδιὼς δὲ μᾶλλον μή τι καὶ πέρα τούτων
ἁμαρτηθείη, αὐτίκα Ἰουστινιανῷ ἐξήγγειλεν ἕκαστα, καται- D
τιώμενος τοὺς στρατηγούς, καὶ ἅπαν τὸ ξυνενεχθὲν εἰς τὴν

4. ἀμουσότατοι R., ἀμουσότεροι vulg. 6. αὖθις δὲ R. 8. τεθνηκὸς R. et Lugd. 11. Ναχοραγὰν R., Ναχωραγᾶν vulg. 16. ἐῤῥέθη R. 17. Bon. Vulc. coni. τὸ αὐτῶν μέρος. 18. Γουβάζης R. et Lugd., Γουβάσης edd.

sinam quo me amor ducit sequi; etiamsi aliquis me cavilletur et reprehendat, ut maiora meis viribus tentantem, et in orca, quod aiunt, figulinam addiscentem. Tametsi enim scripta mea cuipiam spuria revera et subventanea videbuntur, et quodammodo animi in plurima distracti foetus: mihi tamen ipsi interea, quod imperitis cantoribus usu venire solet, fortasse non displicebunt. At vero ne longioribus digressionibus excursionibusque decorum excedam, ad Colchica certamina et ad priorem sermonen est redeundum.

2. Tum enim Chosroes, cum ipsi Mermerois obitus renuntiatus esset, dolorem, ut par est, ex illius interitu et moerorem concepit. Ne vero copiae militares, quae in Lazico erant, duce carerent, protinus Nachoragan eis praefecit, virum inprimis celebrem, maximique nominis. Qui cum iam apparatis rebus omnibus itineri accinctus esset, mira quaedam et nefaria in Colchica regione acciderunt. Cum enim Romani, ut supra diximus, turpissima fuga arrepta, impedimentorum partem hostibus diripiendam reliquissent, Gubazes, Lazorum per id tempus rex, dedecus illud non ferendum censens, metuens etiam, ne quid gravius in posterum committeretur, confestim Iustiniano singula nuntiavit, praefectos incusans, totiusque facti culpam in eorum vecordiam referens; et

A. C. 554 ἐκείνων ἀνάγων ἀβελτηρίαν, καὶ πλέον ἐπεκάλει τῷ Βέσσᾳ, I. I. 28 καὶ μετ' ἐκεῖνον Μαρτίνῳ καὶ Ῥουστίκῳ. οὗτος δὲ Ῥούστικος ἦν μὲν Ἑλληνογαλάτης τὸ γένος, παρῆν δὲ αὐτόσε οὐχ ὥστε στρατηγὸς ἢ ταξίαρχος ἢ ἄλλο τι εἶναι τῶν παρατάξεων μέρος, ταμίας δὲ μόνον τῶν βασιλέως χρημάτων, οὐ μὴν τῶν ἐκ τῆς δασμοφορίας ἐρανιζομένων, (ἄλλῳ γάρ τῳ ταῦτα ἐπετέτραπτο,) ἀλλὰ τῶν ὅσα ἐκ τῶν βασιλείων θησαυρῶν ἐπεπόμφει, ἐφ' ᾧ τοὺς ἀριστεύοντας ἐν ταῖς μάχαις τὰ προσή- P. 74 κοντα κομίζεσθαι γέρα. ἐντεῦθέν τε οὐκ ἄσημος ἦν ὁ ἀνήρ, ἀλλὰ καὶ λίαν τῶν δυνατωτάτων, ὡς καὶ κοινωνὸς εἶναι τῶν ἀποῤῥήτων, βέβαιά τε τότε δοκεῖν καὶ πιστότερα τὰ παρὰ τῶν ἀρχόντων ἀναγγελλόμενα, ἡνίκα ἂν ἐκεῖνον ἀρέσκῃ. Ἰουστινιανὸς δὲ ἤδη καὶ πρότερον χαλεπαίνων τῷ Βέσσᾳ, ὅτι δὴ Πέτρας ἑλὼν τὸ φρούριον, πρὶν ἀφικέσθαι τὸν Μερμερόην, δέον αὐτὸν τὰς ἐξ Ἰβηρίας εἰσόδους καρτερώτατα διαφράξαι, συλλαμβανούσης αὐτῷ τῆς φύσεως τῶν χωρίων, ταύτῃ τε ἄβατα τοῖς βαρβάροις τὰ Λαζικῆς ὅρια καταστῆσαι, ὁ δὲ τοῦτο μεθῆκεν ὑπὸ ῥᾳστώνης, ἀργυρολογῶν δὲ περιενόστει τὰς πόλεις τὰς ὑπ' αὐτῷ τεταγμένας. ἐκεῖνα δὴ οὖν ὁ βασιλεὺς μεμνη- B μένος, ἐπειδὴ καὶ ταῦτα ἐπέπυστο, αὐτίκα ἐπείθετο· καὶ τοίνυν παραλύσας τὸν Βέσσαν τῆς ἀρχῆς, καὶ πρός γε ἀφελόμενος αὐτὸν τὰ οἰκεῖα, ἐς Ἀβασγοὺς ἐξέπεμψεν, ἐκεῖσε μενοῦντα

6. ἄλλως γάρ τε R. ταῦτα ἐπετέτραπτο R., ἐπετετρ. τ. vulg.
10. κοινὸς R., sed in mg. κοινωνός.

quidem praecipue Bessam incusabat, post hunc Martinum et Rusticum. Erat vero Rusticus genere Graecogallus, ibique non praefectum aut tribunum agebat, neque ullo militari munere fungebatur, sed tantum pecuniae regiae quaestor erat, non quidem eius, quae e tributis vectigalibus cogebatur, (alteri enim cuipiam illa commissa erat,) sed eius, quae e thesauris regiis mittebatur, ut ii, quorum in proeliis virtus et fortitudo emicuisset, meritis praemiis donarentur. Quocirca minime obscurus erat hic vir, sed inter eos quorum auctoritas plurimum valeret, habitus; adeo ut etiam arcana maxime ei communicarentur, principumque mandata tum demum firma fidelioraque viderentur, cum huic placuissent. Iustinianus vero etiam antea Bessae erat infensus; quod Petrae propugnaculo capto, ante Mermerois adventum, cum oportuisset eum omnes ex Iberia aditus fortissime obstruere, iuvante ipsum natura locorum, efficereque ut ea ex parte Lazicos montes barbaris inaccessibiles redderet: ipse vero id prae vecordia neglexerat, urbibus, quae ipsi creditae erant, obeundis, et pecuniae ex iis corrogandae intentus. Illa itaque in animum revocans Imperator, cum et haec de eo adferrentur, facile est persuasus. Quocirca confestim Bessam exautoratum, ac praeterea bonis suis exutum in Abascos relegavit, illic mansurum donec aliud quid de eo statueretur. Martino vero, quantumvis graviter infensus, prae-

ἕως ἂν ἕτερόν τι ἐπ' αὐτῷ διανοηθείη. τῷ δὲ Μαρτίνῳ πολ- A. C. 554
λὰ νεμεσήσας, ὅμως αὐτῷ τὰ πρωτεῖα τῆς ἡγεμονίας παρέ- L. I. 28
σχετο· καὶ ἦν ἐν τοῖς στρατηγοῖς πρώτιστος μὲν αὐτὸς, Ἰουστῖνος δὲ δεύτερος, καὶ Βούζης αὖ μετ' ἐκεῖνον, καὶ ἑξῆς οἱ ἄλλοι ὡς ἕκαστοι. ἀεὶ μὲν οὖν καὶ πρότερον Μαρτίνῳ τε καὶ Ῥουστίκῳ οὐκ ὀρθῶς τὰ ἐς Γουβάζην διέκειτο, ἀλλὰ δυσμένειά τις αὐτοῖς ὑπετύφετο, βαρεῖά τε καὶ δεινοτάτη ὅσῳ καὶ διελάνθανε, λαβοῦσα μὲν τὴν ἀρχὴν ὑπὸ φθό- C
νου καὶ βασκανίας, ἀρθεῖσα δὲ κατὰ τὸ μᾶλλον τῷ συνεχεῖ καὶ ἀλογίστῳ τῆς ὑποψίας. ἅπαν γὰρ ὁτιοῦν ὑπ' αὐτοῦ γιγνόμενον τῷ πεπονθότι τῆς ψυχῆς ἐξετάζοντες, καὶ πάντως ἀχθόμενοι, ὑπέτρεφον τὸ χαλεπαῖνον καὶ ἐπεῤῥώννυον. ἐπεὶ δὲ ἐκεῖνος ὑποτοπήσας τὸ ἔχθος, καὶ τολοιπὸν ἐς τὸ ἀντιλυπεῖν προηγμένος, ἐκακηγόρει γε αὐτοὺς πολλάκις ὡς ἀνάνδρους καὶ ἀλαζόνας, καὶ οὐδὲν ὁτιοῦν μέλον αὐτοῖς τῶν πρακτέων, ἔς τε τὰ ξυμπόσια καὶ τοὺς ξυλλόγους νεμεσῶν ἀεὶ διετέλει, καὶ οὐδὲ πρεσβείας τυχὸν ἀφιγμένης ἐκ τῶν προσοίκων ἐθνῶν ἀνίει καὶ ὑπεστέλλετο· οἱ δὲ ταῦτά τε οὐκ ἐνεγκόντες, καὶ πρός γε τὰς ἐς βασιλέα διαβολὰς ἐν ὀργῇ ποιησάμενοι, καὶ γιγνώσκοντες ὡς οὐκ ἀνήσει διελέγχων εἴ που καὶ αὖθις σφαλεῖεν, D
ἐβουλεύοντο ἐκποδὼν τὸν Γουβάζην ποιήσασθαι, ὡς ἂν τίσαιντό τε αὐτὸν τοῦ φθάσαντος πέρι, καὶ τολοιπὸν οὐδενότι δειμαίνοιεν.

7. αὐτοῖς om. R. 12. ὑπέστρεφον R. ὑπεῤῥώννυον R. 13. ἔχθος R. Lugd. mg. et Par., ἄχθος Lugd. et ed. pr. 14. γε αὐτοὺς R., τε αὐτοὺς vulg. 22. οὐδὲν R.

fecturae tamen primatum reliquit. Nam inter praetores sive principes militiae primum locum obtinebat, secundum vero Iustinus, post quem Buses, atque ita deinceps alii sigillatim. Atqui Martino et Rustico iam antea non bene cum Gubaze convenerat, sed simultas quaedam inter eos subardescebat gravis atrocissimaque, sed quae nondum in apertum incendium eruperat; nata quidem primum ex invidia, ac deinde flabello perpetuae temerariaeque suspicionis suscitata atque adaucta. Omnia enim ipsius facta saucio invidia animo explorantes iisque seipsos torquentes, simultatem fovebant et confirmabant. Gubazes itaque concepta de illorum in se odio suspicione, et ad mutuum odium exercendum provocatus, acribus et contumeliosis verbis eos frequenter perstringebat, tanquam parum viros et manus in lingua gerentes, nullamque rerum gerendarum curam habentes. Atque ita in conviviis conventibusque in sua erga eos indignatione persistebat: sed neque cum a finitimis gentibus legatio forte aliqua venisset, minus acriter in eos invehebatur. Hi vero nequaquam id ferendum rati, et criminationes ad regem delatas ad animum revocantes, atque ita secum statuentes, non desiturum eum ab ipsis criminandis, si qua in re iterum officio suo deessent, consilium de tollendo e medio Gubaze inierunt, ut et acceptam iniuriam vindicarent, omnique in posterum ipsius metu sese liberarent.

A. C 554 γ'. Πολλὰ δὴ οὖν κατὰ σφᾶς κοινολογησάμενοι, καὶ πέ-
I. I. 28 ρας ἐπὶ τῇδε στάντες τῇ γνώμῃ, ἐπειδὴ αὐτὸν οὐ πρότερον
V. 54 διαχειρίσασθαι ᾤοντο χρῆναι πρὶν ἂν καὶ τοῦ βασιλέως ἀποπειραθεῖεν, στέλλουσιν ἐς τὸ Βυζάντιον Ἰωάννην τὸν Ῥουστίκου ἀδελφὸν, ἀγγελοῦντα δῆθεν ὡς μηδίζων ὁ Γουβάζης
P. 75 πεφώραται. καὶ οὖν ἐς λόγους ὁ Ἰωάννης τῷ βασιλεῖ λαθραιότατα ἀφιγμένος, διέβαλλε τὸν Γουβάζην ὡς ἀποστάντα ἤδη, καὶ τοὺς Πέρσας ἐπαγόμενον, καὶ οὐκ ἐς μακρὰν τὴν χώραν ἐπ' ἐκείνους μεταθήσοντα, εἰ μὴ θᾶττον ὁτῳδηοῦν τρόπῳ διακωλυθείη. ὁ δὲ βασιλεὺς καταπλαγεὶς μὲν τῷ παραλόγῳ, οὔπω δὲ τελεώτατα πεπιστευκὼς, ἀλλ' ἐπὶ μέσης τινὸς χωρήσας ἐννοίας, „ἄγε" ἔφη „ὅπως τὸν ἄνδρα παρασκευάσοιτε ὡς ἡμᾶς ἐνθάδε γενέσθαι". δείσας δὲ ὁ Ἰωάννης, μή ποτε, εἴ γε ἐκεῖνος ἀφίκοιτο, τὰ τῆς ἐπιβουλῆς ἀνακαλυφθείη, „εἶεν" ἔφη „ὦ δέσποτα. τί δὲ ἄρα ποιητέον ἡμῖν, εἴ γε ἑκὼν εἶναι παραγενέ-
B σθαι ἥκιστα ἕλοιτο;" „ἀναγκαστέον αὐτὸν" ἦ δὲ ὁ βασιλεὺς „κατήκοον ὄντα, καὶ πάσῃ μηχανῇ ἐκπεμπτέον." εὐθὺς δὴ οὖν ὑπολαβὼν ὁ Ἰωάννης· „ἀναγκαζόμενος δὲ εἴ γε ἀντισταίη, τί ἂν γένοιτο ἐπὶ τούτοις;" „τί δὲ ἄλλο γε" ἔφη ὁ βασιλεὺς „ἢ πείσεται τὰ τῶν τυράννων, καὶ κάκιστα ἀπολεῖται;" „οὐδὲν οὖν ἔσται δέος" ἦ δὲ ὁ Ἰωάννης „τῷ τοῦτον ἀποκτενοῦντι;" „οὐμενοῦν" ἔφη „εἴ γε, ἀντιταττόμενος καὶ ἀνη-

5. μεδίζων edd. 6. τῷ βασ. λαθρ. R., λαθρ. τῷ βασ. vulg. 9. ἐς ἐκείνους R. 17. πάσῃ μηχανῇ R., Intpr. *quavis arte*, πάσῃ φυλακῇ vulg. 21. οὖν add. ex R., Intpr. *ergo*.

3. Variis itaque inter se consiliis agitatis, quorum summa haec fuit, non ante interficiendum quam Imperatoris animum tentassent; Ioannem, Rustici fratrem, Byzantium mittunt, qui Imperatori significaret, Gubazem Persarum partes foventem esse deprehensum. Ioannes itaque quam maxime fieri poterat clam ad Imperatoris colloquium cum pervenisset, criminatus est Gubazen, perinde ac si iam defectionem fecisset, et Persas introducturus esset, brevique provinciam totam eis traditurus, nisi confestim quocunque modo coerceretur. Imperator vero inopinato hoc nuntio perculsus, nondum tamen plenam ei fidem accommodans, sed mediam quandam opinionem tenens, age, inquit, curate ut ad nos huc mittatur. Metuens vero Ioannes, ne quando, si ille eo perveniret, fraus detegeretur, Sit ita, inquit, domine, quid vero faciendum nobis, si id sua sponte facere detrectarit? Cogendus erit, inquit rex, subditus cum sit, et quacunque ratione est ablegandus. Statim itaque sermonem regis excipiens Ioannes, Quid si, inquit, coactus resistat, quid tum fiet? Quid, inquit, aliud, quam quod tyrannis solet, ut pessime pereat. Nil ergo, inquit Ioannes, ei erit metuendum, qui eum interfecerit? Nihil, inquit rex; si resistens et obaudiens ut hostis perierit. Tali

A. C. 554 L. I. 28

κουσῶν, ὡς πολέμιος διαφθαρείη". τοιαῦτα δὲ τοῦ βασιλέως ἀποκριναμένου, καὶ παραπλήσια τούτων ἐν ἐπιστολῇ τοῖς στρατηγοῖς σημήναντος, οὐδὲν ἔτι ὁ Ἰωάννης περαιτέρω ἀνεπυνθάνετο, ἀλλ' ἐπειλῆφθαι ἤδη καὶ ἔχεσθαι τοῦ ζητουμένου ἀποχρώντως ἡγούμενος, ἐπανῆκεν αὖθις ἐς Κόλχους τὸ C γράμμα τοῦτο ἐπιφερόμενος· ὃ δὴ Μαρτῖνός τε καὶ Ῥούστικος ἀναλεξάμενοι, καὶ μάλα εὐπρεπῶς ἐσκευωρῆσθαι τὸ δρᾶμα εὑρόντες, εὐθὺς ἐπὶ τὴν πρᾶξιν ἐχώρουν. συγκαλεσάμενοι δὴ οὖν Ἰουστῖνόν τε καὶ Βούζην καὶ τὸ μελετηθὲν ἀποκρύπτοντες, χρῆναι ἔφασαν τὴν ταχίστην ὡς Γουβάζην ἰέναι, ξὺν αὐτῷ τε βουλεύεσθαι ὅπως τοῖς ἐς Ὀνόγουριν Πέρσαις κοινῇ ἐπελευσόμεθα. οἱ δὲ, τούτοις πεπεισμένοι, ξυνεπορεύοντο. εἵπετο δὲ αὐτοῖς βραχεῖά τις ἐκ τῶν ταγμάτων ἀπόμοιρα· γνοὺς δὲ ὁ Γουβάζης ὡς αὐτίκα μάλα οἱ στρατηγοὶ ἐπ' αὐτὸν ἥξουσι, καὶ οὐδὲν ὁτιοῦν ἀντίξουν ὑποτοπήσας, παραγίνεται ἀμφὶ τὸν Χῶβον τὸν ποταμόν. ἐνταῦθά τε αὐτοῖς ὁ δείλαιος ὑπαντιάζει D ἀφύλακτός τε καὶ θαῤῥαλέος, καὶ λίαν ὀλίγους τῶν ὀπαδῶν ἐπαγόμενος, καὶ τούτους ἀνόπλους καὶ οὐκ ἐς μάχην παρεσκευασμένους. πῶς δὲ οὐκ ἂν οὕτως ἵκετο παρὰ φίλους τε καὶ ξυνήθεις καὶ φύλακας τῆς χώρας καὶ ἥκιστα πολεμίους, μᾶλλον μὲν οὖν καὶ τῶν ὀθνείων ἐχθρῶν ἀλεξητῆρας;

3. σημήναντος R. (Cl.), σημάναντος vulg. οὐδὲν ὅτι R. 4. ἤδη om. R. 7. ἐσκευωρῆσθαι Cl., ἐσκευωρῆσαι R., ἐσκευωρεῖσθαι vulg. 11. ἐν Ὀνόγουρι R. 2. m. Vulg. ubique Ὀνρύγουριν, R. et Intpr. Ὀνόγουριν scribunt. 12. ἐπελευσόμεθα R. (Cl.), ἐπελευσώμεθα vulg. 16. Χῶβος Arriano, *Cobus* Interpreti. τὸν ante ποταμὸν om. R. 19. παρασχευασμένους R. 21. ἐχθρῶν R. et Intpr. *hostibus*, vulg. ἐθνῶν.

Itaque responso accepto, cum in eandem fere sententiam rex ad praefectos militiae scripsisset, nihil ultra est percunctatus; sed abunde petitioni suae satis factum esse censens, confestim ad Colchos revertitur, litteras regias perferens. Quas cum Martinus et Iustinus legissent, cum viderent actum hunc scite instructum, ad audendum facinus sese contulerunt. Convocatis itaque Iustino et Buse, id quod in animo suo agitabant celantes, significarunt ad Gubazem quam citissime esse contendendum et cum eo consultandum, quo pacto Persas Onogurim insidentes collatis viribus adorirentur. Hi vero hisce rationibus persuasi una profecti sunt, exigua quadam e legionibus manu comitati. Gubazes ubi adventare ad se praefectos exercitus cognovit, nihil plane sinistri suspicatus, circa Chobum amnem miser eis obviam procedit, securus plane et nihil metuens, paucis admodum e suis comitatus, atque iis quidem inermibus, neque ad pugnam instructis. Quidni enim ita veniret ad amicos et familiares et custodes provinciae et nequaquam hostes, immo potius etiam exterarum gentium propulsatores?

A. C. 554 I. I. 28 δ'. Οὕτω δὲ ἐπὶ τῶν ἵππων ἥμενοι ἅπαντες, διελέγοντο ἀλλήλοις ὅπως τὰ παρόντα θετέον· καὶ τοίνυν ὁ Ῥούστικος „ἄγε" ἔφη „ὦ Γουβάζη, ὅπως ἡμῖν συνάροιο καὶ συνεπιλήψῃ τοῦ πόνου κατὰ Περσῶν ἰοῦσι, τούτων δὴ τῶν ἐς Ὀνόγουριν ἱδρυμένων. αἰσχρὸν γὰρ εἰ καθεδοῦνται ἀδεῶς ἐπιπλεῖστον ἐν μέσῃ P. 76 τῇ ἡμετέρᾳ χώρᾳ, καὶ ταῦτα ὀλίγιστοι ὄντες καὶ οὐδαμῶς ἀξιόμαχοι". „ἀλλ' ὑμᾶς γε μόνους" ἦ δὲ ὁ Γουβάζης „ἀνάγκη, ὦ γενναῖοι, ἐν τῷδε διαγωνίσασθαι, ὡς καὶ μόνους τῶν ξυνενεχθέντων αἰτιωτάτους. εἰ γὰρ μὴ ῥᾳστώνῃ πολλῇ ἀμφὶ τὰ πρακτέα εἴχεσθε καὶ ὀλιγωρίᾳ, οὔτ' ἂν τὸ φρούριον ἡμῖν τοῦτο ἐπετειχίζετο, οὔτε οὕτως ἀκλεᾶ φυγὴν καὶ ἀσχήμονα ὑποστάντες ἐδραπετεύετε, οὔτε ἄλλο τι ἐγίγνετο τῶν οὐ προσηκόντων. νῦν δὴ οὖν, ὦ λῷστοι, εἴ γε δόξης ἐρασταὶ εἶναί φατε καὶ στρατηγικῷ φρονήματι γάννυσθε, τὸ παρειμένον ὑμῖν ἀνακλητέον. ὡς ἔγωγε οὔ ποτε ἕψομαι, οὐδὲ ξυνδιακινδυνεύσαιμι, πρὶν ἂν ἅπαντα ἐκθεραπευθείη πρὸς ὑμῶν τὰ ἡμαρτη- B μένα". τούτων δὲ εἰρημένων, αὐτίκα, ὥσπερ τῆς ἀντιλογίας ἀποχρώσης πρὸς ἔλεγχον τοῦ μηδισμοῦ καὶ τυραννίδος μεμελετημένης, ὁ Ἰωάννης ἐκεῖνος, ὁ τῶν δεινῶν ἀγγελιαφόρος, V. 55 σπασάμενος ἠρέμα τὸ ἐγχειρίδιον, παίει τὸν Γουβάζην ἀμφὶ τὸ στέρνον, οὔπω καιρίαν. ὁ δὲ, (ἐτύγχανεν γὰρ ἐναλλάγδην ἔχων τὼ πόδε ὑπὲρ τὸν αὐχένα τοῦ ἵππου,) ἀθρόον κατέπεσεν,

5. *μέσῃ* om. R. 10. *παρακτέα* Par. 15. *ξυνδιακινδυνεύσαιμι* R., *διακινδυνεύσαιμι* vulg.

4. Ita vero equis insidentes omnes, disserebant inter sese de praesenti rerum statu componendo. Tum Rusticus, Age, inquit, o Gubaze, coniunge te nostrae in Persas expeditioni, et communem nobiscum laborum partem subi, in illos Onogurim insidentes. Turpe enim fuerit si diutius eos in media nostra regione secure residere patiamur, praecipue cum et paucissimi sint, neque pares qui nobiscum proelio decernant. Tum Gubazes, At vos, inquit, boni viri, solos necesse est in hoc elaborare, penes quos solos eorum quae acciderunt omnis culpa consistit. Nisi enim supina quadam ignavia vecordiaque in rebus gerendis praepediti fuissetis, neque propugnaculum illud muro cinctum esset, neque adeo ignobilem turpemque fugam arripuissetis, neque quicquam eorum, quae haud par erat, factum fuisset. Nunc vero, viri optimi, si vos gloriae cupidos esse dicitis et si animos in pectore praefectis militaribus dignos geritis, intermissio ista officii vobis est resarcienda. Neque enim unquam vos sequar, neque bellum adibo, donec omnia, quae a vobis peccata sunt, correcta fuerint. His dictis confestim, perinde ac si contradictio ipsius evidens satis esset argumentum defectionis ad Persas et tyrannidis affectatae ac praemeditatae, Ioannes ille, qui malorum nuncium attulerat, stricto clam pugione Gubazi pectus ferit, nondum tamen letaliter. Hic vero

οὐ τοσοῦτον, οἶμαι, τῇ πληγῇ τῆς χειρος, σον τῷ ἀπροσδο- A. C. 554
κήτῳ καταβεβλημένος. ἰλυσπώμενον δὲ αὐτὸν ἔτι καὶ ἀναστη- I. I. 28
σείοντα παραστὰς ὁ τοῦ Ῥουστίκου δορυφόρος, προστεταγμένον αὐτῷ, καὶ ξίφει πατάξας τὴν κεφαλὴν, τελεώτατα κατακτείνει. οὕτω μὲν οὖν τὸν Γουβάζην καὶ ἐπὶ τοῖσδε ἀνηρῆσθαί φασιν οἱ τὰ ἀκριβέστατα γιγνώσκειν πεπιστευμέ- C
νοι. Ἰουστῖνος δὲ καὶ Βούζης ἤσχαλλον μὲν καὶ ἐδυσφόρουν, καὶ ξυμφορὰν τὸ πραχθὲν ἐποιοῦντο, ἡσυχίαν δὲ ὁμῶς ἦγον, οἰόμενοι βασιλέα Ἰουστινιανὸν ταῦτα σαφῶς ἐπιστεῖλαι. ὁ δὲ τῶν Λαζῶν ὅμιλος διεταράχθη τε ἅπας, καὶ δυσθυμίᾳ κατείχοντο, ὡς μηδὲ ἀναμίγνυσθαι τολοιπὸν τοῖς Ῥωμαίοις, μήτε ξυνεπιστρατεύειν αἱρεῖσθαι, ἀλλὰ τὸν νεκρὸν ᾗ νενόμισται καταχώσαντες, ἔμενον οὕτω ἀπόμαχοι, ὡς δὴ δεινὰ ὑβρισμένοι καὶ τὴν πάτριον δόξαν ἀποβεβληκότες.

έ. Μέγιστον γὰρ ἔθνος καὶ ἀγέρωχον οἱ Λαζοὶ καὶ μεγίστων ἄλλων κρατοῦσι, τῷ τε παλαιῷ τῶν Κόλχων ὀνόματι
βρενθυόμενοι πέρα τοῦ μετρίου μεγαλαυχοῦσι, καὶ τάχα οὐ D
λίαν ἀλόγως. ἐν γὰρ τοῖς ἔθνεσι τοῖς ὅσα ὑφ' ἑτέραν βασιλείαν τετάχαται, οὐκ οἶδα ἔγωγε ἄλλο οὕτω κλεινόν που φῦλον καὶ εὐδαῖμον, πλούτου τε ὑπερβολῇ καὶ πλήθει κατηκόων,

2. ἐς ἀναστ. R. 1. m. Lugd. et Ed. pr., ἐσαναστ. Par., ἐς del. in R. 2 m. 5. ἐπὶ τοῖσδε R., ἐπὶ τοιούτοις vulg. 12. τὸν νεκρὸν R. Lugd., τὸ νεκρὸν edd. 15. Pro μέγιστον et mox pro πέρα τοῦ lacunae in R. 17. μεγαλαυχ. τε κ. R. 18. ὑφ' ἑτέρων R. 19. φῦλον ante κλεινόν ponit R.

(habebat enim utrumque pedem complicatum super equi cervicem) confestim procidit in terram, non tam, ut arbitror, manus ictu quam inopinato deiectus. Volutantem vero ipsum humi, et adhuc assurgere nitentem, astans Rustici satelles, prout ei mandatum erat, ensemque capiti infligens, plane interficit. Hoc itaque modo Gubazem talibusque de causis interfectum dicunt, qui id optime nosse creduntur. Iustinus vero et Buzes dolebant quidem molesteque ferebant, et atrox facinus esse censebant; quieti tamen manebant, existimantes Iustinianum haec aperte per litteras mandasse. Lazorum vero exercitum universum ingens perturbatio et moeror invasit, adeo ut nec permisceri deinceps cum Romanis, neque cum ipsis militare vellent: sed posteaquam mortuum ex ipsorum more atque instituto tumulassent, secessione facta a bello deinceps abstinuerunt, utpote atroci iniuria affecti, et patria gloria amissa.

5. Maxima enim est et ferox natio Colchorum, maximisque aliis imperant: et veteri Colchorum appellatione gloriantes, supra modum sese ipsos extollunt et iactant, et fortasse non admodum temere. Inter nationes enim, quae sub alieno imperio sunt constitutae, nullam equidem aliam vidi ita celebrem atque felicem tam opum excellentia quam multitudine subditorum, locorum etiam opportunitate,

A. C. 554 I. I. 28 τόπων τε εὐκαιρίᾳ καὶ ἀφθονίᾳ τῶν ἐπιτηδείων, καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ τε καὶ δεξιότητι. καὶ τοίνυν οἱ μὲν πάλαι οἰκήτορες τῶν ἐκ τῆς θαλάττης ἀγαθῶν ἀγνῶτες παντάπασιν P. 77 ἐτύγχανον ὄντες, οἷς γε οὐδὲ ὄνομα νεὼς ἠκούετο, πρίν γε δὴ αὐτοῖς τὴν Ἀργὼ ἐκείνην ἐπιφοιτῆσαι. οἱ δὲ νῦν καὶ ναυτίλλονταί γε, οὕτω παρασχὸν, καὶ τὰ τῆς ἐμπορίας κομίζονται κέρδη. εἰσί τε οὐ βάρβαροι τὸ λοιπὸν, οὐδὲ οὕτω βιοτεύουσιν, ἀλλ' ἐς τὸ πολιτικόν τε καὶ ἔννομον μεταβέβληνται τῇ πρὸς Ῥωμαίους ἐπιμιξίᾳ· ὥστε εἴ τις τοὺς χαλκόποδας ταύρους περιέλοι, καὶ τὰς τῶν γηγενῶν ἀναβλαστήσεις, καὶ ὁπόσα ἄλλα τερατώδη καὶ ἄπιστα τῇ ποιήσει ἀμφὶ τῷ Αἰήτῃ κεκόμψευται, εὕροι γε ἂν τὰ παρόντα πολλῷ τῶν προτέρων ἀμείνονα. τοιοῦτοι δὴ οὖν ὄντες οἱ Λαζοὶ, εἰκότως οὐκ ἀνεκτὰ ἡγοῦντο πεπονθέναι, ὡς δὴ τὸν βασιλέα σφῶν παραλόγως ἀφῃρημένοι. αὐτίκα δὲ οἱ Ῥωμαῖοι, Μαρτίνου ἐξοτρύνοντος, ἠπείγοντο πανσυδὶ ἐπιθέσθαι τοῖς ἐς Ὀνόγουριν Πέρσαις. τήνδε δὲ τὴν ἐπωνυμίαν ἐκ παλαιοῦ ἔλαχεν τὸ χωρίον, Οὔννων ἴσως ἐν τοῖς ἄνω χρόνοις, τῶν δὴ Ὀνογούρων ἐπιλεγομένων, αὐτοῦ που ξυμβαλόντων τοῖς Κόλχοις, καὶ εἶτα νενικημένων, καὶ ὥσπερ μνημείου χάριν καὶ τροπαίου τὴν ἐπίκλησιν ταύτην τῶν ἐπιχωρίων ἐπενεγκόντων. νῦν δὲ οὐχ οὕτω παρὰ τοῖς πολλοῖς ὀνομάζεται, ἀλλ' ἐπειδὴ Στεφάνου τοῦ θεσπεσίου ἱερὸν ἐνταῦθα ἵδρυται, ὃν δὴ πρῶτον πάλαι φασὶν ὑπὲρ τῶν Χρι-

2. πάλαι om. R. 7. οὕτως R. 12. προτέραν edd. 13. οὖν add. ex R. 19. ξυμβαλλόντων R. 21. περὶ τοῖς R.

abundantiaque rerum necessariarum, et morum elegantia ac dexteritate. Ac veteres quidem habitatores bonorum, quae adfert mare, prorsus erant ignari, quippe quibus ne nomen quidem navis erat auditum, donec eo Argo illa appulisset. Huius vero temporis Colchi et navigant, cum ita usu venit, et ex mercatura quaestum faciunt: suntque de reliquo nequaquam barbari, neque ita vivunt, sed ad civile ac legale vivendi genus ex consuetudine cum Romanis sunt traducti: adeo ut si quis aeripedes tauros hominumque e terra pullulantium segetem aliaque portentosa et incredibilia, quae scite de Aeeta finguntur a poetis, demat, praesentia veteribus longe meliora comperiat. Tales itaque cum essent Lazi, merito se intolerabili iniuria affectos censebant, utpote rege suo atrociter privati. Statim vero Romani, incitante Martino, omnibus viribus adoriri parabant Persas Onogurim insidentes. Accepit vero iam inde ab antiquo hic locus eam appellationem, quod cum Hunni fortasse, Onoguri vocati, superioribus temporibus illo ipso in loco cum Colchis proelio decertassent victique fuissent, veluti monumenti et trophaei causa id nomen ei ab indigenis inditum fuerit; nunc vero temporis non ita a plerisque appellatur; sed cum ibi templum esset sacrum divino illi Stephano, quem qui-

στιανοῖς ἄριστα δοκούντων ἐθελοντὴν διακινδυνεύσαντα ὑπὸ A.C.554
τῶν ἐναντίων καταλευσθῆναι, τῷ ἐκείνου ὀνόματι καλεῖσθαι I.L.28
τὸν τόπον νενόμισται. ἡμᾶς δὲ οὐδὲν, οἶμαι, τὸ κωλύον, ἐς γνώ-
ρισμα τῇ ἀρχαιοτάτῃ χρῆσθαι προσηγορίᾳ, ἐπεὶ καὶ ξυγγρα- C
φῇ μᾶλλον προσήκει. ὁ δὴ οὖν τῶν Ῥωμαίων στρατὸς ἐς
Ὀνόγουριν ἰέναι παρεσκευάζοντο. οἱ γὰρ τοῦ μιάσματος βου-
ληφόροι ἐς τοῦτο ἐνέκειντο, ἐλπίζοντες ῥᾳδίως τοῦτο δὴ τὸ
φρούριον καταστρέψασθαι· ταύτῃ τε τὸν βασιλέα, εἰ καὶ τὰ
τοῦ δόλου γνοίη, μὴ λίαν αὐτοῖς χαλεπῆναι, ἀλλὰ τῇ τελευ-
ταίᾳ πράξει ἐν καιρῷ γιγνομένῃ, τὸ ἐπίκλημα διαλῦσαι. ἅπαν-
τες τοιγαροῦν οἵ τε στρατηγοὶ καὶ αἱ δυνάμεις ἐν τῷ Ἀρχαιο-
πόλεως πεδίῳ στρατοπεδευσάμενοι, τούς τε καλουμένους σπα-
λίωνας ἐπεσκεύαζον, καὶ τὰ τῶν μεγάλων λίθων ἀκοντιστή- D
ρια, καὶ ἄλλα ἄττα τοιάδε ὄργανα, ὡς, εἰ δεήσοι, τειχομα- V.56
χήσοντες. ἔστι δὲ ὁ σπαλίων πλέγμα ἐκ λύγων ἐς ὀροφῆς τύ-
πον ἐξειργασμένον, στεγανόν τε τῇ πυκνώσει καὶ ἀμφηρεφὲς,
τῷ ἑκατέρωθεν τὰ πλευρὰ ἐς τὰ κάτω παρατετάσθαι καὶ πε-
ριβάλλειν τὸ ὑπερχόμενον. δέῤῥεις δὲ ὕπερθεν καὶ διφθέρας
ἐπιβάλλοντες πάντοθεν, περικαλύπτουσι τὸ μηχάνημα, τοῦ
μᾶλλον ἔρυμα εἶναι καὶ ἀποκρούειν τὰ βέλη. ἄνδρες δὲ ἔνδον
ἐν τῷ ἀσφαλεῖ ὑποκρυπτόμενοι, αἴρουσί γε αὐτὸ ἀφανῶς, καὶ

4. τῇ ἀρχαιότητι R. 6. ξυνεσκευάζετο R. 12. σπαλίωνας R. et Suid. s. v., σπαλιῶνας vulg. 14. τειχομαχήσαντες R. 17. παραβάλλειν Suid. 21. αἴρουσί τε Suid. Pro ἀφανῶς Suid. φανερῶς.

dem primum olim aiunt pro Christianis optime sentientibus voluntarium certamen adeuntem, lapidibus ab adversariis obrutum fuisse, statutum est ut ex illius nomine locus appellationem acciperet. Nos vero nihil, arbitror, vetat, quo minus vetustissima appellatione notitiae causa utamur, cum etiam historiae magis conveniat. Romanorum itaque exercitus expeditionem Onogurim versus apparabat; caedis enim auctores hoc urgebant, sperantes facile se propugnaculum hoc in potestatem suam redacturos; eoque Imperatorem, etiam intellecta fraude, non magnopere ipsis infensum fore, sed postremi huius facti opportunitate facile omnem criminationem abs sese remoturos. Omnes itaque et praefecti et copiae, castris in Archaeopolis campo positis, testudines ita dictas apparabant et machinas iaciendis ingentibus saxis aliaque id genus instrumenta, tanquam, si opus, murum oppugnaturi. Est autem testudo textum quoddam e viminibus ad tecti instar confectum, impenetrabile quidem prae densitate et circumquaque obtectum, ut utrinque lateribus deorsum porrectis subeuntes circumdet: pellibus vero desuper et coriis omni ex parte iniectis machinam obtegunt, ut munitior sit telaque repellat. Viri autem intus in tuto delitescentes eam clanculum attollunt, et quo volunt transferunt; ubi vero turri vel muro admota fuerit, tum qui in ea

A. C. 554 ἢ βούλονται διακομίζουσιν. ἐπειδὰν δὲ προσενεχθείη πύργῳ
I. L. 28 τυχὸν ἢ περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι τὴν προσκειμένην
P. 78 γῆν ἀνορύττοντες καὶ τὸν χοῦν ἀνιμώμενοι, ἀπογυμνοῦσι τὰ θεμέλια, καὶ εἶτα μοχλοῖς τε καὶ σφύραις ἐνδελεχέστατα πλήττοντες, κατασείουσιν τὴν οἰκοδομίαν. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι τὰ ἐς πολιορκίαν παρεσκευάζοντο.

ς'. Ἐν τούτῳ δὲ ἁλίσκεταί τις Πέρσης ἀνὴρ ὑπὸ τῶν Ἰουστίνου δορυφόρων ἀνὰ τὸ φρούριον πορευόμενος. ἐπεὶ δὲ ἐς τὸ στρατόπεδον ἐκεκόμιστο, ἠναγκάζετο μαστιγούμενος ξὺν ἀληθείᾳ ἐρεῖν τὰ τῶν οἰκείων βουλεύματα. καὶ δῆτα ἀπήγ-
B γελλεν, ὡς ὁ μὲν Ναχοραγὰν ἐς Ἰβηρίαν ἤδη ἀφῖκται· αὐτὸν δὲ ἀπεσταλκὼς εἴη τὰ ἐνταῦθα στρατεύματα ἐπιθαρσυνοῦντα, ὡς αὐτίκα μάλα τοῦ στρατηγοῦ παρεσομένου. „οἱ δὲ ἐς Μουχείρισίν τε καὶ Κοταΐσιν τεταγμένοι Πέρσαι οὐκ ἐς μακρὰν ἥξουσιν" ἔφη „προσβοηθήσοντες τοῖς ἐς Ὀνόγουριν ὁμοφύλοις, ἐγνωσμένον αὐτοῖς ὡς ἐπ' ἐκείνους ἰέναι διανοεῖσθε." τούτων δὲ εἰρημένων, αὐτίκα οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐβουλεύοντο ἀμφὶ τῶν παρόντων. καὶ Βούζης μὲν ἔφασκεν χρῆναι πρότερον παντὶ τῷ στρατῷ ὑπαντιάζειν τοῖς ἐπερχομένοις. τούτων γάρ, ὡς τὸ εἰκός, διὰ τὴν ὀλιγότητα νικωμένων, ἑπόμενον εἶναι
C τοὺς ἐν τῷ φρουρίῳ τάχιστα προσχωρήσειν, ἐρήμους γεγενημένους· εἰ δέ γε καὶ ἀντισταῖεν, ἀλλ' οὐδενὶ πόνῳ διαφθαρῆναι. ἤρεσκε δὲ ταῦτα καὶ Οὐλίγαγγον, τὸν τοῦ Ἐρουλικοῦ

10. δῆτα R. Lugd. (Cl.), δὴ τὰ edd. 14. Κοταΐσιν R. Lugd., Κοταίσιον edd. 20. νικώμενον et ἑπομένων Sph. Par.

sunt, adiacentem terram suffodiunt, humoque egesta fundamenta nudant, eaque vectibus et malleis assidue ferientes, structuram succutiunt et labefactant. In hunc itaque modum Romani se ad obsidionem comparabant.

6. Dum haec aguntur, vir quidam Persa ad propugnaculum obambulans a Iustini satellitibus capitur; is in castra delatus, flagris caesus cogitur suorum consilia ex veritate prodere; atque haec quidem indicavit: Nachoragam videlicet iam in Iberiam pervenisse; se autem ab illo missum, ut copias, quae hic essent, animaret, tanquam praefecto propediem adfuturo: qui vero, inquiebat, Muchirisim et Cotaïsim insident Persae, brevi et ipsi sunt venturi, popularibus suis suppetias allaturi; quippe qui iam certiores facti sunt de vestra in eos expeditione. His ita dictis, confestim Romanorum praefecti deliberationem de rebus praesentibus instituerunt; ac Buzes quidem censuit cum universo exercitu adventanti hosti obviam eundum; hisce enim, uti verisimile, ob paucitatem victis, consentaneum esse eos, qui in propugnaculo essent, quamprimum sese dedituros, utpote subsidio destitutos; quod si vero restitissent, nullo negotio subverti posse. Placuit id consilii etiam Uligango Herulici exercitus duci: unde ille

στρατεύματος ἡγεμόνα. τοιγάρτοι ἐκεῖνος θαμὰ ἐπεφθέγγετο A. C. 554
παροιμιῶδές τι, βαρβαρικὸν μὲν καὶ ἀφελὲς, ἐνεργὸν δὲ ὅμως I. I. 28
καὶ χρήσιμον· ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. ὁ δὲ Ῥούστικος, (θρασύτερος γὰρ ἤδη ἐγεγόνει καὶ τυραννικώτερος, ὥσπερ, οἶμαι, τῷ ἀδικήματι φρυαττόμενος καὶ τῇ πρὸς Μαρτῖνον ὁμοφροσύνῃ,) ἔσκωπτέ γε τὸν Βούζην ἀναφανδὸν καὶ ἐπεκερτόμει, ὡς οὔ πώποτε τὰ δέοντα λογιζόμενον. κράτιστον δὲ ἔλεγεν εἶναι D
περιττῷ μὲν πόνῳ τὸ στράτευμα ἥκιστα ἐπιτρίβειν, ἅπαντας δὲ τῷ φρουρίῳ πελάσαντας, ῥᾳδίως γε αὐτὸ καταστρέψασθαι, καὶ προτερῆσαι τὴν ἔξωθεν ἐπικουρίαν· ὀλίγους δὲ, εἴ γε ἄρα, στέλλειν ἐπ' ἐκείνους, τὸ τάχος τῆς ἐφόδου διακωλύσοντας. καὶ ἦν μὲν πολλῷ ἀμείνονα τὰ τῷ Βούζῃ βεβουλευμένα, καὶ τῆς φύσεως ἐχόμενα τῶν πραγμάτων, στρατηγίᾳ τε ἀρίστῃ πρέποντα, καὶ τὸ δραστήριον ξὺν τῷ ἀσφαλεῖ παρεχόμενα. ἐπεὶ δὲ, ὡς ἔοικεν, ἅπασα ἡ πληθὺς τοῦ ἄγους μετειλήφει τῷ ξυνεῖναί τε καὶ ἕπεσθαι τοῖς μιαιφόνοις, ἡ κακίων τε καὶ ἀξύμφορος νενίκηκεν γνώμη, ὡς ἂν παραχρῆμα ὑπόσχοιεν δίκας. στέλλονται μὲν γὰρ ἐπ' ἐκείνους τοὺς ἐκ Μουχειρίσιδος P. 79

2. ἀφελὲς Suid. s. h. v. et s. v. σχολαίτερον et Lugd. in mg., R. Lugd. et Ed. pr. ἀσφαλὲς, Intpr. *parvi momenti*. 4. αἱρεῖσθαι Suid. s. v. σχολαίτερον. 5. τυραννικώτερος R. et Intpr. *violentior*, τυραννικώτατος vulg. μοι R. pro οἶμαι. 7. ἐκερτόμει R. 11. εἴ γε om. R., Bon. Vulc. coni. εἶγε ἄρα δοκείη (sic), I. Scaliger: ὀλίγους ἔδει γε ἄρα. 12. τάχους R. διακωλύσοντας R. (Cl.), διακωλύσαντας vulg. 16. Pro ἐπεὶ δὲ R. ἐπειδή. 17. καὶ οὐκ ἀξύμφορος R. in mg.

frequenter proverbiale quoddam dictum, barbaricum quidem illud et leve, efficax tamen atque utile, in ore habebat: arcendas primum esse apes, et deinde mel commodius legendum. Rusticus vero (confidentior enim iam violentiorque erat factus, scelere suo, ut opinor, et unanimi conspiratione cum Martino animos ipsi addente,) Buzen apertis scommatibus et contumeliis verborum petebat, veluti nunquam quae ex re essent perpendentem; consultissimum autem esse dicebat, exercitum quidem supervacaneo labore nequaquam affligere, sed copiis omnibus propugnaculo admotis id ipsum facile in potestatem redigere, et auxilium adventans praevertere; paucos vero, si ita videretur, in illos mittere, qui eos, quo minus celeriter in se impetum faciant, morentur. Et certe Buzae consilium longe erat melius et rerum naturae accommodatum, optimaeque belligerandi arti consentaneum, strenuitatem cum securitate coniunctam habens. Ceterum cum, uti verisimile est, universa multitudo sceleris perpetrati particeps esset facta, quod sanguinariis illis se adiunxisset eosque sequuta esset; deterius quodque minus ex re communi erat consilium vicit, ut scilicet quamprimum poenas luerent. Mittuntur enim in illos, qui ex Mu-

A.C. 554 ἐρχομένους ἄνδρες ἱππόται οὐ πλείους ἢ ἑξακόσιοι. ἡγοῦντο
L.I. 28 δὲ αὐτῶν Δαβράγεζάς τε καὶ Οὐσίγαρδος, ἄμφω μὲν βαρβάρω τὸ γένος, Ῥωμαϊκῶν δὲ ταγμάτων προεστηκότε. οἱ δὲ ἄλλοι ἅπαντες ἅμα τοῖς στρατηγοῖς τῷ φρουρίῳ προσβαλόντες, εὐθὺς ἔργου εἴχοντο. τάς τε γὰρ μηχανὰς ἐκίνουν καὶ τῶν πυλῶν ἀπεπειρῶντο, καὶ ἀμφικυκλώσαντες τῷ πλήθει τὸν περίβολον, πάντοθεν ἐσηκόντιζον. οἱ δὲ Πέρσαι, ἀλλὰ γὰρ καὶ οὗτοι ἀνὰ τὰς ἐπάλξεις διαθέοντες, ὡς οἷόν τε ἦν, ἐκ τῶν παρόντων ἠμύνοντο, βέλη τε ἀφιέντες συχνὰ καὶ τὰ ἔ-
V. 87 κτοθεν φυλαττόμενοι. ὀθόνας γάρ τινας καὶ ἁπλοΐδας ἐκ τοῦ μετεώρου κρεμάσαντες, ταύτῃ τὰς βολὰς ἀσθενεστέρας ἀπετέ-
B λουν, ἐν τοῖσδε πρότερον περιειργομένας· σπουδῇ τε πολλῇ καὶ προθυμίᾳ κατ' ἀλλήλων διεμάχοντο. καὶ εἴκασεν ἄν τις παρατάξει μᾶλλον ἢ πολιορκίᾳ τὸ χρῆμα. τοσαύτη ἄρα ἦν ἑκατέρωθεν ἡ ταραχὴ καὶ ἡ τῶν ἔργων ἐπίδειξις· τῶν μὲν ὑπὲρ τῆς σφῶν σωτηρίας ἀγωνιζομένων, ὡς οὐ μετρίου περιστάντος κινδύνου, τοῖς δὲ καὶ μάλα αἰσχρὸν εἶναι δοκοῦν, ἅπαξ ἐπελθοῦσιν ἀπράκτοις ἐπανιέναι, καὶ μὴ οὐχὶ παραστήσασθαι τὸ ἐπιτείχισμα, καὶ ἀπαλλάξαι τὴν Ἀρχαιόπολιν γειτονήματος πολεμίου.

ζ. Οἱ δὲ ἄλλοι Πέρσαι ἐς τρισχιλίους ἱππότας μαχί-
C μους ξυντεταγμένοι, ἄραντες ἔκ τε Κοταϊσίου καὶ Μουχειρίσι-

7. οἱ δὲ Πέρσαι R., οἱ Πέρσαι δὲ vulg. γὰρ ins. ex R.
11. ἀσθενεστέρους R. 17. ἀπελθοῦσιν R.

chiriside adventabant, viri equites non plures sexcentis; horum ductores erant Dabragezas et Usigardus, ambo quidem natione barbari, Romanorum tamen cohortium duces. Reliqui vero omnes una cum praefectis propugnaculum adorti, statim opus aggressi sunt, machinisque admotis portas tentarunt, copiis muro circumfusis omni ex parte in hostem iaculabantur. Persae autem et ipsi per pinnas discurrentes, omnibus viribus eos, prout res postulabat, propulsabant, partim sagittis assidue Romanos petentes, partim exteriorem murum tuentes. Lintea enim quaedam stragulaque e sublimi suspendentes, ea ratione telorum ictus infringebant, quippe quae hisce prius inflicta intricabantur. Magno itaque studio summaque alacritate utrinque pugnabatur, adeo ut proelium potius res ea, quam obsidio videri posset; tantus erat utrinque animorum ardor et militarium facinorum ostentatio; hisce quidem pro salute sua decertantibus, utpote non mediocri discrimine eos circumstante; his vero etiam turpe admodum esse censentibus, si, cum semel eos adorti essent, infecta re recederent, neque propugnaculum illud caperent, et Archaeopolim hostili vicinia liberarent.

7. Alii vero Persae ad tria bellicosorum equitum millia ex Cotaesio et Muchisiride Onogurim versus moverunt; in quos negligen-

δος, ἐχώρουν ἐπὶ τὴν Ὀνόγουριν. πορευομένοις δὲ αὐτοῖς A. C. 554
ἐκμελέστερον, καὶ οὐδενότι πολέμιον διανοουμένοις, ἐσπί- I. I. 28
πτουσιν ἀθρόον οἱ ἀμφὶ τὸν Δαβράγεζαν καὶ Οὐσίγαρδον, καὶ τῷ αἰφνιδίῳ γε αὐτοὺς καταπλήξαντες, εὐθὺς ἐς φυγὴν ἔτρεψαν. τούτου δὲ ἀπηγγελμένου τοῖς πολιορκοῦσι Ῥωμαίοις, αὐτίκα οἵ γε θαῤῥαλεώτερον ἐπιφερόμενοι, τά τε παραπετάσματα ἐκεῖνα καθεῖλκον, καὶ ξὺν ἀκοσμίᾳ πολλαχοῦ τοῦ τείχους διεσκεδάννυντο, ὡς ῥᾳδίως τολοιπὸν τὰ τῇδε ἅπαντα διαρπασόμενοι, ἅτε δὴ τῶν ἔξωθεν δυσμενῶν πεφευγότων, καὶ οὐδενὸς ἔτι ἐνοχλήσοντος. ἀλλ' ἐκεῖνοι τάχιστα καταμαθόντες, ὡς οὐχ ἅπας αὐτοῖς ὁ τῶν Ῥωμαίων ἐπῆλθεν στρατὸς, ᾗπερ τὴν ἀρ- D
χὴν ᾠήθησαν, ὀλίγοι δὲ σφόδρα καὶ ὅσοι κατάσκοποι μᾶλλον ἢ πολεμισταὶ ἀξιόχρεοι νομισθῆναι, ἐπιστρέφουσιν ἐξαπιναίως ἐπ' αὐτοὺς ἀλαλάζοντες. οἱ δὲ τὴν μεταβολὴν οὐκ ἐνεγκόντες, ἐς παλίωξιν μετεχώρουν, καὶ πολλῇ ἔφευγον ξὺν ταχυτῆτι, εἵποντο δὲ αὐτοῖς ὡς πλησιαίτατα καὶ οἱ Πέρσαι διώκοντες, ὥστε ἀμέλει ξυνενεχθῆναι, τῶν μὲν ἑλεῖν, τῶν δὲ ἀποδιδράσκειν ἐπειγομένων, ἄμφω, τούς τε φεύγοντας ἅμα καὶ τοὺς ἐς τὴν δίωξιν ἐγκειμένους, παρὰ τὰ ἄλλα τῶν Ῥωμαίων στρατεύματα μιγάδην ἱκέσθαι. θορύβου δὲ πολλοῦ, ὡς τὸ εἰκὸς, ἀναστάντος, ἅπαν δὴ τὸ πλῆθος, περιφρονήσαντες τὴν πολιορ- P. 80
κίαν καὶ τὴν ὅσον οὔπω ἐλπισθεῖσαν ἔσεσθαι πόρθησιν τοῦ φρουρίου, καὶ δὴ ξὺν τοῖς στρατηγοῖς ἀπιόντες ᾤχοντο, οὔτε

2. ἐπίπτουσιν et 8. διαπαρσόμενοι Sph. Par. 15. Pro παλίωξιν lacuna in R., quam 2. m. in mg. perperam explevit: ἐς Ὀνόγουριν. ἐπεχώρουν R. 18. τούς τε φεύγ. ἅμα R., ἅμα τοὺς τε φεύγ. vulg. 22. ὅσον R., ὅσῳ vulg.

tius incautiusque procedentes nihilque hostile verentes, repente Dabragezas et Usigardus cum suis copiis irruunt; et repentina illa impressione perculsos statim in fugam vertunt. Quod ubi Romanis obsidentibus est nuntiatum, confestim ferociore in propugnaculum impetu facto, vela illa, quibus murus obductus erat, detraxerunt, et citra ullum ordinem compluribus in locis per muros diffusi erant, tanquam facile deinceps omnia direpturi, utpote hostibus qui foris erant fugatis, et nemine ipsos ultra infestaturo. At illi cum citissime cognovissent, non universum Romanorum exercitum in ipsos impetum fecisse, sed paucos admodum, quique speculatores potius, quam iusti bellatores censeri possent, subito ingenti clamore edito in eos convertuntur; qui cum illam inversionem ferre non possent, fugatis terga vertentes, concitatissimam ipsimet fugam arripuerunt: urgebant vero eos Persae quam proxime iusectantes, adeo ut fere acciderit, ut, dum hi capere, hi effugere nituntur, utrique simul tam ii qui fugiebant, quam qui fugabant tergisque imminebant, ad reliquas Romanorum copias mixtim pervenerint. Tumultu vero ingenti, uti par est, excitato,

A. C. 554 διαγνῶναι ἀναμείναντες ὅ, τι ποτέ ἐστι τὸ γεγενημένον, ἢ ὁπό-
I. I. 28 σοι ὄντες αὐτοὶ, εἶτα ὑφ' ὅσων ἐλαύνονται. ἀλλ' ᾔεσαν οὕτω δρομαῖοι καὶ διεταράττοντο, καθάπερ πανικοῦ δείματος ἐμπεσόντος. οἱ δὲ Πέρσαι κατὰ τὸ μᾶλλον θαρσήσαντες, πλέον ἐδίωκον. ἐπεὶ καὶ οἱ ἐν τῷ φρουρίῳ (ἐθεῶντο γὰρ τὰ ποιούμενα,) ἐκβάντες ἀθρόον ἀνεμίγνυντο τοῖς ἄλλοις, ὁμόσε τε τὸ λοιπὸν ἐπισπόμενοι, λαμπροτέραν τὴν φυγὴν τῶν ἐναντίων εἰργάσαντο. καὶ ὅσον μὲν ἱππικὸν τῶν Ῥωμαίων, ῥᾳδίως ἐκεῖ-
B νοι ἔξω βελῶν ἀπεκομίσθησαν, ὠκύτατα διαθέοντες· τοῦ δὲ πεζοῦ ὁμίλου πολλοὶ ἀπεκτείνοντο πιεζόμενοι τῇ γεφύρᾳ τοῦ Καθαροῦ λεγομένου ποταμοῦ, δι' ἧς ἔδει πάντως πορεύεσθαι. ἐνταῦθα γὰρ διὰ τὴν στενότητα πολλοὶ ἅμα περαιοῦσθαι οὐχ οἷοί τε ὄντες, ὠθίζοντο ἀλλήλους καὶ ἀντώθουν. καὶ οἱ μὲν αὐτῶν ἐς τὰ τοῦ ποταμοῦ ἐξέπιπτον ῥεῖθρα, οἱ δὲ ἀνελιττόμενοι ἐς τὰ ὀπίσω καὶ ὑπονοστοῦντες, ὑπὸ τὰς τῶν πολεμίων ἐγίγνοντο χεῖρας. καὶ ἦν ἁπανταχοῦ κάκιστα κακίστοις ἀνακεκραμένα. ἴσως δὲ ἂν ἅπαντες ἐν τῷ τότε πανωλεθρίᾳ διεφθάρησαν, εἰ μὴ Βούζης ὁ στρατηγὸς, βοώντων γε αὐτῶν καὶ ὀλοφυρομένων, ξυνεὶς τὸ μέγεθος τοῦ κινδύνου, ἐπιστρέψας
C ἅμα τῇ οἰκείᾳ δυνάμει, καὶ ἀντιταξάμενος τοῖς βαρβάροις, ἀνέκοψεν ἠρέμα τὴν δίωξιν, ἕως ἐκεῖνοι τὴν γέφυραν διαβάν-

2. Pro οὕτω R. τοῦτο. 7. ἐπισπόμενοι R. et Lugd. corr., ἐπισπώμενοι edd. 11. *Cithari fluminis* Intpr. 17. ἐν τῷ τότε R. πανολεθρίᾳ R. 20. καὶ om. R.

neglecta obsidione quaeque iamiam futura sperabatur propugnaculi expugnatione, una cum ipsis praefectis aufugerunt; ne tantula quidem mora facta, dum resciscerent quid ageretur, aut quis fugientium, quis fugantium esset numerus; sed ita praecipiti turbulentoque cursu ferebantur, perinde ac si eos panicus pavor invasisset. Persae vero eo ipso multo audentiores facti, acrius insequebantur. Praesidiarii enim, qui in propugnaculo erant (spectabant enim quae agebantur) repente erumpentes reliquis Persis se coniunxerant, simulque deinceps Romanos insequentes, manifestiorem eorum fugam fecerunt; atque equitatus quidem Romanorum universus facile concitatissimo cursu extra telorum iactum est delatus; ex peditatu vero multi caesi sunt, ponte fluminis Cathari dicti eos retardante, per quem omnino eis transeundum erat. Illic enim cum ob angustiam multi simul eum transmittere nequirent, trudebant sese mutuo, contraque trudebantur: et nonnulli quidem eorum in amnem proruebant, nonnulli retrorsum pulsi et qua venerant redeuntes, in hostium manus incidebant; eratque omni ex parte pessima pessimis mixta; fortassis autem universi tum temporis ad internecionem periissent, nisi Buzes praefectus, clamoribus eiulationibusque ipsorum exauditis cognitaque periculi magnitudine, conversus cum suis copiis et barbaris se opponens,

τες, ἐν τῷ ἀσφαλεῖ μόλις ἐγένοντο, ἧπερ καὶ οἱ ἄλλοι ἅπαν- A. C. 554
τες. ἐν μὲν γὰρ τῷ προτέρῳ στρατοπέδῳ, ὃ δὴ ἀγχοῦ Ἀρ- I. I. 28
χαιοπόλεως ἐπεποίηντο, οὐδεὶς ὅστις αὐτῶν ἐπανῆκε. παρα- V. 58
δραμόντες δὲ τοῦτο ὑπὸ τοῦ δέους, καὶ ἅπαντα ὁπόσα ἐπήγοντο ἐδώδιμά τε καὶ ἄλλως ἀναγκαῖα καὶ τίμια ἐνταῦθα καταλελοιπότες, καὶ ἐν τοῖς ἐνδοτέρω χωρίοις ἀποσεσωσμένοι, οὐ μόνον εὐκλεᾶ καὶ ἀγέρωχον, μᾶλλον μὲν οὖν καὶ κερδαλέαν τὴν νίκην τοῖς πολεμίοις παρέσχοντο.

η'. Οὗτοι γὰρ ἀνδρῶν ἔρημα τὰ ἐκείνῃ πεδία εὑρόντες, διέλυσάν τε τὸ χαράκωμα, καὶ ἅπαντα τὰ ἐντὸς ληϊσάμενοι, D
οὕτω δὴ γεγηθότες ἐπανῆλθον εἰς τὰ οἰκεῖα, καὶ τῆς προτέρας αὖθις χώρας ἐκράτουν. καίτοι πῶς οὐ λίαν ἀρίδηλον, ὡς θεῖόν τι μήνιμα τοῦ ἀνοσίου αἵματος ἕκατι τὰ Ῥωμαίων ἔσφηλε πλήθη, οἵ γε ἐβουλεύσαντό τε τὰ χείριστα, καὶ ὄντες οὐ μεῖον ἢ πέντε μαχίμων ἀνδρῶν μυριάδες, ὑπὸ τρισχιλίων Περσῶν ἀγεννῶς οὕτω πεφεύγασι, πλείστους ὅσους ἀποβεβληκότες; πλὴν ἀλλ' αὐτοί γε οἱ τῆς μιαιφονίας ἐργάται οὐκ ἐς μακρὰν τὴν τελεωτάτην ἀνέπλησαν δίκην, ὡς προϊόντες ἀφηγησόμεθα. τότε δὲ χειμῶνος ἐπιλαβομένου, ἀνὰ τὰ πολίσματά τε καὶ φρούρια ἅπας ὁ στρατὸς ἐσκεδάννυτο, ἧπερ ἑκάστῳ δια- P. 81
χειμάζειν ἐτέτακτο. ἐν τούτῳ δὲ τὰ τῶν Κόλχων πράγματα

3. ἐπεποίηντο R. et Intpr. *metati fuerant*, ἐπεποίητο vulg. αὐτῶν R. (Cl.), αὐτοῖς vulg. 6. καὶ ἐν τοῖς om. R. 11. δή τι γεγ. R. 12. χώρας αὖθις R. 13. τοῦ ἄνω ῥεύματος R. 15. ἀνδρείων R. pro ἀνδρῶν.

sensim insectationem intercidisset, donec illi pontem transgressi aegre tandem in tuto, ubi et reliqui omnes, constitissent. Nam ex anterioribus castris, quae prope Archaeopolim posita erant, nemo plane ipsis rediit, sed praetercurrentes ea prae metu, omnique commeatu et aliis rebus necessariis maiorisque pretii ibi relictis, et ad interiora loca fuga evadentes, non solum illustrem ac gloriosam, verum etiam quaestuosam hostibus victoriam praebuerunt.

8. Hi enim cum illic campos hominibus vacuos invenissent, soluto dirutoque vallo, omnia quae in eo erant depraedati, laeti ad sua redierunt, prioraque iterum loca occuparunt. Atqui quo pacto non cuivis valde perspicuum fuerit, divinam quandam iram iniustae caedis causa Romanorum copias circumvenisse, cum pessima consilia sequutae fuerint, et quinquaginta non minus virorum bellatorum millia a tribus Persarum millibus adeo turpiter fugata, quam plurimis desideratis? Porro ipsi etiam caedis auctores non multo post extremam poenam luerunt, ut in progressu narrabimus. Tum vero ingruente hieme per oppida et propugnacula universus exercitus est distributus, prout cuique ad hibernandum locus est designatus. Interea Colchorum res dubiae admodum turbataeque erant, cum et universi pri-

A. C. 554 I. I. 28 ἀμφίβολά γε ἦν ἐς τὰ μάλιστα καὶ τεταραγμένα. τοιγάρτοι καὶ ἅπαντες οἱ ἐν τέλει διηπόρουν, τίνες ἂν γένοιντο καὶ ὅποι τραπεῖεν. καὶ οὖν ὑπό τινα φάραγγα τοῦ Καυκάσου ἀγείραντες ἐν ἀποῤῥήτῳ τὸ πλεῖστον τοῦ ἔθνους, ὡς ἂν μὴ ἔκπυστα εἴη τοῖς Ῥωμαίοις τὰ μελετώμενα, βουλὴν προὐτίθεντο, πότερον ἐπὶ Πέρσας μεταχωρητέον, ἢ μενετέα ἔτι παρὰ Ῥωμαίοις. αὐτίκα δὲ πολλοὶ ἀπεῤῥίπτοντο λόγοι, οἱ μὲν ἐπὶ τάδε, οἱ δὲ ἐπὶ θάτερα προκαλούμενοι. ἦν δὲ ἄκριτος ἡ βοὴ καὶ ταραχώδης, μήτε τοῦ λέγοντος ὅστις εἴη, μήτε ὅ, τι ποτὲ λέγοι, διαB γιγνωσκομένου σαφῶς. τότε δὴ οὖν οἱ δυνατώτατοι σιγὴν μὲν τοῖς πλήθεσιν ἔχειν παρεκελεύοντο, παριέναι δὲ τὸν βουλόμενον ἐν κόσμῳ καὶ τὸ πρακτέον διεξιέναι ὅστις ἂν οἷός τε ᾖ. ἀνὴρ δέ τις τῶν λογιμωτάτων, Αἰήτης ὄνομα, ἐδυσφόρει μᾶλλόν τι ἁπάντων καὶ ἐχαλέπαινεν ἐπὶ τῷ ξυνενεχθέντι, ὢν μὲν καὶ ἄλλως μισορώμαιος, καὶ τὰ Περσῶν ἀεὶ προσιέμενος. τότε δὲ καὶ πλέον τῷ εὐπροσώπῳ τῆς αἰτίας ἀποχρώμενος, ἐξαίρειν ἐπειρᾶτο πέρα τοῦ προσήκοντος τὸ γεγενημένον· καὶ οὐδὲ βουλῆς ἔφασκεν δεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλ' εὐθὺς ἐς τελεώτατον μηδισμὸν καταστῆναι. τῶν δὲ ἄλλων μὴ χρῆναι
C λεγόντων οὕτω δή τι ἐξαπίνης τὸν βίον ὅλον μετασκευάσασθαι, πρὶν δὴ σχολαίτερον σφίσι βουλευομένοις τὸ λῷον ἀναφανείη,

4. εἴη R., ἔοι vulg. 9. λέγει R. διαγιγν. σαφῶς R., σαφ. διαγ. vulg. 13. ὄνομα R., τοὔνομα vulg. 15. μισοῤῥώμαιος vulg. 20. βίον ὅλον R., ὅλον βίον vulg. μετασκευάσασθαι R., μετασκευάσθαι Lugd. et ed. pr., μετεσκευάσθαι Par.

cipes inter eos viri haererent animi, quid agerent quove se verterent. Cum itaque ad quandam Caucasi montis convallem maximam gentis suae partem clam convocassent, ne inaudiri a Romanis quae tractabantur possent, proposuerunt ad deliberandum, utrum ad Persas transeundum esset, an vero apud Romanos adhuc manendum. Statim vero multi spargebantur sermones, aliis hoc, aliis illud urgentibus. Confusaneus vero et turbulentus clamor excitabatur, adeo ut neque quis diceret, neque quid diceret, aperte discerni posset. Tum principes indicto multitudini silentio, iubent ut qui quid facto opus videretur composite proponere vellet, accederet, quicunque tandem is vel qualiscunque esset. Vir autem quidam spectabilis, Aeetes nomine, qui prae aliis omnibus factum hoc moleste indigneque ferebat, et alioqui Romani nominis osor Persicisque rebus semper studens, tunc et quidem magis specioso causae praetextu abutens factum ipsum supra quam par erat exaggerare nitebatur; asserens res praesentes deliberatione non egere, sed confestim apertissime ad Persas transeundum esse. Aliis vero contra dicentibus, non oportere ita repente totam vitam immutare, priusquam lentiore deliberatione habita, quod maxime e re foret compertum exploratumque esset; tum ille ira concitatus cum

ὁ δὲ ἀναστὰς σὺν ὀργῇ, καὶ προπηδήσας ἐς μέσους, ἐδημηγό- A. C. 554 ρει καθάπερ ἐν δημοκρατικῷ βουλευτηρίῳ. ἦν γὰρ καὶ λέγειν I. L 28 δεινὸς πλέον ἢ κατὰ βαρβάρους, καὶ οἷος τοῖς νοήμασι ῥητορεύειν φύσεως δεξιότητι. καὶ τοίνυν ἔλεξε τοιάδε·

θ'. „Εἰ μὲν ἐν λόγοις ἡμᾶς καὶ βουλαῖς ἠδίκουν Ῥωμαῖοι, καλῶς ἂν καὶ ἡμεῖς τοῖς ὁμοίοις αὐτοὺς ἀμυνόμενοι διετελοῦμεν· νῦν δὲ πῶς ἀνεκτὸν, τοὺς μὲν ἤδη τὰ πάντων δεινότατα δεδρακέναι, ἡμῖν δὲ τὸν τοῦ ἀντιδρᾶσαι καιρὸν εἰς τὸ μέλλειν D καὶ βουλεύεσθαι διαῤῥυῆναι; οὐ γὰρ δὴ πάρεστι λέγειν ὡς πολέμιοι μὲν οὔπω τοῖς ἔργοις ὄντες πεφώρανται, εἰκασθεῖεν δὲ ἂν μόνον μελετῶσι τοῦτο καὶ βουλομένοις, οὐδὲ τεκμηρίων τινῶν ἐπιμνησθῆναι δεήσει πρὸς ἔλεγχον δῆθεν ἐπιβουλῆς λανθανούσης. ἀλλὰ Γουβάζης μὲν, ὁ τηλικοῦτος, οὕτω πως ἀθλίως ἠφάνισται ὥσπερ τις τῶν πολλῶν καὶ ἠμελημένων. οἴχεται δὲ φροῦδον τὸ παλαιὸν τῶν Κόλχων ἀξίωμα, καὶ τολοιπὸν οὐ τοῦ ἄρχειν ἑτέρων ἀνθεκτέον ἡμῖν, ἀλλ' ἀγαπητέον εἴπερ ἐξῇ τῶν πρώην ὑπηκόων μὴ σφόδρα μειονεκτεῖσθαι. πῶς οὖν οὐ λίαν παράλογον, εἰ περὶ τῶν οἷς ταῦτα κατείργασται καθε- P. 82 δούμεθα διασκοποῦντες, πότερον αὐτοὺς ἐχθίστους ἢ φίλους εἶναι κρινοῦμεν; καίτοι γιγνώσκειν χρεὼν, ὡς οὐδὲ μέχρι V. 59

1. προσπηδήσας R. 5. ἡμᾶς R. et Intpr., ὑμᾶς vulg. 6. αὐτοὺς add. ex R. et Intpr. *in eos.* 13. ὁ τηλικοῦτος R., ὁ τηλίκος vulg. 16. ἀγαπητὸν R. 18. καθεδούμεθα R. (Cl.), καθεδουμένων vulg. et Lugd., in quo m. 2. correxit: καθεδούμενοι, Intpr. *si sedendo consultemus.*

assurrexisset et in medios prosiliisset, concionem habuit veluti in senatu populari. Erat enim eloquentior, quam solent esse barbari, quique sententiis ipsis oratorem agere poterat, naturae dexteritate adiutus. In hunc itaque modum verba fecit:

9. „Si verbis nos aut consiliis laesissent Romani, recte profecto etiam nos similibus rebus iniuriam vindicaremus. Nunc vero quonam pacto hoc sit tolerandum, illos quidem atrocissimis malis nos affecisse, nobis vero compensandae iniuriae occasionem cunctando et deliberando effluere? Neque enim dici potest, quod nondum quidem hostes rebus ipsis factisque sint deprehensi, sed tantum verisimile sit, eos hoc molitos esse atque in animo habuisse; neque necesse est, argumenta quaedam commemorare ad latentes scilicet et tectas ipsorum insidias probandas; sed Gubazes quidem vir tantus adeo misere e medio sublatus est veluti aliquis e multis et neglectioribus. Evanuit iam vetus illa Colchorum dignitas, neque deinceps nobis danda est opera, ut aliis imperemus, sed eo contenti simus, si liceat ab iis, qui olim nobis subditi fuerunt, non pessime tractari. Quo pacto vero non sit valde absurdum, si de iis, qui haec perpetrarunt, sedeamus deliberantes, utrum eos inimicissimos, an vero amicos declaremus? Atqui ita statuamus oportet, non intra hosce terminos eorum audaciam substituram, sed nobis crimen hoc negligen-

A. C. 554 I. L. 28 τούτων αὐτοῖς τὸ θράσος ἐστήξει· ἀλλὰ, καὶ μεθιέντων ἡμῶν τὸ ἐπίκλημα οἴδε οὐκ ἀφέξονται, καὶ ἠρεμοῦντας ἀδεέστερον λυμανοῦνται. εἰσὶ γὰρ ἀμέλει θαῤῥαλεώτεροι πρὸς τοὺς ὑπείκοντας, καὶ ὑπερφρονεῖν εἰθισμένοι τὸ θεραπεῦον. ἔχουσι δὲ καὶ βασιλέα πανουργότατον, καὶ ταῖς μεταβολαῖς τῶν ἀεὶ παρόντων ἡδόμενον· ὅθεν δὴ καὶ τὰ τῆς μιαιφονίας ἀθρόον διήνυσται, τοῦ μὲν ἐμβριθῶς ἐγκελευσαμένου, τῶν δὲ προθύμως ὑπηρετησάντων. καὶ πεπορθήμεθα μονονουχὶ πρὸς αὐτῶν, οὔτε B ἀδικήματος ἄρξαντες, οὔτε τινὸς ἔχθους συμβάντος, ἀλλ' ὁποίας πρότερον εἴχοντο συνηθείας, τῆς αὐτῆς ἔχεσθαι δοκοῦντες, πεπράγασιν ὅμως τὰ πάντων ἀνοσιώτατα, ὥσπερ αὐθωρὸν ἀναπλησθέντες ὠμότητος καὶ μανίας καὶ μίσους καὶ πάντων ὁμοῦ τῶν τοιῶνδε. ἀλλ' οὐ τὰ Περσῶν ἤθη τοιάδε, πολλοῦ γε καὶ δεῖ. φίλους τε γὰρ οὓς ἂν ἐξαρχῆς κτήσαιντο βεβαιότατα στέργειν πειρῶνται, καὶ τὴν ὀργὴν πρὸς τὸ ἀντίπαλον διατηροῦσιν ἔστ' ἂν ἀντίπαλον ᾖ. ἠβουλόμην μὲν οὖν τῇ Κολχικῇ πολιτείᾳ τὴν παλαιὰν δύναμιν προσγενέσθαι, ὡς μηδαμῶς αὐτὴν ξένης τινὸς καὶ ἐπήλυδος ἐπικουρίας προσ-C δεῖσθαι, ἀλλ' εἶναι τοῖς πᾶσιν ἔς τε πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ἐπεὶ δὲ, εἴτε χρόνου διαφορᾷ, εἴτε τύχης ἐναντιώμασιν, εἴτε καὶ ἀμφοτέροις, ἐκβιασθέντες, εἰς τοῦτο ἥκο-

2. ἠρεμοῦντες R. 3. θαῤῥαλεώτεροι R., θαῤῥαλεώτατοι vulg. 15. πρὸς τὸ ἀντίπαλον R., ἐς τὸ ἀντ. vulg. 16. ἂν R., om. vulg. ἦν pro ᾖ R. 19. καὶ om. R. 20. διαφορᾷ R., Intpr. *temporum varietate*, παραφορᾷ vulg.

tibus illos non destituros, sed quietos nos minore cum metu maioribus malis affecturos. Sunt enim ut plurimum ferocissimi in subditos, et clientes suos despectui habere consueverunt. Habent vero etiam regem versutissimum quique praesentium semper rerum mutatione delectatur; unde et factum est, ut haec caedes confestim fuerit perpetrata, ipso quidem acriter incitante, his vero prompte ministrantibus. Et devastati tantum non ab ipsis sumus, cum nulla eos iniuria provocaverimus, neque ulla simultas cum eis intercesserit; sed eadem qua antehac nobiscum consuetudine utentes, atrocissima iniquissimaque in nos commiserunt, tanquam repente unoque temporis momento crudelitate, insania, odio, omnibusque aliis id genus malis repleti. At Persarum non istiusmodi sunt mores; plurimum profecto interest. Quos enim semel amicos fuerint nacti, eos firmissima amicitia complecti pergunt; in hostem vero, quamdiu est hostis, infensos infestosque animos gerunt. Optarim equidem Colchorum rem publicam pristina vigere potentia, ita ut externis ac peregrinis auxiliis non indigeret, sed ipsa sibi rebus omnibus pace belloque sufficeret. Cum vero sive temporis varietate, sive fortunae adversitatibus, sive etiam utroque compulsi, eo impotentiae venerimus, ut aliis subditi simus, consultissimum duxerim illis subesse,

μεν ἀσθενείας, ὡς ὑφ' ἑτέροις τετάχθαι, κράτιστον οἶμαι προσ- A. C. 554
χωρεῖν τοῖς ἐμφρονεστέροις, καὶ τὴν εὔνοιαν πρὸς τὸ οἰκεῖον I. I. 28
καὶ ἔνσπονδον ἐν τῷ ἀτρέπτῳ παρεχομένοις. οὕτω δὲ καὶ πε-
ριεσόμεθα τῶν ὡς ἀληθῶς πολεμίων, τῷ μήτε πάντάπασι τὸ
φθάσαν ἀτιμώρητον καταλειφθῆναι, καὶ τοῦ μέλλοντος πέρι,
ὅπως ἐν τῷ ἀσφαλεῖ κείσεται, τὰ δέοντα παρεσκευάσθαι. τὸ μὲν
γὰρ ὕπουλον ἐκεῖνο τοῦ τρόπου καὶ βωμολόχον, ὃ προβαλλό-
μενοι μετὰ πραότητος δολερᾶς καὶ ὁμιλίας μεμηχανημένης τοὺς D
πιστεύοντας ἀδικοῦσι, περιττὸν ἔσται καὶ ἀνόνητον, καὶ οὐχ
ἕξουσιν ὅπως αὐτῷ χρήσονται καθ' ἡμῶν διὰ τὸ ἄμικτον τῆς
δυσμενείας καὶ περιφανῶς ἀποκεκριμένον. εἰ δὲ καὶ πολεμεῖν
πειραθεῖεν, ἀλλὰ πρὸς Λαζοὺς ἅμα καὶ Πέρσας παραταττό-
μενοι, καὶ ταῦτα ἐν πολεμίᾳ γῇ, τὸ γοῦν ἐντεῦθεν, οὐκ ἂν
οὐδὲ τὴν ὁρμὴν ὑποσταῖεν. οἵ γε καὶ ἀρτίως παντὶ τῷ στρατῷ
μοίρᾳ τινὶ τῶν Μήδων ἐλαχίστῃ προσμίξαντες καὶ πρὸς φυ-
γὴν εὐθὺς αἰσχίστην τραπέντες, μέχρι καὶ νῦν μονονουχὶ πνευ-
στιῶσιν ὑπὸ τοῦ δρόμου, ἅπασι μὲν ὡς εἰπεῖν τοῖς ἄλλοις ἐλατ- P. 83
τωθέντες, μόνῳ δὲ τῷ τάχει τοὺς διώκοντας νενικηκότες.

ι'. „Τούτου δὲ τὸ μὲν ἐμφανὲς καὶ προχειρότατον αἴτιον ἀνανδρίαν εἴποι τις ἄν, καὶ τὸ μὴ τὰ προσήκοντα βεβουλεῦσθαι. πρόσεστι γὰρ αὐτοῖς ὡς ἀληθῶς καθάπερ οἰκεῖα καὶ συγ-

10. χρήσονται R., χρήσωνται vulg. 14. κἂν ἀρτίως R. 15. προσμίξαντες καὶ add. ex R. et Intpr. *ubi — manus conseruissent.* 18. νενικηκότες R., νενικηκέναι vulg. 20. ἀνανδρείαν R. προσήσοντα Sph. Par.

qui moderatiores aequabilioresque sunt, quique benevolentiam in suos et in foederatos sartam tectam conservant. Ita vero superiores evademus iis, qui vere nobis sunt hostes, si neque omnino commissum facinus impune abeat, simulque in posterum securitati rerum nostrarum consuluerimus. Nam subdoli eorum et blandi mores, quos prae se ferentes dolosa quadam lenitate fictitiaque familiaritate credulos fallunt iniuriisque afficiunt irriti plane et inutiles erunt; neque ipsis facultas suppetet adversus nos iis utendi, cum nulla nobis ob hostilitatem consuetudo cum eis sit intercessura, sed aperte disiuncti simus futuri. Quod si vero etiam bello nos aggredi tentarint; si adversus Lazos simul et Persas congrediendum fuerit et quidem in hostili regione, ne primum quidem eorum impetum sustinere possint, qui modo cum universo exercitu ab exigua quadam Medorum manu confestim in turpissimam fugam versi, et adhuc tantum non prae cursu anhelantes spiritum trahunt; et omnibus quidem, ut ita dicam, aliis victi, sola vero celeritate insequentes Persas vicerunt.

10. Huius vero rei apertissima expeditissimaque causa ignavia merito dicatur et consiliorum pravitas. Adhaerescunt enim ipsis revera tanquam propria atque innata haec probra; ad quae a natura insita

A.C. 554 γενῆ καὶ τὰ τοιαῦτα ὀνείδη· πλὴν ἀλλὰ τοῖς ἐκ φύσεως μο-
I. I. 28 χθηροῖς τὸ αὐθαίρετον ἀδίκημα προστεθὲν, ἐδιπλασίασεν αὐτοῖς
τὸ ἀτύχημα, τῆς τοῦ κρείττονος προμηθείας διὰ τὸ ἄγος ἐκπε-
πτωκόσι. τὸ γὰρ νικᾶν οὐχ οὕτω τοῖς ὅπλοις, ὅσον τῷ εὐσε-
βεῖ βεβαιοῦται· καὶ οὐκ ἂν ποτε μετεῖναι φήσαιμι τῆς τοῦ ἀγα-
θοῦ συμμαχίας πονηροῖς ἀνδράσι καὶ μιαρωτάτοις. τούτοις
B οὖν, εἴπερ εὖ φρονοῦμεν, οὐ προσεκτέον, οἷς οὔτε τὰ τῆς
γνώμης ἄριστα σύγκειται, καὶ τὸ σώζειν ἅπαντα πεφυκὸς νε-
μεσᾷ. ὡς μὲν οὖν ἡ προσχώρησις ἡμῖν εὔκολος ἔσται καὶ προσ-
φορωτάτη καὶ τῷ κρείττονι κεχαρισμένη, διὰ τῶν πραγμάτων
μᾶλλον ἢ τῶν λόγων δεδήλωται. οὐ μὴν οὐδὲ ἀδικεῖν δόξοιμεν
ἂν, οὐδὲ ἄπιστοι καθεστάναι. πολλάκις γὰρ ἤδη καὶ πρότε-
ρον ὑπὸ Ῥωμαίων προπηλακιζόμενοι, ἐμμένειν καὶ ὣς τοῖς
V.60 καθεστηκόσιν ἡγούμεθα χρῆναι, φαυλότατον εἶναι κρίνοντες τὸ
μεταβάλλεσθαι ῥᾳδίως ἐπί τισιν αἰτίαις, εἰ καὶ δεινόταται
εἶεν, φορηταῖς δὲ ὅμως καὶ οὐ παντάπασιν ἀνυποίστοις. τὸ δὲ
καὶ μεγίστας βλάβας καὶ ἀνήκεστα πάσχοντας φέρειν διαπαντὸς
ἀταλαιπώρως, καὶ πρὸς μηδὲν ὁτιοῦν ἄχθεσθαι τῶν ἀνοσίων
C ἔργων καὶ ἀτοπωτάτων, οὐ σωφρονούντων ἀνδρῶν εἶναί φημι,
ἀλλὰ δειλῶν καὶ ἀθλίων, καὶ τὴν περὶ τὰ κοινὰ ῥᾳθυμίαν
τῷ τῆς ἀπραγμοσύνης ὀνόματι σοφιζομένων. τούτου δὲ τοῦ τῆς

4. τῷ εὐσεβεῖ R., τῷ εὐσεβεῖν vulg. 9. Exciditne πρὸς τοὺς Πέρσας ante προσχώρησις? 11. τῶν ante λόγων om. R. δόξοιμεν R. (Cl.), δόξειεν vulg. 16. δὲ ante ὅμως ins. ex R. et Intpr. 17. ἀνήκεστα R. et Intpr. ut videtur, ἀνηκέστους vulg.

vitia cum accesserit voluntarium scelus, duplicavit eis malum, quippe qui a divina numinis cura ob piaculare facinus admissum exciderunt. Victoria enim non tam armis quam pietate stabilitur; neque unquam summae illius bonitatis auxilium sceleratos et piaculares homines consecuturos existimaverim. His itaque, si sapimus, nequaquam est adhaerendum, quibus neque mens est optime constituta, et is a cuius manu omnium salus dependet, est infensus. Ostensum ergo est aperte rebus ipsis potius quam verbis, nostrum ad Persas transitum facilem maximeque conducibilem nobis, et Deo imprimis gratum fore. Sed neque inique fecisse aut infidi fuisse videbimur. Nam et antea saepenumero a Romanis contumeliis lacessiti, tamen vel ita in eodem statu permanendum duximus; vanissimum esse iudicantes facile immutari causis aliquot oblatis, quae ut sint gravissimae, ferri tamen possint, neque sunt prorsus intolerabiles. At vero cum extremis atque irremediabilibus malis afficiamur, facile id semper minimeque moleste ferre, neque ullis iniquis atrocissimisque factis offendi, dixerim non esse hominum moderatorum, sed timidorum et miserorum, suamque circa publicum vaecordiam curiositatis fugam falsa appellatione vocantium. Hoc autem caedis scelere neque atrocius ullum apud alios per-

μιαιφονίας πάθους οὐκ ἂν οἶμαι παρ' ἑτέροις μεῖζόν τι γένοιτο, A. C. 554 οὔτ' ἂν γενόμενον περιοφθείη. οὔκουν οὐδὲ ἡμῖν περιοπτέον, I. L. 28 αἰσχυνομένοις εἴ γε φανείημεν τοῦ βασιλέως ἐπιλελησμένοι, καὶ τοὺς ἀπεκτονότας ὑποθωπεύοντες. εἰ γὰρ οἷόν τε ἦν αὐτὸν ἐνθάδε παρεῖναι, πάντως ἂν ἐπεκάλει καὶ κατεμέμφετο τῆς ἡμετέρας ὀλιγωρίας, ἀνθ' ὧν οἱ ἀλιτήριοι οὗτοι κατὰ τὴν ἐκείνου γῆν ἔτι ἐνδιαιτῶνται, καὶ οὐ πολλῷ πρότερον ἐξελήλανται. D ἐπεὶ δὲ οὔτε παρέσται τολοιπὸν, οὔτε φθέγξεται, ὑμεῖς ἀναλογίσασθε τὸν ἄνδρα, καὶ ὡς ἐν μέσῳ τοῦ συλλόγου παρεστὼς οὕτω ταῖς ἐννοίαις ὑμῶν ἀνατυπούσθω, ἐπιδεικνὺς μὲν τὴν σφαγὴν καὶ τὸ στῆθος καὶ τὸν αὐχένα, ἱκετεύων δὲ τὸ ὁμόφυλον νῦν γοῦν τίσασθαι τοὺς πολεμίους. εἶτα τίς ἂν ὑμῶν ἀποδέξοιτο διαπορούντων καὶ σκοπουμένων, εἰ δίκαιον πρὸς τῶν Κόλχων οἴκτου τυχεῖν τὸν Γουβάζην; εὐλαβητέον γὰρ ἡμῖν, ὅπως μὴ τὸ οὐκ εὐπρεπὲς δῆθεν τῆς μεταστάσεως δε- P. 84 διότες, μεθέξομεν τοῦ μιάσματος, καταπροέμενοι καὶ παρέντες τὸ τιμωρεῖν τῷ τεθνηκότι, καὶ μᾶλλον ἐντεῦθεν ἄπιστοι δόξομεν, εἴ γε τῷ βίῳ μόνον ἐκείνου τὴν πρὸς αὐτὸν οἰκείωσιν ἀναμετρήσαντες, συναποβάλωμεν αὐτῷ καὶ τὴν μνήμην. καλῶς μὲν γὰρ τῶν πραγμάτων χωρούντων, πολλὴ ἄνοια τὰ προεγνωσμένα μεταμανθάνειν· ἐναντίως δέ που φερομένων, ἀσύμφορον οἶμαι τὸ μὴ οὐχὶ θᾶττον ἁρμόζεσθαι τῷ προσπί-

3. εἴ γε R., εἴ που vulg. 8. ἀναλογίσασθαι R. 11. καὶ τὸ στῆθος R., ὑπὸ τὸ στ. vulg. et Intpr. 12. ὑμῶν R. et Intpr., ἡμῶν vulg. 13. σιωπουμένων R. 18. δόξωμεν R. et Lugd.

petrari queat, neque perpetratum negligatur. Quocirca neque nobis negligendum est, ad quorum ignominiam pertinebit, si quando visi fuerimus obliti regis, interfectoribus adblandientes. Si enim fieri posset, ut ipse nunc coram sisteretur, acriter profecto vos increparet, et negligentiae contemptusque sui insimularet, quod scelerati isti suis adhuc in terris degant, neque multo ante sint eiecti. Quoniam vero neque adfuturus est ipse deinceps, neque vos compellaturus, vos virum illum cum animis vestris reputate, et tanquam in medio huius concionis stans mentibus vestris repraesentetur, ostendens quidem vulnus et pectus et cervicem, gentique suae supplicans, ut vel nunc vindictam de hostibus sumant. Proinde quis vestrum eos admiserit, qui in dubium vocant et consultant, an aequum sit Colchos Gubazae commiseratione tangi? Verendum enim nobis est, ne cum metuimus, ut parum honestus noster ad Persas transitus videri possit, piaculi participes simus, deserentes eum mortuique vindictam negligentes; magisque ex eo perfidi censeamur, si vita tantum illius studium amoremque nostrum erga ipsum metientes, una cum ipso etiam memoriam abiiciamus. Rebus enim prospere succedentibus, magna dementia fuerit priora instituta immutare: cum vero contrario modo res ferun-

A. C. 554 I. I. 28 πτοντι. τὸ γὰρ βέβαιον ἐν τῷ εὐλόγῳ κρίνεσθαι χρὴ, καὶ τὸ ἐγκαρτερεῖν τοῖς παροῦσιν οὐκ ἐπαινετέον ἀεὶ, ἀλλ' ὅτε φρονήσει συμπαραγίγνεται. ἔνθα δὲ συμβαίνει ὧν μὲν δεῖ μεμνῆσθαι B περιορᾷν, ἔχεσθαι δὲ τῶν οὐ προσηκόντων, ἐνταῦθα τοῦ μεταβάντος ἐφ' ἕτερα ὁ βεβηκὼς ἐπὶ τοῖς προτέροις μεμπτότερος. ταῦτα δὴ οὖν οἱ Πέρσαι πυνθανόμενοι πρὸς ἡμῶν καὶ συνιέντες, στέρξουσιν ἡμᾶς εἰκότως, καὶ ὑπερμαχοῦνται, χρηστοί τε ὄντες καὶ μεγαλόφρονες, καὶ δεινοὶ τεκμαίρεσθαι τὰς γνώμας τῶν πέλας, καὶ πρός γε χώραν οὕτως ἐπικαιροτάτην καὶ δύναμιν ἀξιόχρεων, ἣν αὐτοὶ πρὸ πολλῶν χρημάτων καὶ πόνων ἔχειν τιμῶνται, εἰς συμμαχίαν αὐτεπάγγελτον προσλαμβάνοντες. μὴ τοίνυν ἕτερόν τι παρὰ ταῦτα διανοεῖσθε, ἀλλ' εὐθὺς ἐπιχειρεῖν τοῖς πράγμασι, καὶ τὸ μελετηθὲν ἀνακαλύπτειν· C οὕτω γὰρ ἂν εὔκλειαν μεγίστην ἀροίμεθα, ὅσιά τε δρῶντες καὶ δίκαια, καὶ πρὸς τὸ συνοῖσον ἐξευρημένα."

ια'. Τοιαῦτα τοῦ Αἰήτου εἰπόντος, αὐτίκα ἅπας ὁ ὅμιλος ἐπῆρτο καὶ ἀνεβόα, καὶ αὐθημερὸν ἵεντο μετανίστασθαι, οὔτε τοῖς Πέρσαις προεγνωσμένον, οὔτε οὕτω παρεσκευασμένοι ὡς διαλαθεῖν τυχὸν ἢ καὶ ἀμύνασθαι τοὺς Ῥωμαίους διακωλύοντας, ἀλλὰ μηδὲν ὁτιοῦν τῶν ἐσομένων διανοούμενοι, μήτε

7. ὑμᾶς R. 8. τε om. R. καὶ ante δεινοὶ add. ex R. et Intpr. 11. πόνων Lugd. et Ed. pr., πόντων R., πόρων Par. ex coni. Bon. Vulc., Intpr. omisit. 14. μεγίστην R., ἀρίστην vulg. ἀροίμεθα R., ἑλοίμεθα vulg. 18. οὔτε οὕτω Lugd. et Ed. pr., οὔτε ὅτῳ R., οὔτε αὐτοὶ οὕτω Par.

tur, inconsultum putarim non statim eventibus accommodari. De constantia enim ex rebus rationi consentaneis fit iudicium. Praesentium vero rerum statum constanter tolerare, non semper est laudabile, sed quando una adest prudentia. Ubi autem contingit quae curae esse oportebat negligere, et quae non decet amplecti; ibi magis culpandus venit, qui prioribus adhaerescit atque insistit, quam qui ad alia se transfert. Haec itaque cum e nobis audierint intellexerintque Persae, amore suo merito nos complectentur et propugnabunt, cum sint humani pariter et magnanimi, quique finitimorum animos optime explorare norunt; et quod amplius est, regio adeo opportuna, adeoque insignis exercitus, quem illi multis pecuniis opibusque potiorem duxerint, spontanea denuntiatione in belli societatem ab ipsis fuerit admissa. Ne quid igitur aliud praeter haec cogitetis, sed statim rem ipsam aggredimini, et quod animo agitastis detegite. Ita enim et summam laudem consequemini aequa iustaque facientes, et ad vestram rem utilitatemque pertinentia.

11. Haec cum dixisset Aeetes, universa statim multitudo concitata est, et acclamavit, eoque ipso die ad Persas transire desiderabat, cum nec illi certiores essent facti, neque ipsi ita comparati, ut vel latere Romanos vel eos propulsare, si prohiberent, pos-

ὅποι αὐτοῖς ἐκβήσεται ἡ ἐπιχείρησις, ἀτάκτως ἠπείγοντο. προσ- A. C. 554
όν μὲν τοῦτο καὶ ἄλλως τοῖς πλήθεσιν, ἥδεσθαι τῷ νεωτε- L. I. 28
ρισμῷ καὶ ταῖς μεταβολαῖς τῶν πραγμάτων, οὗτοι δὲ καὶ μᾶλ-
λον ἠρεθισμένοι, οὐ μόνον οἷα δὴ βάρβαροι, ἀλλ' ὅτι τήν τε D
αἰτίαν εὔλογον εἶναι ἡγοῦντο, καὶ τοὺς λόγους ἐν μεγίστῳ
θαύματι ἐποιοῦντο, ὃ δὴ καὶ μᾶλλον αὐτοὺς ἀνεκίνει καὶ διε-
σόβει. οὕτω δὲ αὐτῶν ταραττομένων, ἀνήρ τις Φαρτάζης ὄνο-
μα, ὢν μὲν ἐν ταῖς μάλιστα παρὰ Κόλχοις, ἔμφρων δὲ καὶ
δημοτικὸς μάλα τοὺς τρόπους, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς καὶ
ἀνέκοψεν, ἱκετεύσας μὴ πρότερον ἐπὶ τὴν πρᾶξιν χωρῆσαι, V. 61
πρίν τι καὶ αὐτοῦ λέγοντος διακούσαιεν. μόλις δὲ αὐτῶν πε-
πεισμένων τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ, καὶ κατὰ χώραν μεμενη-
κότων, παρελθὼν καὶ αὐτὸς ἐς μέσον, ἔλεξεν τοιάδε· „Εἰκότα P. 85
μὲν, ὦ ἄνδρες Κόλχοι, πεπόνθατε, λόγῳ δεινότητι σφόδρα
κεκομψευμένων τὰς γνώμας ἐκταραχθέντες. δυσμαχώτατον γάρ
τι τὸ χρῆμα καὶ οἷον ἅπαντας ἀνθρώπους ἐκπλήττειν, οὐχ
ἥκιστα δὲ τοὺς οὔπω πρότερον ἐς πεῖραν αὐτῶν καταστάντας·
οὐ μὴν παντάπασιν ἀνανταγώνιστον σώφρονι λογισμῷ, καὶ τῆς
ἐκ τῶν πραγμάτων κρίσεως ἐχομένῳ. μὴ τοίνυν ἀρεσκόντων
ὑμᾶς τὰ εἰρημένα, λογιζομένους ὡς τῷ ἀθρόῳ μόνῳ καὶ ἀσυν-
ήθει πεπίστευται, ἀλλ' οὐ τῷ πρέποντι καὶ ὠφελίμῳ. γινώ-
σκετε δὲ μᾶλλον, ὡς εἰ καὶ λίαν ὑμῖν κεχαρισμένα δοκεῖ, ἀλλ' B

1. ὅπη R. 6. διεσόβει R., ἀνεσόβει vulg. 7. Φαρτάξης R. in mg., Intpr. *Pharazes.* 12. κατὰ χώρας ἀμενηκότων R. 20. συνήθει R., Intpr. *consuetudine.* 21. ἀλλ' οὐ τῷ πρέποντι καὶ ὠφελίμῳ om. R. et Intpr.

sent; sed nihil plane eorum, quae eventura essent, cum animis suis perpendentes, neque quem exitum ipsorum conatus esset habiturus; familiare alioquin hoc est insitumque multitudini vitium, ut novitati studeat et mutationibus rerum delectetur. Hi vero etiam acrius irritati concitatique erant, non solum, ut barbari, sed etiam quod aequam causam esse censebant, et Aeetae orationem summopere essent admirati; quod quidem etiam vehementius ipsos commovit atque turbavit. Ita vero ipsis tumultuantibus, vir quidem Phartazes nomine, praecipuae cuiusdam inter Colchos auctoritatis, prudens etiam ac moderatus et valde popularis, compescuit eorum impetum, ardoremque restrinxit, precatus ne hoc negotium aggrederentur, anteaquam etiam se aliquid dicentem audissent. Aegre autem ipsis reverentia illius viri persuasis, suoque loco manentibus, progressus etiam ipse in medium, in hunc modum verba fecit. „Nihil novi vobis accidit, o Colchi, quod vi verborum valde speciosorum animis sitis perturbatis. Invicta enim res est eloquentia, quaeque omnes homines percellit, praecipue vero eos, qui nunquam antea eius periculum fecerunt; non ita tamen, quin ei resisti possit prudenti consideratione quaeque ex rerum delectu pendeat. Ne igitur quae di-

A. C. 554 ἔνεστι κρείττονα τούτων ἑλέσθαι· καὶ τὸ ῥᾳδίως ἀναπεισθῆναι
L. I. 28 τεκμήριον ὑμῖν ἐναργὲς τῆς ἀπάτης γινέσθω. τῷ γὰρ τὰ ψευδῆ συμβουλεύοντι μείζονός τε κόσμου καὶ ποικιλίας ῥημάτων προσδεῖ· κἀντεῦθεν πολλῷ τῷ θέλγοντι χρώμενος, θᾶττον ἐφέλκεται τοὺς εὐηθεστέρους. οὕτω δὲ καὶ ὑμεῖς, τοῦ *Αἰήτου* σοφίσματα προθέντος ἐπαγωγὰ καὶ παράλογα, οὐκ ἴστε ὅπως ἐφενακίσθητε· καίτοι εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἐκεῖνό γε καὶ λίαν ἐν προδήλῳ κείμενον εὕροι τις ἄν, ὡς ἄλλης τινὸς ζητή-
C σεως ἀρχὴν ἐμβάλλειν προήχθη τῶν ἐφ' ἃ πάρεσμεν ἀλλοτριωτάτην. καθάπερ γὰρ ὑμῶν ἁπάντων οὐ δεινὰ καθεστάναι τὰ συμβεβηκότα φασκόντων, καὶ τῆς ἀτόπου μιαιφονίας ἥκιστα καταμεμφομένων, καὶ τοῦτο μόνον διασκοπούντων, εἴπερ ὡς ἀληθῶς ἡμαρτήκασιν οἱ τὸν *Γουβάζην* ἀπεκτονότες, παρῆλθεν κατηγορῶν ἐκείνων, καὶ πλείστους ὅσους προσφερόμενος λόγους ἐπὶ τοῖς ἤδη διεγνωσμένοις. ἐγὼ δὲ καταράτους μὲν εἶναί φημι καὶ κακοδαίμονας, καὶ οἵους ἥδιστα θεασαίμην ἂν ὀλέθρῳ τῷ πάντων χαλεπωτάτῳ διολλυμένους, οὐ μόνον τοὺς πλήξαντας,
D καὶ τὴν σφαγὴν ταῖς χερσὶν ἐπενεγκόντας, ἀλλὰ καὶ τοὺς ὅσοι, παρὸν κωλύειν, ἐφῆκαν, πρὸς δέ γε καὶ τοὺς ἡσθέντας, καὶ τοὺς μὴ λίαν ὑπεραλγήσαντας. πλὴν ἀλλ' οὐκ, ἐπειδὴ ταῦτα γιγνώσκω, ἤδη που καὶ προσχωρεῖν τοῖς *Πέρσαις* συνοίσει

2. *γινέσθω* R., *γενέσθω* vulg. 4. *ἐφέλκεσθαι* R. 6. *προθέντος* R. et Intpr. *proponente*, *προσθέντος* vulg. 14. *προσφερόμενος* R. 15. *μὲν* post *καταράτους* ins. R., om. vulg.

cta sunt, a vobis approbentur, considerantibus, quod repentino tantum et insueto, non autem honesto et utili probabilia sint visa. Intelligite vero potius, quod tametsi haec valde vobis grata videantur, meliora tamen his amplecti licet: evidensque vobis fraudis argumentum sit facile persuaderi. Nam ei qui falsa velit suadere, maiore ornatu varietateque verborum est opus; quocirca multo orationis lenocinio utens, simpliciores citius attrahit. Ita vero etiam vos, cum Aeetes illecebrosas quasdam fallacesque argutias adhibuerit, nescitis ipsi, quomodo decepti sitis. Et quidem ut nihil aliud, illud certe apertissime cuivis constare potest, quod aliam quandam statim initio quaestionem iniecerit, ab iis, quorum causa convenimus, alienissimam. Perinde enim atque vobis omnibus, non esse atrocia quae acciderunt, dicentibus, et turpem hanc caedem nequaquam accusantibus, atque hoc solum considerantibus, an revera deliquerint, qui Gubazem interfecerunt, illorum accusationem praeteriit, multaque verba de iis quae iam cognita sunt, consumsit. Ego vero execrabiles esse dico Deoque invisos, quosque libentissime viderim nece omnium atrocissima periisse, non tantum percussores, quique suis ipsorum manibus caedem perpetrarunt, verum etiam omnes eos, qui cum prohibere possent, permiserunt, et eos insuper qui gavisi sunt, et qui non magnopere indoluerunt. Neque

οὐδὲ τοῦτο λάβοι τις ἂν ὥσπερ ἑπόμενον τῷ λόγῳ καὶ συνημ- A. C. 554 μένον, ὡς, ἐκείνων παρανομησάντων, δεήσει καὶ ἡμᾶς τὰ οἰ- L. I. 28 κεῖα νόμιμα καταπροέσθαι· οὐδὲ ὡς ἀπίστοις μὲν αὐτοῖς ἄχθεσθαι, παραπλησίαν δὲ κτήσασθαι δόξαν. νῦν γὰρ οὐ τὸ φθάσαν καὶ διηνυσμένον, καὶ οὐκέτι τὴν τοῦ μὴ γεγονέναι φύσιν ἐπιδεχόμενον, ἀναλογίζεσθαι χρή, ὡς ἂν μή, σὺν τῷ θυμουμένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι βουλευόμενοι, λάθοιμεν ἑαυτοὺς τὸ κρῖνον ἐπιθολοῦντες, καὶ τὴν τοῦ ἀμείνονος εὕρεσιν προαφῃρημένοι· ἀλλὰ τοῦ μὲν πάθους ὑφελεῖν, εἰσόσον μὴ δοκεῖν ἠμεληκέναι, πρόνοιαν δὲ τῶν γοῦν λοιπῶν θέσθαι πραγμάτων, ὅπως ἄριστα καθεστήξῃ. ἀνοήτων μὲν γὰρ ἀνδρῶν P. 86 ἐπὶ τοῖς παρῳχημένοις κακοῖς ἀγανακτεῖν μέχρι παντὸς καὶ ἀνιᾶσθαι, σωφρόνων δὲ τὰς ἀτάκτους ῥοπὰς γιγνώσκειν τῆς τύχης, καὶ ταῖς μεταβολαῖς μὴ ταράττεσθαι, μηδέ, τῶν προτέρων ἐστερημένους, συνδιαφθεῖραι καὶ τὰς τῶν μελλόντων ἐλπίδας.

ιβ΄. „Ἀλλ' ὁ μὲν σύμβουλος πάλαι τὰ Μήδων φρονῶν καὶ μεθιστᾶν ἡμᾶς ἐπ' ἐκείνους γλιχόμενος, μορμολύττειν καθάπερ τοὺς παῖδας πειρᾶται, ὡς δὴ τοῖς Ῥωμαίοις οὐ τῶν τετολμημένων ἀποχρησόντων, ἀλλὰ μειζόνων προσεσομένων· καὶ ὡς ὁ βασιλεὺς αὐτοῖς καινουργότατος· καὶ τὰ τῆς μιαιφονίας αὐτὸς ἐγκελευσάμενος εἴη, σπουδασθὲν ἐκ πλείστου καὶ B

6. σὺν om. R. 19. ὡς δὴ R. Lugd. (Cl.), ὡς δὲ edd. 20. παρεσομένων R. 21. Mallem πανουργότατος: cf. p. 156. ed. Bonn. v. 5.

tamen, quamquam ita sum affectus, ad Persas transire expedit; neque quisquam hoc ita accipiat tanquam consectaneum rationi et annexum, quod, quia illi leges proculcarunt, oporteat etiam nos patriis institutis valedicere, neque ipsis quidem ut perfidis infensos esse, eandem vero quam ipsi opinionem tenere. Neque enim nunc id, quod praeteritum peractumque est infectumque reddi non potest, reputare oportet, ne videlicet animo ira indignationeque succenso deliberantes, imprudentes iudicium nostrum obfuscemus, sanioris potiorisque consilii inventionem nobis praeripientes; sed ita hoc malo affici, ut non neglexisse id videamur, prospicere vero, ut reliquae res quam optime constituantur. Dementium enim est, ob praeterita mala perpetuo angi atque discruciari; sapientium vero, inordinata fortunae momenta cognoscere, et mutatione vicissitudineque rerum non commoveri, neque, prioribus privatos, futurorum etiam spem omnem abiicere.

12. Sed hic quidem consultor cum iamdudum Persarum sit studiosus, nosque ad illos transire peroptet, perterrefacere nos ut pueros conatur; quod Romani iis, quae iam in nos ausi sunt, contenti non sint futuri, sed atrocioribus malis affecturi; quodque rex ipsis sit novarum rerum studiosissimus, ipseque auctor impulsorque fuerit caedis multo antea tempore deliberatae et procuratae; atque

A. C. 554 βεβουλευμένον· καὶ ταῦτα φάσκων, ἀνυμνεῖ τοὺς Πέρσας καὶ
I. I. 28 ὑπεράγαται, πείθειν ἡμᾶς ἐντεῦθεν οἰόμενος ἱκέτας εὐθὺς καὶ αὐτομόλους γενέσθαι τῶν φύσει πολεμιωτάτων. πρὸς τοῦτο γὰρ ἅπασαν ἔχει τὴν ἀναφορὰν, ὠδίνων ἐξαρχῆς καὶ μηχανώμενος ὡς ἂν αὐτῷ τὰ μεμελετημένα πρὸς ἔργον ἐκβαίη, καὶ
V. 62 σὺν τῷ ἀνεξετάστῳ προτρέπων, τὴν τῆς βουλῆς τάξιν συγχεῖ καὶ ταράττει, καὶ πρὸς τὸ ἀνόνητον μεταβάλλει. ἡ μὲν γὰρ προτερεύειν ἔλαχεν ἀεὶ καὶ ἡγεῖσθαι, βάσανον ἐμποιοῦσα τοῖς οὔπω προδήλοις· μόλις δὲ τοῦ πρακτέου διαγνωσθέντος, τότε
C δὴ παρεῖναι χρεὼν τὸ ἐθέλειν τυχεῖν καὶ ἐφίεσθαι τῶν αἱρεθέντων. ὁ δὲ τὸ πέρας ἀρχὴν πεποίηται, ἑλόμενος ἤδη πρίν τι σαφῶς διασκοπῆσαι. ποῖον τοίνυν τὸ ἐκ τῆς βουλῆς ὠφέλιμον, εἴπερ τῆς κρίσεως ἐν ὑστέρῳ παρῇ; ὑμεῖς δὲ, ὦ ἄνδρες Κόλχοι, μηδαμῶς τὰς γνώμας ἑτέρῳ τῳ κατειλημμένοι, καὶ πρὸς ἕν τι τέλος προδιωρισμένον ὁρῶντες, οὕτως ἐπὶ τὰς ζητήσεις χωρεῖτε. πῶς γὰρ καὶ ἔνεστι [τὰς] τῶν πραγμάτων μεταβάσεις βιάζεσθαι καὶ πρὸς τὸ ἀρέσκον μετασκευάζειν; τοὐναντίον γὰρ τούτοις ἕπεσθαι κοσμίως προσήκει, καὶ τὸν λογισμὸν ἐπ' αὐτὰ μεθιέναι καθαρὸν καὶ αὐτόνομον, ὥστε κατὰ
D σχολὴν τὰ προστυχόντα διευκρινήσαντα, τοῦ συνοισόντος ἐφι-

7. ἀνόνητον R. idque coni. B. Vulcanius, Intpr. *ad id, quod inutile est*, ἀνόητον vulg. 13. ὑμεῖς R. et Intpr., ἡμεῖς vulg. 16. γὰρ καὶ ἔνεστι [τὰς] τῶν πραγμάτων μεταβάσεις βιάζεσθαι καὶ addidi ex R. (ubi τὰς desideratur) et Intpr. *possunt namque nescio quo pacto violari rerum eventus et ad animi voluptatem traduci*, nisi tamen hic pro μεταβάσεις, ἀποβάσεις legebat. 20. τὰ προστυχόντα R. Lugd. et Intpr. *casus*, τὰ προσχόντα vulg.

haec dicens, Persas miris laudibus extollit, persuasurum se nobis hac ratione credens, ut supplices spontaneique transfugae fiamus iis, qui nobis natura sunt infestissimi hostes. Nam ad hunc unicum scopum collimat, hoc iam ab initio parturit et enititur, ut quae studiose procuravit, perficiantur; et inconsulte suadens consultationis ordinem confundit ac turbat, inutilisque ut sit efficit. Consultatio enim semper praecedere consuevit, res non plane manifestas examinationi subiiciens. Ubi vero tandem quid facto sit opus, est percognitum, tum sane necesse est ut adsit voluntas et desiderium consequendi ea, quae sunt placita atque decreta. Hic autem ex fine principium facit, decernens iam, priusquam aliquid perpenderit. Quisnam igitur fuerit consultationis fructus, si iudicio est posterior? Vos autem, o Colchi, animis nullo praeiudicio occupatis, et ad unum aliquem praestitutum finem vos dirigentes, ita ad consultationes accedite. Qui enim possunt rerum vicissitudines vi arcessi et ad animi voluntatem traduci? Contrarium enim his ordinem sequi oportet, intellectumque purum ac liberum suique iuris adferre, ut rebus accurate perpensis, quod consultissimum maximeque ex re est, exsequamur. Sic itaque consultantibus nobis statim apparebit

κέσθαι. οὕτω γὰρ ἡμῖν βουλευομένοις αὐτίκα φανεῖται, ὡς οὔτε ἐκ τῶν Ῥωμαϊκῶν ταγμάτων, οὔτε μὴν τῶν στρατηγῶν ἁπάντων, πολλῷ δέ γε μᾶλλον οὐδὲ τοῦ σφῶν βασιλέως τὰ τῆς ἐπιβουλῆς ἐπὶ Γουβάζην συνέστη. διατεθρύλληται γὰρ ἤδη παρ' αὐτοῖς καὶ ἀνωμολόγηται, ὡς Ῥούστικος καὶ Μαρτῖνος, βασκήναντες αὐτῷ τῆς εὐτυχίας, εἰς αὐτεπάγγελτον ἤλασαν κακοδαιμονίαν, τῶν ἄλλων ἡγεμόνων οὐχ ὅπως συλλαβομένων, ἀλλὰ καὶ περιφανῶς ἀνιαθέντων. ἄδικον οὖν οἶμαι καὶ πρός γε ἀσύμφορον, ἑνὸς ἐξ ἁπάντων ἀνδρὸς ἢ καὶ δυοῖν τυχὸν ἡμαρτηκότοιν, ἐξυβρίσαι μὲν εἰς τοὺς κοινοὺς νόμους, οὓς στέργειν προὐθέμεθα, πολιτείαν δὲ σύμπασαν καὶ δίαιταν συνήθη καὶ φίλην οὕτω πως ῥαδίως ἀποσκευάσασθαι, τῶν δὲ τὴν χώραν φρουρούντων, καὶ πολλοὺς ὅσους κινδύνων ἀναδεχομένων, ὡς ἂν ἡμῖν ἐν εὐπαθείᾳ βιοτεύειν ἐξῇ, προδότας δειχθῆναι, καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, δόξαν ὀρθὴν πρὸς εὐσέβειαν καὶ τὴν τῶν ἱερῶν ἀποῤῥήτων σεμνότητα περιφρονῆσαι. πῶς γὰρ οὐ τοῦτο φανούμεθα δρῶντες, εἰ προσχωρήσαιμεν τοῖς τοῦ κρείττονος ἐναντιωτάτοις; εἰ μὲν γὰρ διακωλύσαιεν ἡμᾶς ταῖς αὐταῖς ἁγιστείαις ἐμμένειν, καὶ μεταστήσαιεν πρὸς τὴν σφετέραν, τί τούτου πεισόμεθα χαλεπώτερον, περιόντες τε καὶ τεθνηκότες; τί δὲ κερδανοῦμεν ἅπασαν τὴν Περσίδα (θῶμεν γὰρ οὕτω) προσλαμβάνοντες, τὰς δὲ ψυχὰς ἐζημιωμένοι; εἰ

A. C. 554
I. I. 28
P. 87

1. ἡμῖν R. et Intpr, ὑμῖν vulg. 6. ἤλασαν R. (Cl.), ἤλασε vulg. 7. συλλαβομένων R., συλλαμβανομένων vulg. 9. ἀσύμφορα R. 13. φρουρούντων — δειχθῆναι om. R. Igitur κινδύνων solus Lugd. pro quo Cl. corr. κινδύνους. 14. ἐξῆν Sph. Par. 17. φανοῦμεν R.

quod neque a Romanis legionibus, neque a praefectis universis, multo vero minus ab ipso eorum Imperatore insidiae Gubazi fuerint structae. Pervulgatum enim iam apud ipsos et in confesso est, quod Rusticus et Martinus prosperae illius fortunae invidentes in ultroneam animi feritatem sint abrepti, reliquis ducibus non solum non adiuvantibus, verum etiam acerbe ferentibus. Iniquum itaque et praeterea inutile fuerit, ob unius fortassis atque alterius culpam publicas leges, quas observare constituimus, proterve violare, universumque vitae nostrae institutum, cui amice assuevimus, adeo leviter immutare, eorum vero, qui in praesidiis provinciae pro nobis, ut tranquille iucundeque vivamus, excubant, proditores ac desertores declarari; et quod omnium est maxime impium, rectam de religione et sacrorum mysteriorum dignitate opinionem atque doctrinam aspernari. Quo pacto enim non id facere videbimur, si ad infensissimos divini numinis hostes concesserimus? Si enim illi prohibuerint, ne nostram deinceps religionem colamus, sed ad suam nos adegerint, quid gravius nobis accidere possit, superstitibus pariter et mortuis? Quid enim lucri fecerimus, si universam (faciamus ita

A. C. 554 I. L. 28 δέ γε καὶ μεθεῖεν καὶ συγχωρήσαιεν, ἀλλ' οὐ βεβαίαν ἡμῖν τὴν εὔνοιαν ἕξουσιν, ὕπουλον δὲ μᾶλλον καὶ σφαλερὰν, καὶ μόνῃ τῇ χρείᾳ συμμετρουμένην. ἄμικτον γὰρ ἀεὶ τοῖς ἀνθρώποις τὸ ἑτερόγνωμον, καὶ οὔτε δέους προσπεσόντος, οὔτε τινὸς εὐεργεσίας ἡγησαμένης, μόνιμος αὐτοῖς ἐγγίγνεται πίστις, πλὴν εἰ μὴ καὶ ταῖς δόξαις ὁμοφρονοῖεν· τό τε συγγενὲς καὶ ἴδιον καὶ ὁμόφυλον, εἰ τοῦδε λειπόμενα τύχοιεν, ὀνόματι μόνῳ τὴν οἰκείωσιν ὑποφαίνει, τοῖς δὲ ἔργοις ἀλλοτριοῦται. ἀντὶ ποίων τοίνυν ἀγαθῶν, ὦ ἄνδρες Κόλχοι, πρὸς Πέρσας μεταβησόμεθα, εἴ γε καὶ ὥς ἔσονται δυσμενεῖς, καὶ μηδὲν ἡμῖν πλέον C ἔσται τοῦ παρόντος, ἢ μόνον τὸ ῥᾷον βλάπτεσθαι πρὸς αὐτῶν, ὅσῳ τοῦ ἐμφανοῦς τὸ διαλανθάνον ἀφυλακτότερον; ἀλλὰ γὰρ, εἰ δοκεῖ, συγκεχωρήσθω, μήτε ἄδικον εἶναι τοὐγχείρημα, μήτε τοῦ πρέποντος ἐστερημένον, καὶ ὁμολογείσθω τὰ Περσῶν ἤθη βέβαια καὶ πιστὰ καὶ οἷα διαπαντὸς ἐμμένειν ταῖς ἐσομέναις συνθήκαις. εἰ γὰρ καὶ ταῦτα δοθεῖεν, καὶ μηδὲν ἡμῖν τῶν ἄλλων ἐμποδὼν ἔσται, ἀλλὰ τὰ τῆς δυνάμεως οὐκ ἀρκέσει. πῶς γὰρ ἂν μεταχωρήσαιμεν ἐφ' ἑτέρους, ἐφεστηκότων ἡμῖν τῶν Ῥωμαίων, καὶ οὕτω πολλῶν καὶ ἀνδρειοτάτων καὶ ὑπὸ κρα- D τίστοις στρατηγοῖς ταττομένων; πῶς δὲ καὶ οἷόν τε μὴ οὐχὶ ποι-

1. καὶ ante μεθεῖεν add. ex R. et Intpr. *vel.* 3. Pro γὰρ Par. καί. 10. πλέον ἔσται R., ἔσται πλέον vulg. 13. συγκεχωρήσθω R. (Cl.), συγκεχωρείσθω vulg. 20. τεταγμένων R.

esse) Persiam nobis adiunxerimus, animarum vero iacturam fecerimus? Quod si vero permiserint et concesserint, firma tamen benevolentia nos nequaquam prosequentur, infida vero et dubia, quamque sola utilitate metiantur. Neque enim inter eos, qui diversis opinionibus sunt imbuti, societas constare potest; et neque incidente metu, aut beneficio nullo interveniente, fides ipsis constans et firma permanet, nisi etiam opinionum consensus accedat. Quin et cognati, affines et contribules, si hac animorum opinionumque convenientia destituantur, nomine solo amicitiam prae se ferunt, re vero ipsa sunt alienissimi. Cuius itaque boni spe, o Colchi, ad Persas desciscemus, si etiam ita nobis futuri sunt hostes, neque aliquid amplius in praesentiarum inde nobis accedet, quam quod tanto facilius ab illis laedi poterimus, quanto difficilius ab occulto quam aperto hoste nobis cavere possumus? Atqui, si videtur, demus ita esse, factum ipsum neque cum aequitate neque cum honesto pugnare, et statuamus Persarum mores constantes esse ac fidos, quodque perpetuo pacta conventaque sint observaturi. Ut enim etiam haec dentur nihilque aliud nobis impedimenti sit reliquum, at vires nostrae non sufficient. Quo pacto enim ad alios transeamus, cum nobis Romani immineant, et quidem adeo multi ac fortissimi, quique praestantissimos nacti sunt duces? Quo pacto vero etiam fieri possit, ut non atrocissimam

νὰς ὑποσχεῖν ἀνηκέστους, τῶν μὲν οὓς ἐπαμύνειν χρεὼν πόῤῥω A. C. 554
που κατὰ τὴν Ἰβηρίαν ἔτι μελλόντων, καὶ ἀνειμένως πορευο- I. I. 28
μένων, τῶν δὲ τιμωρησομένων τήν τε χώραν ἅπασαν κατε- V. 63
χόντων, καὶ ταῖς ἡμετέραις πόλεσιν ἐνοικούντων;

ιγ'. „Καίτοι φησὶν αὐτοὺς ὁ γενναῖος οὑτοσὶ μηδὲ τὴν ὁρμὴν ὑποστήσεσθαι ἡμῶν, παραδείγματι χρώμενος τοῖς ἔναγχος συμβεβηκόσι. καὶ τίς ἀγνοήσειεν ἂν ὡς τὰς τῶν πολέμων τροπὰς οὐκ ἐπὶ ῥητοῖς ἀνάγκη συμβαίνειν, οὐδὲ τοὺς νῦν σφαλέντας τυχὸν τῶν ὁμοίων ἀεὶ μεταλαγχάνειν ἀποτευγμάτων;
τοὐναντίον γὰρ ὡς τὰ πολλὰ πρὸς τοὺς ἡττηθέντας ἡ νίκη P. 88
μέτεισι, καὶ τὸ δυσφοροῦν ἐκθεραπεύει. οὐ χρὴ τοίνυν ἡμᾶς, καθάπερ εἰθισμένον αὐτοῖς τολοιπὸν ἐν ἁπάσαις ταῖς συμπλοκαῖς ἐλασσοῦσθαι, πέρα τοῦ μετρίου θαῤῥεῖν. εἰ μὲν γὰρ τούτῳ μόνῳ νενίκηνται, τῷ μὴ τὰ δέοντα βεβουλεῦσθαι, προσεκτέον μὲν ἡμῖν τῷδε μᾶλλον τῷ παραδείγματι, καὶ προφυλακτέον τοὺς ἐκ τῆς ἀβουλίας κινδύνους. οὐ μὴν πρόδηλον ἐντεῦθεν οἴεσθαι δεῖ τὸ ῥᾳδίως αὐτῶν περιέσεσθαι. εἰκὸς γὰρ τοὺς πρότερον ἁμαρτήσαντας, καὶ διὰ τῆς πείρας ὁποῖα φευκτέον πεπαιδευμένους, καὶ αὐτὸ δὴ τὸ παροφθὲν ἀνακαλέσασθαι τῇ
περὶ τῶν ἐφεξῆς ἐσομένων ἐπιμελείᾳ. εἰ δὲ τὸ θεῖον αὐτοῖς B

3. τήν τε χώραν ἅπασαν R., ἅπασαν τὴν χώραν τε vulg. 5. αὐτὸς R. 6. ὑποστήσεσθαι ἡμῶν R., ἡμῶν ὑπ. vulg. ἔναγχος R. Lugd. et Intpr. *paulo ante*, Ed. pr. ἔναχος, Par. ἐναχῶς. 9. μεταλαγχάνειν R., λαγχάνειν vulg. 10. νικηθέντας R. 15. προσφυλακτέον R.

vindictam incurramus, iis quidem, quos auxilio nobis venire oportet, procul hinc in Iberia cunctantibus lenteque procedentibus; iis vero qui ultionem exigent, universam regionem occupantibus et in nostris urbibus habitantibus?

13. „Atqui, ut insignis iste vir ait, ne primum quidem nostrum impetum sustinebunt, argumento ex iis, quae paulo ante acciderunt, sumpto. At quis ignoraverit bellorum vicissitudines nequaquam certa necessitate accidere; nec eos qui nunc forte male rem gesserunt, perinde adversam semper fortunam habituros. Nam e contrario victoria frequenter ad victos transit, et fortunae adversitatem emendat. Non oportet igitur nos, perinde ac si pro suo more et consuetudine in omnibus deinceps proeliis essent succubituri, supra modum esse confidentes. Si enim eo solo fuerunt victi, quod non satis, quid facto opus esset, perpendissent, nobis quidem hoc exemplum in nostrum usum est convertendum, et praecavenda, quae temeritatem consiliique praecipitantiam consequuntur, pericula. Neque enim ex praeterito casu certam nobis de ipsis victoriam possumus polliceri. Verisimile enim est, eos qui antea errarunt, experientia ipsa quid fugiendum sit, edoctos, id quod omissum neglectumque fuit, maiore deinceps in rebus gerendis cura compensaturos. Si vero Deus ipsis

A. C. 554 L. I, 28 χαλεπαίνει τῆς ἐπὶ τῷ κειμένῳ παρανομίας, καὶ ταύτῃ κεκάκωνται, τί δεῖ καὶ ἡμᾶς παρεῖναι καὶ συνεπιλαμβάνειν, ὥσπερ οὐκ ἐπαρκοῦντος ἐκείνου τὰ δίκαια δρᾶσαι, ἀλλὰ τῆς ἐξ ἡμῶν ἐπικουρίας προσδεομένου; ποία δέ τις ἂν ἀσεβείας ὑπερβολὴ ἑτέροις λελείψεται, εἴ γε τόδε τὸ ἀγαθὸν ἀτιμάσαιμεν τῇ μεταστάσει, ὅπερ καὶ ἠρεμούντων ἡμῶν ὑπερμαχεῖ προσηκόντως; μηδεὶς τοίνυν ἡμῖν τὸν τεθνεῶτα παραγέτω δῆθεν τῷ λόγῳ λίαν ἀγεννῶς ὀλοφυρόμενον, καὶ ἱκετεύοντα τοὺς ὁμοφύλους οἴκτου τυχεῖν τῷ τὴν σφαγὴν ἐπιδεικνύναι. ταῦτα γὰρ μοχθηραῖς μὲν ψυχαῖς καὶ ἀνάνδροις ἴσως ἁρμόσει, οὐ μὴν προσα- C πτέον αὐτὰ βασιλεῖ καὶ Λαζῶν καὶ Γουβάζῃ. εἰ γὰρ ἐκεῖνος ἐνταῦθα παρῆν, πάντως ἄν, ἅτε δὴ θεοφιλὴς ἀνὴρ γεγονὼς καὶ φρενήρης, κατεμέμφετο μὲν ἡμᾶς τοιαῦτα βουλευομένους· ἐκέλευεν δὲ μὴ οὕτω καταπεπτωκέναι καὶ μαλθακίζεσθαι, καὶ δραπετεύειν, καθάπερ οἰκέτας, αἱρεῖσθαι· φρόνημα δὲ μᾶλλον Κολχικὸν καὶ ἐλεύθερον ἀναλαβόντας, ἀντέχειν τῆς συμφορᾶς θαῤῥαλέως, καὶ πρὸς μηδὲν μὲν αἰσχρὸν καὶ ἀνάξιον τῶν πατρίων ἐξάγεσθαι τρόπων, ἐμμένειν δὲ τοῖς παροῦσι καὶ πεποιθέναι, ὡς τοῦ κρείττονος ἥκιστα τὸ ἔθνος περιοψομένου. εἶτα πῶς οὐ σφόδρα παράλογον, αὐτῷ μὲν τῷ βιαίως ἀνῃρημένῳ D ταῦτα κατὰ τὸ εἰκὸς ἔχειν δεδόχθαι· ἡμᾶς δέ, τοὺς τὴν πρὸς

1. ἐπὶ τῶν κειμένων R. 6. ὥσπερ R. 7. ἡμῶν R. 10. ἁρμόσει R. et Intpr. *congruit*, ἀρκέσει vulg. 13. ὑμᾶς vulg. et Intpr. 15. αἵρεσθαι R. 21. κατὰ τὸ εἰκ. ἔχ. R., κ. τ. εἰκ. εὖ ἔχ. vulg., Intpr. *ut is — tam decenter haec censeat.*

est infensus ob nefariam caedem commissam, ideoque hisce malis afficiuntur; quid opus est etiam nos ei adesse, nostramque operam conferre, perinde atque si ille per se iustitiae exercendae non sufficeret, sed nostro auxilio indigeret? Qualis vero impietatis excessus aliis relinquetur, si summam hanc bonitatem nostra defectione contemnamus, quae etiam nobis quiescentibus nos uti par est propugnat? Nemo itaque nobis mortuum Gubazem verbis in medium adducat parum viriliter eiulantem, et populares suos suppliciter orantem, ut sui misereantur, plagas corpori suo inflictas ostentando. Haec enim vitiosis effoeminatisque animis fortassis conveniant, nequaquam vero adscribenda sunt regi et quidem Lazorum, atque adeo Gubazae. Si enim ille coram adesset, graviter certe, utpote pius et cordatus vir, nos eiuscemodi consilia agitantes insimularet, iuberetque non ita animis cadere atque elanguescere, et servilem in modum aufugere: quin potius animo Colchico et liberali resumpto aerumnam fortiter sustinere, et nihil turpe patriisque moribus indignum committere; sed praesenti rerum statui insistere, certam fiduciam concipientes divinum auxilium Colchicae genti nequaquam defuturum. Proinde quo pacto non vehementer absurdum fuerit, ipsi quidem violenter interfecto verisimiliter haec probari, nobis

ἐκεῖνον εὔνοιαν σκηπτομένους, τἀναντία διανοεῖσθαι; ἀλλὰ A. C. 554
δέδοικα μὴ καὶ μόνου χάριν τοῦ διαλογίζεσθαι ταῦτα καὶ δια- I. L. 28
σκοπεῖν μεγίστας ὑφέξομεν δίκας. εἰ μὲν γὰρ ἐπ' ἀδήλοις ἐλπίσι καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν ἐπιδεχομέναις τὰ τῆς ἀποστάσεως ἡμῖν ἐμελετᾶτο, ἦν μὲν ἂν καὶ τόδε δεινὸν, ἐπὶ τηλικούτων πραγμάτων κινήσει μόνης ἠρτῆσθαι τῆς τύχης, πλὴν ἀλλ' ἐξῆν ἴσως τοῖς ταῦτα προῃρημένοις ἀδεέστερον γοῦν ἀναισχυντῆσαι. εἰ δὲ πανταχόθεν προὖπτον δείκνυται τὸ κακὸν,
πῶς οὐ μισητέον αὐτοὺς τοιαύτην ἔννοιαν ἐμβαλόντας; ὡς μὲν P. 89
οὖν ἀφεκτέον ἡμῖν ἐκείνων, καὶ δὴ μετρίως ἐῤῥήθη. φημὶ δὲ δεῖν βασιλεῖ τῶν Ῥωμαίων τὸ συμβὰν ἀναγγεῖλαι, ὡς ἂν ἐνδικώτατα μετέλθῃ τοὺς τοῦ μιάσματος αἰτιωτάτους, καὶ εἰ μὲν ἐθελήσει, πεπαῦσθαι τολοιπὸν τῆς πρὸς Ῥωμαίους διαφορᾶς, καὶ συνεργεῖν αὖθις καὶ συστρατεύεσθαι, καὶ τῶν προτέρων μετέχομεν συνδιαιτημάτων. εἰ δὲ ἀπώσοιτο τὴν ἀξίωσιν, τότε δὴ βουλευτέον ἡμῖν, εἴπερ ἑτέραν ὁδὸν τραπῆναι συνοίσει. οὕτω γὰρ ποιοῦντες, οὔτε τοῦ τεθνηκότος ἐπιλελῆσθαι δόξοιμεν ἂν, οὔτε προπετείᾳ μᾶλλον ἢ γνώμῃ τὰ ἡμέτερα διατιθέναι." V. 64

ιδ΄. Εἰρημένων δὲ καὶ τούτων, παλινῳδίαν, τὸ λεγόμε- B

5. *καὶ τόδε* R. et Intpr. *vel id*, *καὶ τότε* vulg. 8. *πανταχόθεν* add. ex R. et Intpr. *undequaque*. 9. *ἐμβαλλόντας* edd. 10. *ὑμῖν* Par. et Intpr. 12. *μετέλθῃ* R., *μετέλθοι* vulg. 15. Num *μετέχειν*?

vero, benevolentiam erga ipsum praetexentibus, contraria deliberari? Sed vereor, ne vel ea sola de causa, quod haec animo cogitationeque agitaverimus, maximas poenas simus subituri. Si enim incerta spe dubioque eventu et variis in utramvis partem momentis obnoxio defectionem moliti essemus, erat profecto etiam hoc grave, in tantarum rerum motu a sola fortuna pendere; licuisset tamen fortasse iis, qui hoc consilii ceperant, liberius impudentiusque id aggredi. Si vero pravitas huius consilii et mala inde exspectanda omni ex parte sunt conspicua et manifesta, quo pacto non sint digni odio, qui vos in hanc cogitationem induxerunt? Quomodo igitur abstinendum nobis ab illis sit, et quidem moderate dictum est. Ego vero ita sentio, factum ipsum ita ut accidit Imperatori esse nuntiandum, ut nimirum iustissime animadvertat in praecipuos caedis auctores. Quod quidem si fecerit, nostra cum Romanis simultas consopietur, et laborum expeditionumque societatem pristinamque cum ipsis consuetudinem redintegrabimus. Si vero repulsam patiamur, petitionemque nostram reiiciat, tum demum deliberandum erit, an aliam viam ingredi expediat. Ita enim facientes, neque mortui Gubazae obliti esse videbimur, neque temeritate potius quam consilio res nostras instituere."

14. His dictis Colchi palinodiam, ut est in proverbio, cecine-

A. C. 554 L. I. 28 νον, ᾖδον οἱ Κόλχοι, καὶ μετεπείθοντο. μάλιστα γὰρ αὐτοὺς εἰς τοῦτο συνήλασε τὸ δεδιέναι, μή ποτε ἄρα, εἰ μετασταῖεν, καὶ τὴν ἐπὶ τῷ κρείττονι δόξαν ἀφαιρεθεῖεν. ἐπειδὴ οὖν ἡ τοῦ Φαρτάζου γνώμη ἐνίκα, αὐτίκα οἱ ἄριστοι καὶ εὐπατρίδαι τοῦ ἔθνους Ἰουστινιανῷ βασιλεῖ τὰ ἐπὶ Γουβάζῃ ξυνενεχθέντα διήγγειλαν, ἅπασάν τέ οἱ ἀνεκάλυψαν τὴν ἀπάτην, ὡς ἐκεῖνος μὲν οὔτε μηδίσας πώποτε, οὔτε ἄλλο τι ἄχαρι κατὰ Ῥωμαίων βουλευσάμενος ἥλω, οἱ δὲ ἀμφὶ Μαρτῖνόν τε καὶ Ῥούστικον, ἐπειδὴ αὐτοῖς ὑπὸ ῥᾳστώνης θαμὰ σφαλλομένοις ἐπεκάλει τε τὰ εἰκότα καὶ ἐχαλέπαινεν, οἱ δὲ ταύτην τε τὴν C συκοφαντίαν ἐμηχανήσαντο, καὶ τὸν οὐδὲν ἡμαρτηκότα διέφθειραν. ἐδέοντο δὴ οὖν τῇ τοῦ κατοιχομένου ψυχῇ τοῦτο δὴ παρασχεῖν τὸ χαριστήριον· ἔλεγον δὲ οὐκ ἄλλο τι ἄρα ἢ ὥστε μὴ ἀτιμώρητον καταλιπεῖν τὸ ἀδίκημα, βασιλέα δὲ σφίσιν ἐπιστῆσαι οὐκ ὀθνεῖόν τινα, οὐδὲ ἐπηλύτην, ἀλλὰ Τζάθην τὸν Γουβάζου νεώτερον ἀδελφὸν ἐν Βυζαντίῳ κατ' ἐκεῖνο τοῦ καιροῦ διατρίβοντα, ὡς ἂν αὐτοῖς πάλιν ὁ πάτριος διασώζοιτο νόμος καὶ ἡ ἀνέκαθεν τοῦ βασιλείου γένους ἀκραιφνὴς ὁμολογία. ὁ δὲ, (ὅσια γὰρ αὐτῷ ἐδόκει καὶ δίκαια,) ὡς τάχιστα ἐπετέλει, καὶ οὖν Ἀθανάσιον, ἕνα τῶν πρῶτα λαχόντων ἐν D τῇ συγκλήτῳ βουλῇ, ἔστειλε διασκοπήσοντά τε τὸ πραχθὲν

4. Φαρτάξου R., Intpr. *Pharazis*. 5. τῷ Γ. R. 7. ἄχαρι add. ex R., Intpr. cum vulg. facit. 16. ἀδελφόπαιδα R. in mg. 19. ὅσια et δίκαια R., ὅσιον et δίκαιον vulg.

runt, sententiamque mutarunt; praecipue vero ipsos eo adduxit, quod metuerent ne si quando ad Persas desciscerent, recta etiam de Deo opinione religioneque sua privarentur. Postquam igitur Phartazis sententia vicit, statim optimi quidam nobilissimique Colchicae gentis viri delecti sunt, qui Iustiniano Imperatori, quae in Gubazem perpetrata essent nuntiarent, omnemque ei fraudem detegerent; quodque ille quidem Persarum partibus nunquam studuisset, neque adversus Romanos aliquid esset molitus; Martinus vero et Rusticus, quod illos prae ignavia vecordiaque frequenter errantes merito increparet eisque succenseret, hanc ipsi calumniam struxissent, et innocentem trucidassent. Supplices itaque Imperatorem orarunt, ut defuncti manibus hoc gratificaretur; nihil vero aliud dixerunt, quam ut facinus illud impunitum ne relinqueret, regemque sibi designaret non alienigenam aliquem, neque peregrinum, sed Tzathem iuniorem Gubazae fratrem, qui tum temporis Byzantii degebat, utque ita ipsis denuo patria lex conservaretur, et regii generis iam inde ab antiquo continuata sibique constans et inviolata successio. Imperator itaque (aequum enim id ipsi videbatur et iustum) quam citissime eorum petitioni satisfecit, et Athanasium, unum ex primariis senatoribus, qui accurate in factum inquireret, et de eo ex

ἐς τὸ ἀκριβὲς, καὶ κατὰ τοὺς Ῥωμαίων νόμους κρινοῦντα. [A. C. 554] καὶ δὴ παραγενόμενος, Ῥούστικον μὲν εὐθὺς ἐς Ἀψαροῦντα [I. I. 28] ἔστειλε τὴν πόλιν, καὶ τῷ ἐκείνῃ δεσμωτηρίῳ ἐγκαθείρξας ἐφρούρει· Ἰωάννῃ δὲ τῷ βασιλέα μὲν φενακίσαντι, αὐτουργῷ δὲ τοῦ μιάσματος γεγενημένῳ, ἀποδράσαντί πως ἐν τῷ τότε λαθραιότατα, καὶ φυγῇ τὴν σωτηρίαν καρπώσασθαι πειρωμένῳ, ἀλλ' ἐκείνῳ γε τῷ Ἰωάννῃ ἐπὶ τοῖσδε πορευομένῳ ὑπαντιάζει, οὕτω παρασχὸν, ὁ Μετριανὸς, (εἷς δέ γε ἦν οὗτος τῶν ἀμφὶ τὰ βασίλεια δορυφόρων, οὓς δὴ Σκρίβωνας ὀνομάζουσιν· [P. 90] ἔσταλτο δὲ αὐτόσε τούτου δὴ ἕνεκα, ἐφ' ᾧ ἐξυπηρετήσασθαί τε τῷ Ἀθανασίῳ, καὶ ἅττα ἂν ὑπ' ἐκείνου κριθείη τόνδε ταῦτα ἐπιτελέσαι·) ξυλλαβὼν δὴ οὖν ὁ Μετριανὸς τὸν Ἰωάννην, παρὰ τὸν διαιτητὴν ἀπεκόμισεν. ὁ δὲ καὶ τοῦτον ἐς Ἀψαροῦντα ἐξέπεμψεν, ἐν εἱρκτῇ τε καὶ ποδοκάκῃ μενοῦντα, ἕως ὁ ἐν ποσὶν ἀγὼν διανυσθείη.

ιε'. Ἅμα γὰρ τῷ ἦρι ἀρξαμένῳ παρῆν ὁ Ναχοραγὰν ἐς [A. C. 555] Μουχείρισιν, καὶ αὐτίκα τά τε στρατεύματα ἤθροιζε, καὶ [I. I. 29] πλείστῃ ὅσῃ χρώμενος προθυμίᾳ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. τοιγάρτοι καὶ οἱ Ῥωμαῖοι ἀμφὶ τὴν Νῆσον ἀγειρόμενοι παρεσκευάζοντο, καὶ τὰ τῆς κρίσεως εἰκότως ἀνεκόπτετο. τί γὰρ ἂν αὐτοῖς ἐν τῷ τότε προὐργιαίτερον κατεφάνη τῆς περὶ τὸν πόλεμον εὐκοσμίας; ἤδη δὲ καὶ ὁ Τζάθης ἅμα Σωτηρίχῳ τῷ [B] στρατηγῷ ἐκ Βυζαντίου ἀφῖκτο, τήν τε πατρῴαν ἀρχὴν καὶ

2. ἐς om. R. 8. Μετριανὸς R. et Intpr., Μαστριανὸς vulg. 9. Σκρίβονας Lugd. 10. τοῦ δὴ R. 12. Μαστριανὸς vulg. 14. μενοῦντας R. 17. ἠθροίζετο R. 22. *Sotirem* ubique vocat Intpr. τῷ om. R. 23. πατρῴου R. et in mg. ἀδελφοῦ.

praescripto Romanarum legum sententiam ferret. Qui cum advenisset, Rusticum quidem statim Apsarunten misit, atque in illius urbis carcere custodiri iussit. Ioanni vero, qui regem fefellerat, et tum temporis admodum clam se inde surripuerat, et fuga salutem parere nitebatur; huic, inquam, Ioanni, qui hac de causa se in iter dederat, forte fortuna obvius est factus Metrianus, unus e regiis satellitibus, quos Scribonas vocant, missus autem erat illuc, ut Athanasium ministraret, et quae ille iudicasset exsequeretur. Metrianus itaque eum apprehensum ad iudicem Athanasium duxit, qui etiam hunc Apsarunten misit, ut ibi in carcere et cippo haereret tantisper dum disceptatio iudicialis, quae iam apparabatur, esset absoluta.

15. Statim enim ineunte vere Nachoragan Muchirisim venit, et confestim copias coegit, quantaque poterat diligentia se ad bellum comparabat. Nihilo secius vero etiam Romani circum Insulam congregati, sese summa vi apparabant; et iudicium merito protrahebatur. Quid enim ipsis eo rerum statu maiori curae esse debebat, quam res ad bellum necessarias quam optime constituere?

A. C. 555 τὰ ταύτης παράσημα πρὸς τοῦ βασιλέως Ῥωμαίων, ἥπερ ἐκ
I. I. 29 παλαιοῦ νενόμισται, δεδεγμένος. εἰσὶ δέ γε ταῦτα στέφανος
χρυσοῦς λιθοκόλλητος, καὶ χιτώνιον ποδῆρες ὑπόχρυσον, πέδιλά τε κοκκοβαφῆ, καὶ μίτρα ὁμοίως χρυσῷ τε καὶ λίθοις πεποικιλμένη. χλαμύδα δὲ ἁλουργῆ τοῖς βασιλεῦσι τῶν Λαζῶν οὐ θέμις ἀμπίσχεσθαι, λευκὴν δὲ μόνον· οὐ μέντοι παντάπασί γε κοινὴν οὕτω καὶ εἰθισμένην, ἀμφὶ γὰρ τὸ μεσαίτατον ἐκείνη χρυσῷ ὑφάσματι ἑκατέρωθεν καταλάμπεται. βασιλικὸν δὲ καὶ
C τὸ ἐμπερόνημα τῆς χλαμύδος, λίθοις τε ἐκκρεμέσι καὶ τῇ ἄλλῃ κατασκευῇ διαπρέπον. ἐπιβάντα δὴ οὖν τὸν Τζάθην τῆς ὑπηκόου καὶ τῇ βασιλείῳ στολῇ κεκοσμημένον, αὐτίκα οἵ τε στρατηγοὶ καὶ ἅπας ὁ τῶν Ῥωμαίων στρατὸς δεξιούμενοί τε καὶ τὰ εἰκότα γεραίροντες προηγοῦντο, ἐξωπλισμένοι ὡς εὐπρεπέστατα, καὶ ἐπὶ τῶν ἵππων οἱ πλεῖστοι ὀχούμενοι. οἱ δὲ Λαζοὶ ἐς τὸ χαῖρον μεταβαλόντες, καὶ μόλις ἀποπαυσάμενοι τῆς ἀνίας, στοιχηδὸν οἱ παρωμάρτουν, σάλπιγγές τε πανταχόθεν ἐπήχουν, καὶ τὰ σημεῖα ἐς ὕψος ἐπῆρτο. καὶ ἦν ἡ πομπὴ φαιδρά τε ἐπιεικῶς καὶ γαυροτάτη, καὶ πλέον ἢ κατὰ
V. 65 τὴν Λαζῶν βασιλείαν ἐξωγκωμένη. Τζάθης μὲν οὖν ἐς τὴν ἀρχὴν καταστὰς, ἔταττεν ἕκαστα τολοιπὸν, καὶ διεκόσμει
D τὸ ὁμόφυλον, ὡς αὐτῷ τε ἦν βουλομένῳ, καὶ ὁ πάτριος ὑπηγόρευεν τρόπος. Σωτήριχος δὲ ὁ στρατηγὸς αὐτίκα εἴχετο

1. πρὸς τῶν et paulo infra καθαλάμπεται et Τζάτην Sph. Par. 8. καὶ add. ex R. 13. εὐπρεπέστατον R. 16. σάλπιγγες R., σάλπιγγα vulg. πανταχόθεν R., πάντοθεν vulg. 19. εἰς codd. et edd.

Iam vero etiam Tzathes una cum Soterícho Byzantio advenerat, paterno regno eiusque insignibus a Romanorum Imperatore veteri more ac ritu acceptis. Sunt autem haec corona aurea pretiosis distincta lapidibus, et palla ad talos demissa, auro intertexta, calcei murice tincti, et mitra similiter auro et lapidibus variata. Chlamydem vero purpuream Lazorum regibus gestare fas non est, sed tantum albam, non tamen omnibus communem et consuetam. Circa medium enim illius aureum quoddam textum utrinque resplendet; regia etiam fibula chlamydis, lapidibus aureis inde pendulis alioque apparatu insignis. Ingredientem itaque iam suam ditionem Tzathem et regio habitu ornatum, confestim praefecti et universus exercitus Romanus salutantes debitisque honoribus afficientes, ei praeibant, splendidissimis armis induti, et equis plerique vecti. Lazi vero ad laetitiam conversi, aegre tandem deposito moerore, seriatim ipsum deducebant, tubis omni ex parte clangentibus, et signis in altum sublatis; eratque pompa splendida admodum atque magnifica, et magis quam Lazorum regnum fert fastuosa. Tzathes itaque iam regno inauguratus, administrabat deinceps omnia gentemque suam regebat, prout sibi visum erat et patrius mos suadebat. Sotérichus

τῆς πορείας, ἐφ' ἥπερ καὶ ἔσταλτο. χρυσίον γὰρ ἐκ βασιλέως A.C. 555
ἐκόμιζεν, ἐφ' ᾧ τοῖς προσοίκοις βαρβάροις κατὰ τὸ ξυμμαχικὸν L. I. 29
διανέμοι, εἰθισμένον γε τοῦτο ἐκ πλείστου καὶ ἀν' ἔτος γιγνό-
μενον. εἵποντο δὲ αὐτῷ καὶ τῶν παίδων οἱ πρεσβύτεροι, Φι-
λάγριός τε καὶ Ῥωμύλος, ὡς ἂν εὐθὺς ἀφ' ἑστίας μοχθεῖν
ἐν δέοντι παιδευθεῖεν, ἐπεὶ καὶ ἐς ἥβης μέτρον ἤδη ἄμφω
ἐληλυθέτην, καὶ ἤστην οἵω διαπονεῖσθαι. ὁ γὰρ δὴ τρίτος
αὐτῶν, Εὐστράτιος, ἐν Βυζαντίῳ ἐλέλειπτο, νέος γε ὢν ἔτι
κομιδῇ, καὶ ἄλλως τὸ σῶμα οὐ ῥωμαλέος. ὡς δὲ ἐς τὴν τῶν P. 91
καλουμένων Μισιμιανῶν χώραν ὁ Σωτήριχος ἀφίκετο, οἳ δὴ
κατήκοοι μὲν τοῦ βασιλέως τῶν Κόλχων τυγχάνουσιν ὄντες
καθάπου καὶ οἱ Ἀψίλιοι, γλώττῃ δὲ ὅμως χρῶνται ἀποκε-
κριμένῃ καὶ νόμοις ἑτέροις· εἰσὶ δὲ τούτου δὴ τοῦ Ἀψιλίων
γένους βορειότεροι, καὶ τετραμμένοι ἠρέμα ἐς ἥλιον ἀνιόντα.
ἐπειδὴ οὖν ἐς τούσδε παραγέγονεν, ἔννοιά τις αὐτοὺς εἰσῆλ-
θεν, ὡς ἄρα ἕν τι τῶν σφετέρων φρουρίων ἀμφ' αὐτὰ δὴ τὰ
Λαζῶν ὅρια ἱδρυμένον, ὃ δὴ Βούχλοον ὀνομάζουσιν, τοῦτο
δὲ ὅγε βούλοιτο τοῖς Ἀλανοῖς καταπροέσθαι, ὡς ἂν οἱ τῶν
ἐθνῶν πρέσβεις τῶν ἀπωτέρω οἰκούντων, αὐτοῦ ἀγειρόμενοι,
τὸν μισθὸν ἀποφέροιντο, καὶ μηκέτι ἀνάγκη τις εἴη τῷ τὰ
χρήματα παρεχομένῳ τὰς τοῦ Καυκάσου περινοστεῖν ὑπω- B
ρείας, καὶ αὐτὸν ἐπ' ἐκείνους ἰέναι.

3. διανέμοι R., διανέμει vulg. 7. ἤσθην Sph. Par. 8. Εὐστράτης R., Intpr. *Estratius*. 10. *Misiani* sunt apud Intpr. et infra in Exc. Bav. 17. Βούχλοος R. 21. Pro περινοστεῖν R. πέρι, sed in mg. περᾷν. 22. καὶ om. R.

autem praefectus statim iter, ad quod missus erat, arripuit. Adferebat enim pecuniam a rege, quam finitimis barbaris bellicae societatis causa distribueret; quod quidem et a multo tempore est usitatum et quotannis fit. Comitabantur vero ipsum ex filiis duo maiores natu, Philagrius et Romulus; ut statim domo egressi moderatis laboribus adsuescerent, siquidem ambo iam ex ephebis excesserant, et labori ferendo pares erant. Tertius enim illorum, Eustratius, Byzantii relictus erat, quod et adhuc admodum esset iuvenis, et corpore insuper nequaquam valido. Posteaquam autem ad Misimianorum ditionem pervenit Soterichus, (qui quidem Colchorum regi parent, ut et Apsilii, diversa tamen utuntur lingua aliisque legibus; sunt vero hi Apsiliorum gente borealiores et ad orientem solem nonnihil vergentes,) ad hos, inquam, cum venisset, cogitatio quaedam ipsis incidit, quod utique unum quoddam ex ipsorum propugnaculis circa ipsos Lazorum fines situm, Buchloum vocatum, Alanis prodere vellet, ut gentium, quae remotius habitarent, legati ibi congregati stipendia deferrent, neque amplius necessitas ulla esset, ut, qui pecunias adferret, Caucasi montis radices circumiret, ipseque ad illos iret.

A. C. 555 I. I. 29 ις'. Ταῦτα δὴ οἱ Μισιμιανοὶ εἴτε γνόντες, εἴτε καὶ ὑποτοπήσαντες, στέλλουσιν ἄνδρας δύο τῶν παρὰ σφίσι λογίμων, Χάδον ὄνομα καὶ Θυάνην. οἱ δὲ εὑρόντες αὐτὸν ἀγχοῦ που ἐκείνου δὴ τοῦ ἐρύματος ἐναυλιζόμενον, καὶ πλέον ἐς τὴν δόκησιν ἐπιῤῥωσθέντες, „ἀλλ' οὐ δίκαια δράσειν ἡμᾶς" ἔφασαν „ὦ στρατηγὲ, διενοήθης· χρὴ γάρ σε μηδὲ ἄλλῳ τῳ ἐφιέναι τὰ ἡμέτερα παραιρουμένῳ, μήτι γε καὶ αὐτὸν οὕτως ἐθέλειν. εἰ δέ σε ὡς ἀληθῶς μὴ ταῦτα ἀρέσκει, ἄγε ὅπως ἐνθένδε C ὡς τάχιστα μεταβὰς, ἐν ἑτέρῳ ἀποδιατρίψεις χωρίῳ, καί σε τὰ ἐπιτήδεια ἥκιστα ἐπιλείψουσιν, ἀλλ' ἡμεῖς ἅπαντα οἴσομεν. ἐνταῦθα γάρ σοι οὐ μενετέα παντάπασιν, οὐδὲ ἀνεξόμεθά σου μέλλοντος ἐς τόδε καὶ σκηπτομένου." οὕτω δὲ αὐτῶν αὐθαδιαζομένων, οὐκ ἀνεκτὰ ἡγησάμενος ὁ Σωτήριχος, εἰ τοῖς τῶν Κόλχων κατηκόοις ἐξείη κατὰ Ῥωμαίων θρασύνεσθαι τῶν ὑφ' οὓς οἱ Κόλχοι τετάχαται, παρακελεύεται τοῖς ὀπαδοῖς παίειν αὐτοὺς αἷς ἐπεφέροντο βακτηρίαις. οἱ δὲ καθίκοντο αὐτῶν ἀφειδῶς, καὶ ἐς τοὐπίσω ἡμιθνῆτας ἀπέπεμψαν. τούτου δὲ γεγενημένου, Σωτήριχος μὲν ᾤετο μηδὲν ἀντίπαλον ἔσεσθαι, ἀλλ' ὥσπερ ἀμέλει οἰκέτας οἰκείους ἡμαρτηκότας διαχειρισάμενος, καὶ οὐδὲν ὁτιοῦν εὐλαβητέον αὐτῷ, ἔμενέ τε κατὰ χώραν, καὶ εἶτα, νυκτὸς ἐπιγενομένης, ἐκάθευδε σφόδρα D ἀδεῶς καὶ ἀφυλάκτως· οὕτω δὲ οἵ τε παῖδες καὶ οἱ δο-

4. αὐλιζόμενον R. 5. δίκαι δρᾶσαι R. 7. οὕτω R. 9. ἀποδιατρίψεις R., ἀποδιατρίψῃς vulg. 10. λείψουσιν R. 14. ἐξείη R., ἐξῆει vulg. 17. Pro καὶ R. οὓς. 18. ᾤετο μηδὲν ἀντίπαλον R., οὐδὲν ἀντ. ᾤετο vulg.

16. Haec cum Misimiani sive cognovissent sive suspicati essent, duos ex suis insignes viros, Chadum nomine et Thuanem, mittunt, qui cum ipsum reperissent iuxta illud propugnaculum stationem habentem, suspicione validius confirmata: „Iniuria, inquiebant, nos afficere cogitas, praefecte. Oportet enim te neque alteri cuiquam permittere, ut nostra nobis adimant, nedum ipsum hoc velle. Si vero hoc tibi propositum non est, fac age ut quam citissime hinc discedens alio in loco commoreris. Neque tibi defutura sunt necessaria, sed nos omnia deferemus. Hic enim nullo modo tibi est manendum, neque feremus te hic moras trahentem et tergiversantem." Ipsis vero ita procaciter loquentibus, Soterichus nequaquam tolerandum ratus, si Colchorum subditis ita adversus Romanos, quibus parent, liceret ferocire, stipatoribus suis mandat ut baculis, quos gestabant, eos caederent. Qui atrociter in ipsos invecti, semineces remiserunt. Quibus peractis, Soterichus quidem nihil hostile eventurum ratus, et perinde fere ac si servos suos delinquentes plagis excepisset, nihil inde sibi verendum existimans, eo loci mansit; et deinde oborta nocte valde intrepide absque ullis excubiis ibi dormivit: similiter vero et

ῥυφόροι καὶ ὁπόσον ἄλλο αὐτῷ θητικὸν εἵπετο ἢ καὶ δοῦλον, A. C. 555
ἐκμελέστερον καὶ οὗτοι ἅπαντες ἢ ὡς ἐν πολεμίων κατεσκη- I. I. 29
νημένοι, ἀνεπαύοντο. ἐν τούτῳ δὲ οἱ Μισιμιανοὶ, τὴν ὕβριν
οὐκ ἐνεγκόντες, ἐπιφοιτῶσιν αὐτοῖς καρτερώτατα ἐξωπλισμέ-
νοι, καὶ αὐτίκα ἐπὶ τὸ δωμάτιον χωρήσαντες, οὗ δὴ ὁ στρα-
τηγὸς ἀνεκέκλιτο, κατακτείνουσι προτέρους τοὺς παρευναστῆ-
ρας τῶν θεραπόντων. θορύβου δὲ, ὥσπερ εἰκὸς, καὶ πατάγου
πολλοῦ κινηθέντος, ξυναίσθησις μὲν τοῦ κακοῦ αὐτῷ τε Σωτη-
ρίχῳ καὶ τοῖς ἀμφ' αὐτὸν ἅπασιν ἐγίγνετο· καὶ τοίνυν ὑπὸ
δέους ἐκ τῶν εὐνῶν ἀνεπάλλοντο, ἔτι δὲ τῷ ὕπνῳ καρηβαροῦν-
τες καὶ παρειμένοι, ἀμύνεσθαι αὐτοῖς οὔ τι μάλα παρῆν. οἱ P. 92
μὲν γὰρ ταῖς σισύραις τὼ πόδε περιελιττόμενοι, εἴργοντο τῆς
πορείας, οἱ δὲ καὶ ἤδη ἐπὶ τὰ ξίφη ὁρμήσαντες, καὶ σχεδιά-
ζειν πειρώμενοι τὰ πολέμια, ἀλύοντες ἦσαν οἰκτρότατα οἷα
ἐν σκότῳ καὶ ἀπορίᾳ, ἔστε τοὺς τοίχους περιῤῥηγνύμενοι, καὶ
ὅπη ἐτύγχανον κείμενα τὰ ὅπλα ἐπιλελησμένοι· ἔνιοι δὲ αὐτῶν
καὶ τῷ ἤδη ξυνειλῆφθαι ἀπειρηκότες, οὐδενότι ἐμηχανῶντο, V. 66
ἐβόων τε μόνον ἄλλος ἄλλοθι καὶ ὠλοφύροντο, οὐκ ἔχοντες ὅ, τι
καὶ δράσαιεν. οὕτω δὲ αὐτῶν καταπεπληγμένων, ἐπεισπεσόν-
τες οἱ βάρβαροι αὐτόν τε Σωτήριχον κατακτείνουσι καὶ τοὺς
παῖδας καὶ πρός γε ξύμπαντας τοὺς ἄλλους, πλὴν εἰ μή τις B

1. *ὁπόσον ἄλλο αὐτῷ* R., *ὅσον αὐτῷ ἄλλο* vulg. 2. *ἐν πολεμίων* R., *ἐν πολεμίᾳ* vulg. 9. *ἐγίγνετο* R., *ἐγένετο* vulg. 12. *σισύραις* R., *σκύραις* vulg., Intpr. *veste oblonga.* 14. *ἀλύοντες* scripsi pro vulg. *ἁλόντες*, *ἀλόντες* R., Intpr. *errabundi divagabantur*, quasi legerit *ἀλώμενοι.* Num *ᾔεσαν*? Universum locum emendatione egere perspicio, satis probabilem invenio nullam. 15. *περιρηγν.* R.

filii et satellites, et quotquot eum domestici famuli et servi sequebantur, etiam hi omnes securius, quam in hostili terra conveniebat, dormiebant. Interea vero Misimiani, iniuriam acceptam non ferentes, validissime armati in eos irruunt, statimque in domunculam, in qua cubabat praefectus, irrumpentes, proxime accubantes famulos obtruncant. Tumultu itaque, uti par est, strepituque ingenti excitato, sensus mali ad Soterichum reliquosque qui ipsi aderant omnes pervenit. Quocirca cum prae metu lectis excussi, somno tamen adhuc praegravati et languidi essent, non admodum sese tueri poterant; alii enim cum pedes pellibus involutos haberent, incessu prohibebantur; alii vero cum iam ad enses arripiendos proruerent, et tumultuarium conflictum tentarent, errabundi miserrime ferebantur, utpote in tenebris et summa consilii inopia, in parietes impingentes, et ubinam arma deposuissent obliti. Nonnulli vero ipsorum eo quod iam oppressi essent desperantes, nihil plane attentabant, clamabant tantum alius alibi atque eiulabant, ignari quid agerent. Sic itaque perculsis ipsis, barbari irruentes et Soterichum ipsum obtruncant

A.C. 555 I. I. 29 ἔκ τινος τυχὸν ἁλάμενος ὀρσοθύρης ἢ καὶ ἑτέρῳ ὁποίῳ δὴ τρόπῳ λαθὼν διεσώθη. ταῦτα δὲ δράσαντες οἱ ἀλιτήριοι, ἐσκύλευσαν τοὺς κειμένους, τά τε ἄλλα ὁπόσα ἐπήγοντο κτήματα, καὶ πρός γε τὸ βασιλέως ἀφελόμενοι χρυσίον, καθάπερ τινὰς πολεμίους ὡς ἀληθῶς, ἀλλ' οὐχὶ φίλους τε καὶ ἡγεμόνας ἀπεκτονότες.

ιζ. Ἐπεὶ δὲ αὐτοῖς τὰ τῆς μιαιφονίας ἀπείργαστο, καὶ τὸ ἀνοιδαῖνον τέως τῆς γνώμης καὶ ὀργιζόμενον, τῷ ἀποπλησθῆναι τὴν ἐπιθυμίαν, ὑποχαλᾶν ἐδόκει καὶ περιστέλλεσθαι, τότε δὴ μόνον τὸ πραχθὲν ἐφ' αὐτῷ διασκοποῦντες, ἀνελογίζοντο, καὶ ξυνίεσαν ὁποῖος αὐτοῖς ἀνέῤῥιπτο κύβος, ὅτι τε οὐκ ἐς μακρὰν ἥξουσιν οἱ Ῥωμαῖοι τιμωρησείοντες, καὶ ὅτι αὐτοὺς ἐκεῖνοι οὐχ ὑποστήσονται. τοιγάρτοι ἀναφανδὸν C ἀποστάντες, προσεχώρουν τοῖς Πέρσαις, καὶ ἐπρεσβεύοντο, ὑποδέχεσθαί τε σφᾶς αἰτούμενοι, καὶ ὡς δὴ κατηκόοις τολοιπὸν ἐπαρήγειν. τούτων δὲ ἁπάντων τοῖς τῶν Ῥωμαίων στρατηγοῖς ἀπηγγελμένων, ἐχαλέπαινον μὲν οἵγε καὶ ἐδυσφόρουν, τίσασθαι δὲ παραυτίκα τοὺς Μισιμιανοὺς οὐ μάλα ἠδύναντο, πιεζόμενοι τῇ περὶ τοῦ μείζονος ἀσχολίᾳ. ἤδη γὰρ ὁ Ναχοραγὰν ἑξήκοντά που χιλιάδας μαχίμων ἀνδρῶν ἐπαγόμενος, ἐπὶ τὴν Νῆσον ἐφοίτα, ἵνα Μαρτῖνός τε καὶ Ἰουστῖνος ὁ Γερμανοῦ

1. ὀρσοθύρης R., ὀρσοθύρας vulg. 8. τέως om. R. et Intpr. 10. τότε δὴ R. ἐφ' αὐτῷ R., ἐφ' ἑαυτῷ vulg. 11. ἀνέῤῥιπτο correxi, ἀνέῤῥιπται R., ἐνέῤῥιπτο vulg. 12. τιμωρησείοντες R., τιμωρήσοντες vulg. 17. ἀπηγγεμένων sph. Par. 20. Pro ἀνδρῶν R. Περσῶν. 21. Ἰουστῖνος R. et Intpr., Ἰουστινιανὸς vulg.

et filios et reliquos omnes, nisi quis forte per editiorem aliquam ianuam aut alio aliquo modo clam evasisset. Haec cum scelerati perpetrassent, mortuos spoliarunt, reliquaque omnia eorum bona, et praeterea etiam regiam pecuniam diripuerunt, cum eos tanquam hostes quosdam revera, non autem ut amicos et duces suos, interfecissent.

17. Posteaquam vero peracta iam atroci hac strage excandescentia illa animorum atque ira videbatur deferbuisse sedataque esse, expleto nimirum pravo ipsorum desiderio; tum nudum in se factum considerantes, secum reputarunt atque intellexerunt, qualis alea ipsis esset iacta; quodque non multo post Romani essent venturi idque ulturi; neque ipsi illorum vim sustinere possent. Quocirca aperta defectione facta, Persas adierunt et oratores miserunt, postulantes ut ipsos tuendos susciperent, et tanquam subditis deinceps opitularentur. Haec vero omnia posteaquam Romanorum praefectis sunt renuntiata, indigne quidem ea molestissimeque tulerunt, ulcisci tamen e vestigio non satis poterant, occupatione circa maioris momenti rem praepediti. Iam enim Nachoragan sexaginta bellatorum millia ad Insulam ductabat, quam Martinus et Iustinus Germani

καὶ τὰ ἀμφ' αὐτοὺς στρατεύματα ἐτύγχανον ξυνειλεγμένα· οἱ A. C. 555
δὲ ἐκ τῶν Οὔννων μισθοφόροι, τῶν δὴ Σαβείρων ὀνομαζομέ- I. I. 29
νων, (παρῆσαν γὰρ τοῖς Ῥωμαίοις ὁπλιτῶν ἀπόμοιρα οὐ πολ- D
λῷ ἐλάσσους τῶν δισχιλίων· ἡγοῦντο δὲ αὐτῶν Βαλμὰχ τε
καὶ Κούτιλζις καὶ Ἴλιγερ, ἄνδρες τῶν παρὰ σφίσιν ὀνομα-
στοτάτων,) οὗτοι δὴ οὖν οἱ Σάβειροι ἀμφὶ τὴν Ἀρχαιόπολιν
καὶ τὰ ἐκείνῃ πεδία, προστεταγμένον αὐτοῖς ὑπὸ Μαρτίνου,
ἐστρατοπεδεύσαντο, ἐφ' ᾧ τοὺς πολεμίους (ἐνθένδε γὰρ ἤμελ-
λον διαβήσεσθαι) ὡς ἂν οἷοί τε εἶεν πημαίνοντες, χαλεπωτέ-
ραν αὐτοῖς καὶ σφαλερωτέραν ποιήσοιντο τὴν πορείαν. ὁ δὲ
Ναχοραγὰν, ἐπειδὴ ἐς τοῦτο τετάχθαι τοὺς Σαβείρους ἐπέ-
πυστο, ἀπολεξάμενος ἐκ τῶν ξυστρατευομένων Διλιμνιτῶν
ἄνδρας ἐς τρισχιλίους, αὐτίκα ἐπ' αὐτοὺς ἔστειλε, παρακε-
λευσάμενος (ἦν γὰρ ἀλαζὼν καὶ ὑψηγόρος) ἄρδην ἅπαντας
διαφθεῖραι, ὡς ἂν μὴ οἱ ἰόντι ἐπὶ τὸν πόλεμον ὄπισθεν ἐκεῖ- P. 93
νοι ἐφεδρεύοντες ὑπολειφθεῖεν· οἱ δὲ Διλιμνῖται, μέγιστον
ἔθνος τῶν ἐντὸς Τίγρητος ποταμοῦ τῇ Περσίδι χώρᾳ προσοι-
κούντων, μαχιμώτατοί τέ εἰσιν ἐν τοῖς μάλιστα, καὶ οὐ λίαν
τοξόται καὶ ἑκηβόλοι, ὥσπερ ἀμέλει οἱ πλεῖστοι τῶν Μήδων.
ξυστούς τε γὰρ ἐπιφέρονται καὶ σαρίσσας, καὶ ξίφος ἐκκρεμὲς
ἀπὸ τοῦ ὤμου· μαχαιρίδα τέ τινα ἐλαχίστην τῷ λαιῷ βραχίονι
ἀναδούμενοι, ἀσπίδας καὶ πέλτας προβέβληνται· φαίης τε ἂν

4. *Bamalch Cupilsesque et Lager* Intpr. 10. σφαλερωτέραν R., σφαλερωτάτην vulg. 12. συστρ. R. 15. οἱ ἰόντι correxi, οἱ ὄντι R., οἷόν τι Lugd. ed. pr., Intpr. *sibi, quum acie decerneretur,* ἰόντι sine οἱ Par. 17. Πίγρητος R., Intpr. *Pigritum flumen.*

filius eorumque copiae insidebant; milites autem mercenarii natione Hunni, qui Sabiri vocantur, (aderat enim Romanis militum gravioris armaturae portio duorum circiter millium; quos ductabant Balmach et Coutilsis et Iliger, celebratissimi apud illos viri,) hi itaque Sabiri circa Archaeopolim et circumiacentes campos, prout ipsis Martinus mandarat, castra posuerant; ut hostes (videbantur enim illac transituri) quoad possent infestarent, et difficiliorem magisque periculosum ipsis transitum redderent. Nachoragan vero postquam Sabiros ea loca insedisse cognovit, delecta ex auxiliariis Dilimnitarum copiis virorum tria millia confestim in eos misit, cum mandatis (erat enim arrogans et iactabundus) ut omnes penitus interficerent, ne sibi ad proelium eunti illi a tergo insidiantes relinquerentur. Dilimnitae autem, maxima natio earum, quae intra Tigrim fluvium Persiam accolunt, bellicosissimi in primis sunt, neque admodum sagittarii, aut eminus ferientes, quemadmodum fere plerique Medorum; hastas enim gestant et sarissas et ensem ex humero dependentem; pugionem praeterea sinistro brachio alligantes, scuta et peltas praetendunt; dixeris sane eos neque omnino levioris armatu-

A. C 555 αὐτοὺς οὔτε παντάπασι ψιλοὺς, οὔτε μὲν οὖν ὁπλίτας καὶ ἀγ-
I. L. 29 χεμάχους. πόῤῥωθέν τε γὰρ οὕτω τυχὸν ἀκοντίζουσι, καὶ ἐκ
B χειρὸς αὖ διαμάχονται, ἀγαθοὶ δὲ καὶ συῤῥάξαι φάλαγγι πολεμίᾳ, καὶ ὠθισμῷ χρώμενοι τὰς πυκνώσεις διαῤῥηγνύναι, ἔς τε τὸ μετατάξασθαι εὐπετεῖς, καὶ ἁρμοσθῆναι τῷ προσπεσόντι. αὐτοὶ δὲ καὶ ἐς τὰ προσάντη γεώλοφα ῥᾳδίως ἀναθέοντες, προκαταλαμβάνουσι τὰ ὑπερδέξια τῶν χωρίων, τρεπόμενοί τε ὠκύτατα διαφεύγουσι, καὶ ἐπιόντες ἑτέροις ἐμμελέστατα ἐς τὴν δίωξιν ἔγκεινται, καὶ σχεδόν τι ἅπασαν ἰδέαν πολέμου μετιόντες καὶ ἐξησκημένοι, μέγιστα σίνονται τοὺς ἀντιπάλους· ὡς δὲ ἐπιπλεῖστον ξυμπολεμεῖν τοῖς Πέρσαις εἰώθασιν, οὐ μὴν ἠναγκασμένοι, ὥσπερ κατήκοοι. αὐτόνομοί τε γάρ εἰσι καὶ ἐλεύθεροι, καὶ ἄγεσθαι ὑπό του πρὸς βίας οὐ πεφυκότες.

C ιή. Τούτων δὴ οὖν τῶν Διλιμνιτῶν ὁ ἀποδασμὸς, νυ-
V. 67 κτὸς ἐπελθούσης, κατὰ τῶν Σαβείρων ἐχώρουν, ἄμεινον εἶναι δοκοῦν, ἔτι καθεύδουσιν αὐτοῖς ἐπιστῆναι, οὕτω τε ἅπαντας εὐκολώτερον κατακτεῖναι· καὶ, οἶμαι, οὐκ ἂν διήμαρτον τῆς ἐλπίδος, εἰ μή τις αὐτοὺς ἔσφηλε τύχη. ἰόντες γὰρ δήπου ἐς τοῦτο, ἀνήρ τις αὐτοῖς Κόλχος ἐν σκότῳ καὶ ἐρημίᾳ, ᾧδέ πως ξυνενεχθὲν, ὑπαντιάζει· καὶ τὸν ἀσμενέστατα ξυλλαβόντες, ἀναγκάζουσι τῆς ἐπὶ τοὺς Σαβείρους ἡγεῖσθαι πορείας. ὁ δὲ προθυμότατα ὑποστὰς τὸ ἐπίταγμα, καὶ ἤδη προπορευόμενος,

1. Pro μὲν οὖν R. μόνον. 3. ἂν διαμάχωνται R. 8. ἑτέροις correxi, ἑτέρας R., ἑτέρως vulg. 9. ἰδέαν πολέμου R., πολ. ἰδ. vulg. 11. ὡς δὴ Par. 17. εὐκολώτερον R., Intpr. *facilius*, εὐκολώτατα vulg.

rae esse, neque prorsus gravioris, et statarios milites; nam et eminus, si ita res postulet, tela iaciunt, et cominus manu rem gerunt; exercitati etiam ad infesta acie proeliandum, summaque vi densa agmina perrumpendum; expediti quoque et faciles in mutanda aciei forma, et ad quemvis eventum sese accommodandi; facile etiam arduos colles cursu superantes, editiora loca praeoccupant, celerrimeque cum opus est refugiunt, rursusque conversi acerrime insectantur atque urgent, atque in omni fere belli specie versati exercitatissimique gravissime hostes laedunt; iamdudum enim bello assuerunt, iampridem sub Persis militantes, non tamen coacti tanquam subditi. Liberi enim sunt suique iuris, neque ad alicuius arbitrium per vim trahi consueverunt.

18. Horum itaque Dilimnitarum portio quaedam, cum iam nox esset, in Sabiros ivit; consultius enim ipsis videbatur, si eos adhuc dormientes invaderent, atque ita facillime omnes trucidarent; neque, opinor, frustrati fuissent sua spe, nisi quaedam ipsos fortuna fefellisset. Nam ipsis ad hoc euntibus vir quidam Colchus in tenebris et solitudine forte fortuna fit obvius, quem illi statim avidissime apprehensum, ut itineris ad Sabiros ducem se

ἐπειδὴ νάπης τινὸς λασίας ἐκύρησεν, ὑφιζάνει τε ἠρέμα καὶ A. C. 555
ὑποδύεται· οὕτω τε διαδρὰς τοὺς ἑπομένους καὶ προτερήσας, I. I. 29
ἧκε δρομαῖος παρὰ τοὺς Οὔννους· εὑρὼν δὲ ἅπαντας ἀνειμένως D
οὑτωσὶ ἀναπαυομένους καὶ ὑπορέγχοντας· „ὦ δείλαιοι" ἔφη
„αὐτίκα μάλα ἀπολεῖσθε", τορόν τι ἐμβοήσας καὶ διαπρύσιον.
οὕτω τε αὐτοὺς μόλις ἀνακαλεσάμενος ἐς ἐγρήγορσιν, ἀγγέλλει τοὺς πολεμίους ὅσον οὔπω παρεσομένους. οἱ δὲ ξὺν θορύβῳ διαναστάντες, καὶ τὰ ὅπλα περιβαλόμενοι, ἐκτὸς τοῦ χαρακώματος ἀπεχώρουν, καὶ ὑπεκρύπτοντο, διχῇ μεμερισμένοι· κατέλιπον δὲ τήν τε εἴσοδον ἀφύλακτον, καὶ οὕτω κατὰ χώραν ἑστῶτας τοὺς ἐκ τῶν ξύλων τε καὶ ἐφεστρίδων ἐσκευασμένους οἰκίσκους. οἱ δὲ Διλιμνῖται πλείστας μὲν ὅσας ἀτραποὺς τῇ ἀπειρίᾳ τῶν τόπων ἀναμετρήσαντες, πλὴν ἀλλ' ἔτι ὑπὸ τὸ
κνέφας ἐς τὸ τῶν Οὔννων στρατόπεδον ἀφιγμένοι, ἐσβάλλουσι P. 94
θαῤῥαλέοι ἐπὶ κακῷ τῷ σφετέρῳ, καὶ εἴσω ἅπαντες γίγνονται. πάταγος δὲ οὐκ ἦν, οὐδὲ βοὴ, ὡς ἂν μὴ ἐκεῖνοι ξυναίσθοιντο δῆθεν καὶ ἀφυπνισθεῖεν, ἀλλ' ἠρεμαῖοι τὰ δόρατα ἔς τε τὰς εὐνὰς καὶ τὰς καλύβας ἠκόντιζον, ὡς τοὺς καθεύδοντας ἀναιροῦντες. ἤδη τε ᾤοντο ἅπαν αὐτοῖς ἠνύσθαι τὸ ἔργον, ἀλλὰ τότε οἱ Σάβειροι ἐκ τῆς ἐνέδρας ἑκατέρωθεν ὁρμηθέντες, ἐσπίπτουσιν αὐτοῖς ἐξαπιναίως καὶ ἐπιφέρονται. οἱ δὲ ἀθρόον τῷ ἀπροσδοκήτῳ καταπλαγέντες, καὶ ἐς τἀναντία τῶν ἐλπισθέν-

3. δρομαίως R. 4. ὑποῤῥέγχ. vulg. 16. ὡς ἂν om. R.
19. ἠνύσθαι τὸ ἔργον R., τὸ ἔργ. ἠν. vulg.

praebeat, cogunt, quod quidem mandatum cum ipse libentissime subiisset, et iam eis praeiret; posteaquam densam quandam silvam fuit nactus, paulatim se ab eis recepit atque subduxit, ac tandem effugiens sequentes atque antevertens, citato cursu ad Sabiros pervenit; quos cum universos supine dormientes stertentesque reperisset, O miseri, inquit, iamiam periistis, alta claraque voce inclamans. Aegreque ipsis ita expergefactis, nuntiat hostem e vestigio adfuturum. Hi vero tumultuarie cum surrexissent seque armassent, vallo excesserunt, et bifariam divisi insidias locarunt, aditum in vallum castrorum incustoditum relinquentes, similiterque etiam tuguria passim ex palis et pellibus confecta. At Dilimnitae quamplurimas ambages viarum prae locorum imperitia emensi, nihilominus tamen ante diluculum cum ad castra Hunnorum pervenissent, confidenter suo ipsorum malo in ea irrumpunt, simulque omnes intro se recipiunt, atque ita tacite citraque ullum strepitum progressi, ne videlicet illi id persentiscerent atque expergefierent, hastas in eorum latibula et tuguriola torquent, tanquam interfecturi dormientes; et iam putabant rem totam ipsis esse confectam. Sabiri interea utrimque ex insidiis prosilientes, repente in eos irruunt; at illi subito illo atque inexspectato impetu consternati, et spe plane in

A. C. 555 των περιηγμένοι, διηπόρουν καὶ ἐταράττοντο· οὔτε γὰρ φεύ-
I. I. 29 γειν αὐτοὺς ῥᾷστα ἐνῆν ἐν ἐλαχίστῳ χωρίῳ ξυνειλημμένους,
B οὔτε μὴν ἐς τὸ ἀκριβὲς τοὺς δυσμενεῖς διαγινώσκειν, οἷα ἐν νυκτομαχίᾳ καὶ φόβῳ. τοιγάρτοι χύδην ὑπὸ τῶν Σαβείρων ἐκτείνοντο, οὐδ' ὅσον ἐς πεῖραν ἐλθεῖν ἀμυνόμενοι· καὶ ὀκτακόσιοι μὲν ἄνδρες ἔνδον ἐν τῷ στρατοπέδῳ διεφθάρησαν, οἱ δὲ ἄλλοι μόλις ὑπεκβάντες ἠλῶντο σποράδην, οὐκ ἐπιστάμενοι ὅποι χωρήσαιεν· ἤδη τε πόῤῥω που πεφευγέναι δοκοῦντες, αὖθις ἐς ταὐτὸν ἀνεκυκλοῦντο, καὶ περιέπταιον τοῖς πολεμίοις. καὶ ταῦτα μὲν τῆς νυκτὸς ἁπάσης ἐγίγνετο· ἤδη δὲ τοῦ ὄρθρου χαρασσομένου, καὶ ἡμέρας ἐπιφανείσης, αὐτίκα τῶν Διλιμνιτῶν οἱ σωζόμενοι ἐπεγίγνωσκον τὰς πορείας, καὶ ἰθὺ
C τῶν Περσικῶν ἔθεον στρατευμάτων, ἐγκειμένων σφίσι καὶ ὣς τῶν Σαβείρων. Βάβας δὲ ὁ στρατηγὸς, ὃς δὴ τῶν ἐν τῇ Κολχίδι χώρᾳ ἱδρυμένων ἐκπλείστου Ῥωμαίων ἡγεῖτο, ἀλλ' οὗτός γε ὁ Βάβας (ἐτύγχανε γὰρ ἐν τῷ τότε κατὰ τὴν Ἀρχαιόπολιν διανυκτερεύσας,) τῷ μὲν θορύβῳ καὶ τῇ βοῇ πάντοθεν περιεβομβεῖτο. ἕως δὲ σκότος ἦν καὶ ἀδηλία τῶν ποιουμένων, ὁ δὲ ἀφασίᾳ εἴχετο πολλῇ, καὶ ἔνδον ἠρέμει· ὡς δὲ, τοῦ ἡλίου ἐπαυγάσαντος τὰς ἀκρωρείας, κατεῖδε τὸ ἀτρεκὲς τῶν τελουμένων, καὶ τοὺς Διλιμνίτας ὑπὸ τῶν Σαβείρων ἐλαυνομένους, τότε δὲ καὶ αὐτὸς ἐκδραμὼν τοῦ ἄστεος ἅμα τῷ ξυμπαρόντι
D ὁμίλῳ, οὐκ ἐλάχιστόν τι αὐτῶν διεχρήσατο μέρος, ὡς μόλις

8. ὅπη R. 14. ὁ στρατηγῶν R. δὴ om. R. 15. ἀλλὰ R.

contrarium versa, in summa consilii inopia et perturbatione rerum versabantur. Neque enim facile ipsis erat fugam capessere, in arctum coactis, neque satis hostes internosse poterant, utpote cum nocte et metu conflictantes. Passim itaque a Sabiris trucidabantur, ne tentata quidem sui defensione; atque octingenti quidem viri intra castra perierunt, reliqui difficulter elapsi sparsim errabant, nescii plane quo se conferrent; cumque iam procul aufugisse viderentur, circumacti rursus et eodem relapsi, in hostes incidebant. Hoc pacto tota illa nox est transacta. Mane vero cum iam illuxisset, confestim qui supererant Dilimnitae recognitis viis recta ad Persarum castra cucurrerunt, persequentibus ipsos nihilominus tergaque prementibus Sabiris. Babas interea praefectus, qui iam inde a multo tempore Romanorum, qui Colchicam regionem insident, dux fuerat, cum per id temporis Archaeopoli pernoctasset, et tumultus ac clamor ipsum omni ex parte circumsonuisset; quamdiu tenebrae erant, et quid ageretur incertus esset, quietus tacitusque ibi subsistens, intus se continebat. Simulatque vero sol montium iugis affulsit, vere quid ageretur prospexit, Dilimnitas nimirum a Sabiris fugari. Tum itaque etiam ipse urbe effusus cum agmine, quod ad manum erat,

ἐκ τοσούτων οὔπω χιλίους τοὺς ξύμπαντας παρὰ τὸν Ναχο- A. C. 555
ραγὰν ἀφικέσθαι. I. I. 29

ιθ'. Ὁ δὲ, ἐπειδὴ τῆσδε διήμαρτεν τῆς πείρας, αὐτίκα D
ᾤχετο ἐπὶ τὴν Νῆσον, καὶ ἀγχοῦ που τῶν Ῥωμαίων στρατοπεδευσάμενος, προὐκαλεῖτο ἐς λόγους ἀφικέσθαι οἱ τὸν Μαρτῖνον. καὶ παραγενομένῳ, „σὺ δὲ" ἔφη „ὦ στρατηγὲ, ἐς τοσοῦτον ἀγχινούστατός γε ὢν καὶ φρενήρης, καὶ τῶν παρὰ Ῥωμαίοις δυνατωτάτων, εἶτα οὐκ ἐθελήσεις ἀποπαῦσαι πόνου τε καὶ δυσμενείας ἄμφω τὼ βασιλέε, ἀλλὰ μεθῆκας αὐτοὺς
οὕτω δὴ ἐπιπλεῖστον τὴν ἀλλήλων ἐπιλυμαινομένους. εἰ δὴ V. 68
οὖν νῦν γοῦν ἐστί σοι βουλομένῳ διαλλαγὰς ποιήσασθαι καὶ ξυνθήκας, ἄγε ὅπως αὐτὸς μὲν ἐς Τραπεζοῦντα τὴν πόλιν τὴν Ποντικὴν ἅμα τῷ στρατῷ μεταβήσῃ, ἐνθάδε δὲ ἡμεῖς μενοῦμεν οἱ Πέρσαι· οὕτω τε τὰ τῆς ἐκεχειρίας σχολαίτερον
διαλεξόμεθα, πιστοῖς χρώμενοι ἀγγελιαφόροις. εἰ γὰρ μὴ ἑκὼν P. 95
εἶναι ἀπάξεις ἐνθένδε τὸ στράτευμα, ἴσθι, ὦ γενναῖε, ὡς πρὸς ἀνάγκης ἀπελαθήσῃ. βεβαιότατα γὰρ ἐγὼ τὴν νίκην ἔχω, καὶ περιβέβλημαι οὐ χαλεπώτερον ἢ τόδε τὸ κτῆμα." καὶ ἅμα λέγων, τὸν δακτύλιον ἐπεδείκνυεν ὃν ἐπεφέρετο. πρὸς ταῦτα δὲ ὑπολαβών· „ἀλλ' ἔμοιγε" ὁ Μαρτῖνος „εὐκτὸν μὲν ἡ εἰρήνη δοκεῖ καὶ τιμιώτατον, καὶ συλλήψομαί σοι προσαγομένῳ τε αὐτὴν καὶ καθιστῶντι· ἄμεινον δὲ, οἶμαι, ταῦτα δράσοιμεν

1. περὶ R. 3. διήμαρτεν τῆς πείρας R., τῆς πείρ. δ. vulg. 7. τε ὢν R. 10. ἔτι λυμαινομένους R. 14. τὰ om. R. 16. ἐνθάδε R. 17. ἔχων περιβ. R. 19. ἐπεδείκνυεν R., ἐπεδείκνυτο vulg.

non exiguam in iis stragem edidit, adeo ut vix in universum mille ad Nachoragam sint reversi.

19. Qui cum conatus hic non ex sententia successisset, confestim ad Insulam se recepit; castrisque iuxta Romanos locatis, Martinum ad se, in colloquium ut veniret, excivit; qui cum advenisset, Tu, inquit, praefecte, cum ita sis industrius ac prudens, unusque sis ex iis, qui praecipuae sunt inter Romanos potentiae, an non vis utrumque nostrum regem labore simul atque hostilitate mutua liberare? Patierisne ipsos quam diutissime mutuis sese damnis afficere? Quin potius si tibi placuerit pacta et foedera inire, age Trapezuntem Ponticam urbem cum exercitu te transfer; nos vero Persae hic manebimus; ita fiet, ut de induciis aut pace stabilienda per otium agamus, fidis utentes internuntiis; nisi vero volens ac libens exercitum hinc abduxeris, scito, o bone, quod per vim profligaberis. Certissimam enim habeo victoriam, eamque nihilo difficilius mihi comparavi quam hanc possessionem; simulque haec dicens, anulum, quem gestabat, ostendebat. Ad haec subiiciens Martinus, Et mihi, inquit, pax in votis summoque in pretio est, teque eam proponentem et constituentem iuvabo; melius vero haec nos perfecturos putarim, si tu quam citissime in Iberiam te transtuleris,

A. C. 555 ἂν, εἴγε σὺ μὲν ὡς τάχιστα ἐς Ἰβηρίαν μεταχωρήσεις, ἐγὼ
I. 1. 29 δὲ ἐλεύσομαι ἐς Μουχείρισιν. οὕτω τε τὰ ἐν ποσὶ διασκεψόμεθα. τῆς δὲ νίκης πέρι σοὶ μὲν ἐξέστω μεγαλαυχεῖν τῷ λόγῳ καὶ αὐθαδιάζεσθαι, καὶ τῶν ἀγοραίων αὐτὴν καὶ αὐ-
B θαιρέτων ἡγεῖσθαι κτημάτων· ἐγὼ δὲ καὶ τοῦτό φημι τῇ τοῦ κρείττονος ταλαντεύεσθαι γνώμῃ, καὶ οὐ παρὰ τοὺς μέγα βρενθυομένους ἰέναι, ἀλλ' ἐφ' οὓς ἂν ὁ πάντων προαγωγὸς ἐπινεύσῃ." οὕτω δὲ τοῦ Μαρτίνου ἀνδρειότατά τε καὶ μάλα ὁσίως ἀποκριναμένου, καὶ τῇ τοῦ βαρβάρου νεμεσήσαντος ἀλαζονείᾳ, οὐδὲν δὲ ὁτιοῦν προελθὸν εἰρηναῖον, διεκρίθησαν ἀπ' ἀλλήλων. καὶ ὁ μὲν ἐς τὸ στρατόπεδον ἐπανῆκε, Μαρτῖνος δὲ ἐς τὴν Νῆσον. τῷ δὲ Ναχοραγὰν μενετέα μὲν αὐτοῦ ἥκιστα ἐδόκει, ἐς δὲ τὸν Φᾶσιν τὴν πόλιν ἰέναι διενοεῖτο, ἐκεῖσέ τε μᾶλλον ἐκκαλέσασθαι τοὺς Ῥωμαίους. ἐπιμαχώτατον γὰρ τὸ ἐκείνῃ ἔρυμα εἶναι ἐπέπυστο, ἅτε δὴ ξύλοις ἅπαν
C ἐσκευασμένον, καὶ τὰ ἐχόμενα πεδία εὐόμαλά τε καὶ ἀγαθὰ ἐνστρατοπεδεύσασθαι. ἤδη δὲ ἡ πόλις ὁ Φᾶσις, ἅπασιν, οἶμαι, διαδηλότατον, ὡς ἐκ τοῦ ποταμοῦ εἴληφε τὴν ἐπωνυμίαν, πλησιαίτατα ὑποῤῥέοντος, καὶ ἀμφ' αὐτὴν ἐς τὸν Εὔξεινον πόντον ἀπερευγομένου. πρὸς γὰρ τῷ αἰγιαλῷ καὶ ταῖς ἐκβολαῖς τὸ πόλισμα ἵδρυται· ἀφέστηκε δὲ τῆς Νήσου ἓξ μάλιστα παρασάγγαις ἐπὶ δυόμενον ἥλιον.

8. ἐπινεύσῃ R., ἐπινεύσοι vulg. 9. καὶ ante τῇ om. R. 13. τὸν Φᾶσιν R., τὴν Φ. vulg. 16. εὐόμαλα R., Intpr. *exaequatos et patentiores*, εὐέμβολα vulg. Secutus sum, constantiae causa, auctoritatem codicis, in prioribus certe libris Lugdunensi longe praestantioris. 21. *stadiis centum* Intpr. (πέντε παρ.)

ego vero Muchirisim me recepero, atque ita de rebus nostris dispiciemus. De victoria vero liceat tibi iactabunde arroganterque loqui, eamque inter venales et nostro arbitrio subiectas ac parabiles res collocare. Ego vero victorias Dei unius voluntate librari censeo eamque non ad fastuosos valdeque elatos vergere, sed ad eos, quibus ille omnium productor atque moderator annuerit. Haec cum Martinus perstrenue honestissimeque respondisset, barbari arrogantia offensus, pace infecta, a mutuo colloquio discesserunt; atque hic quidem ad castra, Martinus vero in Insulam se recepit. Nachoragan autem nequaquam ibi commorandum censens, ad Phasidem urbem se conferre statuit, eoque potius Romanos evocare. Facillimum enim expugnatu illic esse propugnaculum audierat, quippe quod totum e lignis exstructum esset, et circumiectos campos patentes et castris metandis accommodatos haberet. Atqui urbem Phasidem a fluvio ei cognomine ita vocatam esse, omnibus, arbitror, est notissimum; qui quidem fluvius Phasis non procul ab ea fluit, et circa ipsam in Euxinum pontum fertur. Ad littus enim et ostia urbs sita est; distat autem ab Insula sex summum parasangis occasum versus.

κ. Εὐθὺς δὴ οὖν ὁ Ναχοραγὰν πόῤῥω τῶν νυκτῶν τὰς A. C. 555 ἀκάτους ὁπόσας ἐφ' ἁμαξῶν ἐπήγετο, ἐς τὸν ποταμὸν ἐμβαλὼν I. I. 29 καὶ συζεύξας, λανθάνει τοὺς Ῥωμαίους γέφυράν τέ τινα ἐξ D αὐτομάτου πηξάμενος, καὶ ἅπαν τὸ πλῆθος ἐς τὸ ἀντιπέραν διαβιβάσας· ἐβούλετο γὰρ ἐς τὰ πρὸς νότον ἄνεμον ἀφικέσθαι τοῦ ἄστεος, ὅθεν δὴ αὐτῷ οὐδαμῶς ἤμελλε τὰ ῥεῖθρα τοῦ ποταμοῦ κώλυμα ἔσεσθαι τῷ περιβόλῳ πελάζοντι· ὑπὸ γὰρ τὸ ἀρκτῷον καταῤῥεῖ καὶ παρατείνεται μέρος. καὶ ὁ μὲν ἀμφὶ τὸ περίορθρον ἄρας ἐκ τῆς ὄχθης, εἴχετο τῆς πορείας, καὶ τὴν Νῆσον ὡς ἀπωτάτω παραμειψάμενος, ἀνὰ τὰ πρόσω ἐχώρει· μόλις δὲ περὶ πλήθουσαν ἀγορὰν οἱ Ῥωμαῖοι τὴν διάβασιν ἐγνωκότες, διεταράχθησάν τε καὶ περὶ πλείστου ἐποιοῦντο προτερῆσαι ἀνὰ τὸ ἄστυ τοὺς πολεμίους. τοιγάρτοι τάς τε τριήρεις καὶ ὅσοι τριακόντοροι παρώρμουν πληρώσαντες, ὀξύτατα P. 96 τοῦ ποταμοῦ τῷ ῥῷ κατεφέροντο. ἀλλὰ φθάσας ὁ Ναχοραγὰν ἀμφὶ τὸ μεσαίτατον τῆς τε Νήσου καὶ τοῦ ἄστεος ἐτύγχανεν ἤδη, ξύλοις τε καὶ λέμβοις τὸ εὖρος ἅπαν τῆς δίνης διαφραξάμενος, τό τε τῶν ἐλεφάντων στῖφος ὄπισθεν ἐπιστήσας, ἐς ὅσον οἷόν τε ἦν αὐτοῖς τῆς βάσεως ἐφικνεῖσθαι. ὁ δὲ τῶν Ῥωμαίων στόλος ταῦτα πόῤῥωθεν ἰδόντες αὐτίκα πρύμναν ἐκρούοντο, πολλῇ τε χρώμενοι ἐς τοὔμπαλιν τῇ εἰρεσίᾳ, χαλεπώτατα πρὸς τὸ ἀντίπρωρόν τε καὶ ῥοῶδες τῆς φορᾶς ἀνταναfootnotes

5. ἱκέσθαι R. 12. γε καὶ R. 15. Ante τοῦ ποτ. add. R. ὑπό. 19. ἐφικνεῖσθαι R., ἀφικνεῖσθαι vulg. 20. πρύμνης R. 21. χρώμενος R. 22. ἀντίπρωρόν R., ἀντίπορόν vulg.

20. Confestim itaque Nachoragan intempesta nocte scaphis, quotquot secum plaustris advexerat, in flumen immissis atque inter se iunctis, insciis Romanis pontem stravit, et exercitum universum in oppositam ripam transmisit. Cupiebat enim in eam oppidi partem, quae Austrum spectat, pervenire; e qua parte Phasidis fluenta nequaquam sibi impedimento fore videbantur muro appropinquanti; nam is in borealem delabitur et protenditur partem. Nachoragan itaque sub primum diluculum movens e ripa iter suum continuavit, Insulaque quam remotissime praeterita ad ulteriora processit. Romani vero cum vix tandem hora diei sexta pleno iam foro cognovissent Persas flumen traiecisse, vehementer perturbati erant, summaque vi adnitebantur hostes circa oppidum praevenire. Quocirca triremibus omnibus et actuariis triginta remorum navibus, quotquot in portu stationem habebant, milite completis, celerrime secundo flumine ferebantur. At Nachoragan eos anteverterat, iamque ad medium inter Insulam et urbem locum pervenerat, totamque fluminis latitudinem lignis lembisque inter se iunctis intersepserat; elephantorum caterva retro opposita, quantum et quousque illi progredi potuerant. Romanorum vero classis eminus id conspi-

A. C. 555 γόμενοι, ἀπεχώρησαν. δύο δὲ ὅμως ναῦς κενὰς τῶν ἐμπλεόν-
L. I. 29 των εἷλον οἱ Πέρσαι. οἱ γὰρ δὴ ἄνδρες ξυλλαμβάνεσθαι μέλ-
B λοντες, τοῖς ὕδασι παραδοῦναι σφᾶς αὐτοὺς εὐτολμότατα κα-
τεθάῤῥησαν, ἀντὶ τοῦ μείζονος, οἶμαι, καὶ προὔπτου κινδύνου
τὸ ἔλαττον δεινὸν δήπου ἑλόμενοι, καὶ μετέσχον μᾶλλον τῶν
ἐκ τῆς τύχης ἀδήλων. τοιγάρτοι ἀφήλαντό τε κουφότατα καὶ
ὑποβρύχιοι ἐπιπλεῖστον διανηξάμενοι, μόλις ὡς τοὺς οἰκείους
V. 69 ἀπεκομίσθησαν. τότε δὴ οὖν οἱ Ῥωμαῖοι Βούζην μὲν τὸν στρα-
τηγὸν ἀνὰ τὴν Νῆσον κατέλιπον, ἅμα τῷ οἰκείῳ στρατεύματι
ἐπιμελησόμενόν τε τῶν τῇδε ἁπάντων, καὶ ἀλεξήσοντα ἐς ὅ,τι
δεήσοι· οἱ δὲ ἄλλοι ἅπαντες κατὰ τὸ ἐγκάρσιον τὸν ποταμὸν
περαιωθέντες, καὶ διὰ τῆς χέρσου ἑτέραν τινὰ ὁδὸν πορευό-
μενοι, ὡς μὴ κατ' αὐτὰ τοῖς πολεμίοις χωρῆσαι, παραγίνον-
C ται ἐς ἐκεῖνο δὴ τὸ τοῦ Φάσιδος ἐπώνυμον ἄστυ, καὶ εἴσω
τῶν πυλῶν παρελθόντες, διεδάσαντο στοιχηδὸν οἱ στρατηγοὶ
τὴν φρουρὰν τοῦ περιβόλου. οὐ γὰρ ᾤοντο ἀξιόμαχοι ἔσεσθαι,
εἴ γε συστάδην παρατάξασθαι πειραθεῖεν. πρῶτος μὲν οὖν Ἰου-
στῖνος ὁ Γερμανοῦ καὶ ὁ ἀμφ' αὐτὸν ὅμιλος ἐν τῷ ἀκρο-
τάτῳ μέρει τῷ πρὸς θάλατταν νεύοντι ἐτετάχατο· βραχὺ δέ
τι ἀπωτέρω Μαρτῖνος εἱστήκει ὁ στρατηγὸς καὶ αἱ Μαρτί-
νου δυνάμεις· ἀμφὶ δὲ τὸ μεσαίτατον Ἄγγιλας μὲν ἔχων
Μαυρουσίους πελταστὰς καὶ λογχοφόρους, Θεόδωρος δὲ Τζάν-

3. εὐτολμώτατα R. 6. ἀφήλλαντο R. 8. οὖν om. R. 11. πάντες R. 17. παρατάξασθαι R., παρατάξεσθαι vulg. 19. θάλασσαν R. 22. Μαυρουσίως Sph. Par. Τζάνους vulg., Τζανοὺς R.

cata, puppim reflexit, validoque retrorsum remigio utens et magna vi ac difficultate contra adversum rapidi fluminis impetum nitens, sese recepit; duas nihilominus naves vectoribus vacuas Persae ceperunt; viri enim, cum etiam sese captum iri viderent, undis se ipsos audacter commiserunt, pro maiore, uti arbitror, et praesenti periculo minus eligentes, et fortunae incertitudinem periclitari malentes. Quocirca et levissime in undas desiliebant, et in immo maxima ex parte gurgite natantes aegre ad suos evaserunt. Tum itaque Romani Buzem quidem apud Insulam reliquerunt, cum suis copiis res illic omnes curaturum et si opus esset opitulaturum; reliqui vero omnes transversim traiecto flumine, aliaque per continentem incedentes via, ne in eadem, quae hostes insidebant, loca venirent, in urbem Phasidi fluvio cognominem perveniunt; portisque recepti praefecti praesidia per muros suo quaeque ordine disponunt; neque enim putabant sese viribus pares fore, si stataria pugna proeliandum esset. Primus igitur Iustinus Germani filius cum suo agmine in editissima urbis parte ad mare vergente locatur: exiguo vero abhinc spatio praefectus stabat et Martini copiae. Sub ipsum autem medium Angilas, Mauros penes se habens peltatos et hastigeros, Theodorus vero Tzannos

νους ὁπλίτας, καὶ Φιλομάθιος Ἰσαύρους σφενδονήτας καὶ ἀκον- A. C. 555
τοβόλους. ὀλίγῳ δὲ τούτων ἀποκεκριμένοι ἐφρούρουν Λαγγο- I. I. 29
βάρδων ἀπόμοιρα καὶ Ἐρούλων, Γίβρος δὲ ἡγεῖτο ἀμφοτέρων. D
τὸ δὲ λοιπὸν ἅπαν τοῦ τείχους, καὶ πρὸς ἀπηλιώτην ἄνεμον
ἀπολῆγον, τοῖς ἑώοις τάγμασιν ἐπεφρόντιστο, ὑπὸ Βαλεριανῷ
στρατηγῷ ταττομένοις. οὕτω μὲν ὑπὲρ τοῦ ἐρύματος ἡ τῶν
Ῥωμαίων στρατιὰ ἐν κόσμῳ παρίστατο.

κα'. Ἦν δὲ αὐτοῖς καὶ χαράκωμα ἔμπροσθεν καρτερώτατα ἐξειργασμένον, ὡς ἀντέχειν εὐθὺς πρὸς τὰς ἐπιδρομὰς, καὶ ὃν ἐν προβόλου μοίρᾳ ἐγκεῖσθαι τῷ τείχει. ἐδεδίεσαν γὰρ εἰκότως ἐπ' αὐτῷ, ἅτε δὴ ξύλοις τε πεποιημένῳ, καὶ ἄλλως ὑπὸ χρόνου πολλαχοῦ διεῤῥυηκότι. τῷ τοι ἄρα αὐτοῖς καὶ τάφρος μάλα εὐρεῖα πέριξ ὠρώρυκτο, ὕδατός τε ἤδη μεστὴ καὶ ὑπερχειλὴς ἐγεγόνει, ὡς καὶ τοὺς σκόλοπας,
οἳ δὴ ἐτύγχανον ξυνεχέστατα ἐμπεπηγότες, διαλανθάνειν καὶ P. 97
ἀποκεκρύφθαι· τῆς γὰρ λίμνης, ἣν δὴ σμικρὰν θάλατταν ὀνομάζουσι, τὴν ἐς τὸν Εὔξεινον Πόντον ἐκροὴν φερομένην ἐνταῦθα μετοχετεύσαντες, ῥᾳδίως ἅπαντα ἔπλησαν. νῆες δὲ φορτίδες μεγάλαι πρὸς τῇ κυματωγῇ τῆς θαλάττης καὶ ταῖς ἐκβολαῖς τοῦ Φάσιδος πλησιαίτατα τοῦ ἄστεος ἐφορμοῦσαι, μετεώρους εἶχον τὰς ἀκάτους, καὶ ἀμφ' αὐτὰ δήπου τὰ καρχήσια τῶν

2. Λογγοβ. Par. 6. τεταγμένοις R. 7. παρίστατο R., παρετέταττο (sic) vulg. 10. ὃν aut delendum est, aut in οἷον mutandum. 11. τε om. R. 16. μικρὰν et 17. εἰς R. 19. τῇ κυματωγῇ Suid. s. h. v., τῇ κυματογῇ Lugd. et ed. pr., τῇ κυματώδει γῇ R. θαλάσσης R.

gravioris armaturae, et Philomathius Isauros funditores et iaculatores habens; neque procul ab his stationem habebat Langobardorum et Herulorum manus, ductante utrosque Gibro; reliqua muri pars in subsolanum desinens orientalibus agminibus sub Valeriano praefecto constitutis curae erat. Hunc itaque in modum Romanus exercitus in muri praesidio erat dispositus.

21. Vallum etiam munitissimum exterius ipsis exstructum erat, e quo primos hostium insultus sustinere possent, quique muro vice propugnaculi esset, cui non immerito utpote ex lignis constructo metuebant, et alioquin non una in parte prae vetustate vitium fecerat; ideoque etiam amplissimam in orbem fossam duxerant, quae ita aquis erat referta, ut ea ipsa labris effusa acuminatos etiam palos, qui dense suffixi erant, obtegeret, ita ut cerni non possent. Lacum enim, quem parvum mare appellant, et in Pontum Euxinum fertur, eo derivarant, facileque omnia replerant; naves etiam onerariae grandiores quam proxime ad urbem admotae sublimes habebant corbes, ad ipsa malorum carchesia subvectos, firmissimisque vinculis dependentes, ut et turribus magnitudine altitudineque lon-

A. C. 555 I. I. 29 ἱστῶν ἀνιμηθείσας καὶ βεβαιότατα αἰωρουμένας, ὡς πολλῷ ἀνέχειν τὰ μεγέθη τῶν πύργων καὶ ὑπερφέρεσθαι. ἄνω δὲ στρατιῶται εἱστήκεσαν, καὶ τῶν ναυτῶν ὁπόσοι εὐθαρσεῖς τε καὶ πολεμικώτεροι, τόξα τε φέροντες καὶ σφενδόνας, μηχανάς τε ἑκηβόλους ἐνθέμενοι, πρὸς τὸ ἐνεργὸν ἤδη ἐσκευασμένας. B ἀλλὰ γὰρ καὶ ἕτεραι νῆες διὰ τοῦ ποταμοῦ ἀνηγμέναι, ἐπὶ θάτερον μέρος παρῆσαν, ᾧ δὴ Βαλεριανὸς ἐφειστήκει, ὁμοιότατα ταῖς ἄλλαις ἐξηρτυμέναι, ὡς ἂν ἑκατέρωθεν οἱ πολέμιοι ἐξ ὑπερδεξίων βαλλόμενοι ἀποκρούοιντο, πελασείοντες τῇ πολιορκίᾳ. ὥστε δὲ ταύτας δὴ τὰς ἐν τῷ ποταμῷ ναῦς ἥκιστα ὑπό του πημαίνεσθαι, Δαβραγέζας, Ἄντης ἀνὴρ, ταξίαρχος, καὶ Οὖννός τις λοχαγὸς, Ἐλμίγγειρος ὄνομα, οὗτοι δὴ, προστεταγμένον αὐτοῖς ὑπὸ τῶν στρατηγῶν, ἐπακτρίδας τινὰς ἀμφιπρύμνους δέκα πληρώσαντες ἐκ τῆς ἀεὶ σφίσιν ἑπομένης δυνάμεως, καὶ ὡς ἀνωτέρω προελθόντες, ἐφρούρουν ξὺν ἀγρυπνίᾳ, καὶ περιεσκόπουν τὰς διαβάσεις ἐπιπλέοντες, νῦν μὲν ἐν μέσῳ τῷ ῥείθρῳ, νῦν δὲ ἐφ' ἑκατέρας τῆς ὄχθης. καὶ C τοίνυν ἐνταῦθα ξυνηνέχθη τερπνόν τι λίαν καὶ ἐπίχαρι ὡς ἐν πολέμῳ καὶ παρατάξει. ἔτι γὰρ τούτων ἀνωτέρω αἱ Ῥωμαϊκαὶ δύο τριακόντοροι, ἃς δὴ ἔμπροσθεν ἔφην κενὰς ἀνδρῶν ὑπὸ

2. ὑποφέρ. R. 4. τε post τόξα om. R. 7. Pro ᾧ δὴ R. habet lacunam, super quam recentior manus adscripsit: αἷς. 9. κρούοιντο R. 11. Δαβραγέζας Ἄντης ἀνὴρ. Egregiam hanc emendationem a Leunclavio, ni fallor, profectam praebet mg. R., ubi in ordine scribitur Δαβραγέζας ἄν τις. Vulg. Δαβραγαζάντης, Intpr. *Darragetas vir quidam.* Antae Sclavorum natio sunt, ex quorum nomine Anticum se dixit Iustinianus. 12. Ἐλμ. R. 20. δύο om. R.

ge essent superiores; desuper stabant milites, et nautae quotquot audaciores erant et bellicosiores, arcus gestantes et fundas, aliasque machinas imponentes, ad idoneum usum praeparatas; sed et aliae naves per fluvium adductae ex utraque parte aderant, quibus praeerat Valerianus, simili modo atque aliae instructae, ut hostes utrimque ex editioribus locis icti propulsarentur, si propiore obsidione urbem premere vellent. Ne vero naves hae in fluvio dispositae facile a quoquam laedi possent, Dabragezas tribunus, natione Anta, et quidam ordinum ductor, Elmingirus nomine, prout eis per praefectos mandatum erat, decem actuarias naves bipuppes e copiis, quibus praeerant, instruxerunt, quibus altius provecti magna cum vigilantia fluvium tuebantur, transitusque omni ex parte circumspectantes observabant, modo medio fluminis alveo, modo huic modo alteri ripae adnavigantes. Interea iucundum quid et gratiosum ut in bello et proelio ibi accidit. Ulterius enim adhuc quam hae naves erant dispositae, duae illae naves onerariae XXX. remorum, quas supra dixi milite vacuas a Persis captas fuisse; hae,

τῶν Περσῶν ἀφῃρῆσθαι· αὗται δὴ οὖν αἱ τριακόντοροι, ὁπλίτας ἔχουσαι Μήδους, ἐν τῷ ποταμῷ ἐναυλοχοῦντο καλωδίοις τῆς γῆς ἐξημμέναι. νυκτὸς δὲ ἐπιλαβομένης, οἱ μὲν ἄνδρες ἐν αὐταῖς ἐκάθευδον ἅπαντες· τοῦ δὲ ῥοῦ πολλοῦ φερομένου, καὶ τὰ πείσματα διατείνοντος τῇ ὑπαγωγῇ τῶν ὁλκάδων, ἀποῤῥήγνυται τῇ μιᾷ ὁ δεσμὸς ἐξαπιναίως· ἄφετον δὲ αὐτὴν ἡ δίνη λαβοῦσα καὶ ἐλευθέραν, καὶ οὔτε εἰρεσίας ἀντιπραττούσης, οὔτε πηδαλίου ἑτέρωθί που ἰθύνοντος, κατάγει πως αὐτὴν ὀξύτατα ἐς τὸ πρόσω, καὶ παραδίδωσι τοῖς ἀμφὶ Δαβραγέζαν Ῥωμαίοις. οἱ δὲ ἐσιδόντες, ἄσμενοι εἷλον τὸ θήραμα, καὶ ἐπετέρποντο τῇ ξυντυχίᾳ, ὅτι γε αὐτοῖς ἥδε ἡ ναῦς κενὴ πρότερον ἀπελθοῦσα, τότε δὴ ἀνδρῶν ἀνάπλεως ἐπανῆκεν.

A. C. 555
I. I. 29
V. 70
D

κβ΄. Ἐν τούτῳ δὲ ὁ Ναχοραγὰν ἁπάσῃ τῇ δυνάμει ἄρας ἐκ τοῦ στρατοπέδου, τῷ ἄστει ἐπέλαζεν, ἀκροβολίσασθαί τε βουλόμενος, καὶ ἀπόπειραν ποιήσασθαι τῶν Ῥωμαίων, εἰ ἐπεξίασι· ταύτῃ τε σαφέστατα διαγνῶναι, ὅπως αὐτῷ εἰς ἑτέραν τὰ ἐς τὸν πόλεμον παρασκευαστέα. τότε δὴ οὖν οἱ Πέρσαι, ἐπειδὴ ἐς τόξου βολὴν ἀφίκοντο, αὐτίκα οἵγε, τοῦτο δὴ αὐτοῖς τὸ εἰθισμένον, θαμὰ ἐπετοξάζοντο· πολλοί τε τῶν Ῥωμαίων τρωθέντες, οἱ μὲν ἔτι ἀμυνόμενοι ἀντεῖχον, ἔνιοι δὲ καὶ ἀπόμαχοι ἐγίγνοντο. Ἄγγιλας δὲ καὶ Φιλομάθιος καὶ τῶν ἀμφ' αὐτοὺς ταγμάτων ἄνδρες ἐς διακοσίους, καὶ ταῦτα προειρημένον ἁπάσῃ τῇ στρατιᾷ ὑπὸ Μαρτίνου μένειν ἕκαστον

P. 98

3. Pro τῆς γῆς R. τισίν. 8. πω R. pro που. 9. Δαβραγέζαν R. a 2. m., Δαβραγέζοις 1. m., *Dabracezes* Intpr., Δαβραγάζαν vulg. 10. ἐπιδόντες R. 19. θαμὰ om. R.

inquam, naves militibus gravis armaturae erant instructae, atque ita rudentibus ad oram alligatae; noctu vero dormientibus in eis universis, cum aestus ingens esset obortus et rudentes distenderet, depressione agitationeque navigiorum alterius illarum vinculum repente est disruptum; quam cum vortex solutam liberamque accepisset, neque illi vel remigio obniti, vel gubernaculo aliorsum eam dirigere possent, abreptam rapidissime celerrimeque ad Romanos, quibus Dabragezas praeerat, defert, qui quidem eam conspicati, laeti ceperunt, insperataque captura sunt gravisi, quod navis, quae antea vacua ab ipsis abierat, viris plena rediisset.

22. Interea Nachoragan cum universo exercitu e castris movens urbi appropinquavit, velitando et iaculando tentare volens Romanos, an eruptionem facerent; eaque ratione apertissime cognoscere, quo pacto sibi in sequentem diem res bellicae praeparandae essent. Persae itaque simulatque ad teli iactum pervenerunt, confestim more suo ingentem sagittarum vim emittunt, multisque Romanorum vulneratis, alii quidem adhuc pugnando resistebant, alii pugna excesserunt. Angilas vero et Philomathius et ex ipsorum agminibus viri ducenti, tametsi Martinus universo exercitui imperarat, ut suo

A.C.555 I.I.29 κατὰ χώραν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀπομάχεσθαι, οἱ δὲ τὴν καθ' αὐτοὺς πύλην ἀναπετάσαντες, κατὰ τῶν πολεμίων ἐχώρουν. Θεόδωρος δὲ ὁ τοῦ Τζαννικοῦ ὁμίλου ταξίαρχος, ἐπεῖχε μὲν τὰ πρῶτα, καὶ ἀνέκοπτε τὴν ὁρμὴν, νεμεσῶν αὐτοῖς τῆς προπετείας. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, ὑπήγετο καὶ αὐτὸς τοῖς πλεί- B στοις, οὔτι ἑκὼν, καὶ ἐνεδίδου, εὐθύς τε ἐφοίτα σὺν ἐκείνοις, ὡς μὴ ἀποδειλιᾷν νομισθείη, τούτου τε ἕνεκα μόνου τὸ εὐπρεπὲς τῆς εὐβουλίας προΐσχεσθαι· ἤρεσκε μὲν γὰρ αὐτὸν οὐδαμῶς τὰ ποιούμενα, μετέχειν δὲ ὅμως αὐτῶν ἠνείχετο ἐς ὅ, τι ἄρα καὶ τελευτήσαιεν. καὶ μικροῦ γε ἅπαντες αὐτοῦ διεφθάρησαν, εἰ μή τις αὐτοὺς ἑτέρα διέσωσε γνώμη ἐκ τοῦ κρείττονος ἐπιῤῥωσθεῖσα. οἱ γὰρ Διλιμνῖται ἀνὰ τὸν ἐκείνῃ χῶρον ἑστῶτες καὶ ἐς φάλαγγα ξυντεταγμένοι, ἐπειδὴ κατεῖδον τὴν ὀλιγότητα τῶν ἐπερχομένων, υπεδέχοντό γε αὐτοὺς ἡσυχῇ καὶ ἀνέμενον. ὡς δὲ ἀγχοῦ ἤδη παρῆσαν, αὐτίκα οἵγε ἠρέμα τὰ κέρα ἐπικολπώσαντες, περιβάλλουσιν ἅπαντας, καὶ ἐς ἀκριβῆ κύκλω- C σιν ἐγκατεῖργον. οἱ δὲ Ῥωμαῖοι πάντοθεν περιειλημμένοι, δρᾶσαι μὲν τολοιπὸν οὐδὲν ὁτιοῦν τοὺς πολεμίους διενοοῦντο· εὐκτὸν δέ τι αὐτοῖς ἐδόκει καὶ ἄπιστον, εἴγε ἀμωσγέπως διαδράσαιεν. καὶ δὴ ἐπὶ σφᾶς ἑλιχθέντες, καὶ τὰ δόρατα προβεβλημένοι, ἐμπίπτουσιν ἀθρόον τῶν πολεμίων τοῖς πρὸς τῷ ἄστει ἐφεστηκόσιν. οἱ δὲ ἐσιδόντες αὐτοὺς πολλῇ τῇ ῥύμῃ φε-

3. Τζανικοῦ R. 7. δειλιᾷν R. 11. αὐτός Sph. Par. 15. ἐπικολπώσαντες R., ὑποκ. vulg. 21. τὸ ἄστυ R.

quisque loco se contineret atque e tuto pugnaret, nihilominus tamen e porta ipsis proxima evolantes, in hostem ferebantur. Theodorus vero Tzannici agminis dux initio quidem suos continuit impetumque repressit, temeritatis eos arguens; cum vero illi dicto audientes non essent, ipse etiam se pluribus non quidem libens adiunxit, et cum illis in hostem ivit, ne timidus censeretur, eaque sola de causa honestum consilium speciose praetexere. Factum enim ei nequaquam probabatur, particeps tamen illius esse volebat, quemcumque tandem exitum esset habiturum. Et certe parum aberat, quin omnes ibi simul periissent, nisi aliud quoddam consilium a Deo corroboratum saluti eis fuisset. Dilimnitae enim, qui eo loci stationem habebant, instructaque acie stabant, contempta adventantium paucitate, quieti eos operiebantur, neque se loco suo dimovebant; cum vero iam propius accessissent, confestim sinuatis diductisque cornibus universos circumveniunt, et in orbem veluti corona cingunt. Romani autem omni ex parte conclusi, non iam de damno ullo hostibus inferendo cogitabant; praeclarum vero atque inauditum facinus censebant, si ulla ratione possent evadere. Conglobati itaque praetensis hastis confertim in hostes, qui oppidum versus stabant, irruunt; qui cum eos maximo impetu et tanquam desperata

ῥομένους, καὶ οἷον ταῖς ἐλπίσιν ἀπειρηκότας, διέστησαν εὐ- A. C. 555
θὺς ἀπ' ἀλλήλων, καὶ ἀπεκρίθησαν, οὐκ ἐνεγκόντες ἄνδρας I. I. 29
δυσθανατῶντας, καὶ ὅποι αὐτοῖς τὸ θράσος χωρήσει, οὐ λο-
γιζομένους. οὕτω δὲ ἐκείνων ἐφέντων, ἐκδραμόντες οἱ Ῥω- D
μαῖοι κατὰ τὸ παρεῖκον, ἄσμενοι αὖθις εἴσω τοῦ περιβόλου ἐγέ-
νοντο, καὶ τὴν πύλην προσήῤῥαξαν. παρὰ τοσοῦτον μὲν κινδύ-
νου ἵκοντο, οὐκ ἐπ' ἄλλῳ τῳ ἀριστεύσαντες, ἢ μόνῳ τῷ δια-
φυγεῖν καὶ ἀποσωθῆναι.

κγ'. Τοῖς δὲ τῶν Περσῶν ἀχθοφόροις ἐκπλείστου δια-
πονουμένοις ἐς τὸ τὴν τάφρον καταχωννύναι, τότε δὴ ἅπασα
αὐτοῖς ἀνεπέπληστο, καὶ συνῆπτο ἁπανταχόθεν τὸ ἀπεῤῥωγὸς
καὶ μεμερισμένον, ὡς καὶ βάσιμον εἶναι τὸ χωρίον στρατιᾷ
τειχομαχούσῃ, καὶ τὰς ἑλεπόλεις μηχανὰς οὐ χαλεπῶς ἐνθένδε
προσάγεσθαι. μακρὸς δὲ αὐτοῖς ἢ κατὰ τὴν πολυχειρίαν
ἐν τῷδε τῷ ἔργῳ χρόνος ἐτρίβη. λίθους γὰρ κατὰ τὸ μᾶλλον
καὶ χοῦν ἐμβαλόντες, οὐ ῥᾳδίως πρὸς τὰς συγκλείσεις ἐξήρ- P. 99
κουν, ξύλων οὐ μάλα παρόντων, ὅτι μὴ ὁπόσα πόῤῥωθεν ἐκ
τῆς νάπης κατατέμνοντες ξὺν πόνῳ πολλῷ διεκόμιζον. οἱ γὰρ
Ῥωμαῖοι ἐτύγχανον ἤδη πρότερον ἅπαντας τοὺς ἀμφὶ τὸ ἄστυ
ἀγροὺς ἐμπρήσαντες, καὶ πρός γε τὰς τῶν ὁδοιπόρων κατα-
λύσεις καὶ εἴ τι ἕτερον ἐνδιαίτημα ὡς πλησιαίτατα ἵδρυτο.

5. παρεῖκον R. et Lugd. corr., παρῆκον vulg. 6. πόλιν R. προσήῤῥαξαν R., προσεῖρξαν vulg. 10. ἐς τὸν (punctis subditis) ταφρὸν R. 14. μακρότερος coni. Cl., Intpr. *plus temporis quam*. ἢ κατὰ R., καὶ κατὰ vulg.

salute in se ferri viderent, confestim aciem inter sese mutuo diremerunt ac separarunt, hominum cum certa propemodum morte luctantium et extrema audentium, neque quo ipsis audacia evasura esset reputantium impetum nequaquam sustinentes. Sic itaque permittentibus Persis Romani effugio elapsi laeti sese intra murum receperunt, simulque portam clauserunt. In tantum discrimen venerant, nulla alia re praeclare gesta, quam quod sola fuga salutem sibi peperissent.

23. Persarum vero baiuli, qui iamdudum in opplenda fossa laborarant, iam illam totam opplerant; et quicquid omni ex parte abruptum divulsumque fuerat, compositum iam adaequatumque erat, ita ut exercitui oppugnationem muri adituro locus pervius esset, et arietes aliaeque machinae expugnandis urbibus accommodatae non difficulter moenibus admoveri possent. Plus vero temporis quam pro multitudine operarum eo in opere triverant. Cum enim lapides maxima ex parte humumque ingessissent, replendae fossae haec non sufficiebant; ligna etenim ad manum non erant, nisi procul inde e silva caesa multo cum labore adferrentur. Romani enim iam antea agros omnes urbi circumiectos, et praeterea omnia viatorum diversoria, et si quae alia in proximo erant domicilia, incenderant, eo

A.C. 555 τοῦτο δὲ ἔδρασαν, ὡς ἂν μὴ τὴν ἐνθένδε ὕλην οἱ πολέμιοι
I. L. 29 πρόχειρον ἔχοντες, εὐκόλως τὰς ἐπιτεχνήσεις τῶν ἔργων ποι-
οῖντο. ἐκείνης μὲν οὖν τῆς ἡμέρας οὐδέν τι ἀξιαφήγητον ἄλλο
V. 71 ἐπράχθη, ἀλλά, νυκτὸς ἐπιφοιτώσης, ὁ Ναχοραγὰν ἅμα τοῖς
πλήθεσιν ἐς τὸ στρατόπεδον ἐπανῆκεν. τῇ δὲ ὑστεραίᾳ ὁ Μαρ-
B τῖνος τά τε τῶν οἰκείων φρονήματα ἐπιῤῥῶσαι βουλόμενος
καὶ τοὺς ἐναντίους ἐκπλῆξαι, ἤθροισε μὲν ἐς ταὐτὸ ἅπασαν
τὴν τῶν Ῥωμαίων στρατιάν, ὡς δή τι τῶν παρόντων πέρι
διασκεψόμενος· εἰσφοιτᾷ δὲ ἀθρόον ἐς μέσον, οὕτω πρὸς
αὐτοῦ μεμελετημένον, ἀνήρ τις τῶν οὐ λίαν γνωρίμων, κο-
νιορτοῦ τε ἀνάπλεως, καὶ οἷος ἐκ μακρᾶς ὁδοιπορίας εἰκάζε-
σθαι, ἥκειν τε ἔλεγεν αὐτίκα ἐκ Βυζαντίου, καὶ γράμμα τοῦ
βασιλέως ἐπιφέρεσθαι. λαβὼν δὲ τοῦτο ἀσμενέστατα δῆθεν ὁ
στρατηγός, καὶ ἀνελίξας, οὐκ ἐν ἀποῤῥήτῳ καθ' αὑτὸν ἀνε-
λέγετο, οὐδὲ μόνοις τοῖς ὄμμασιν ἡσυχῇ διϊὼν τῷ νῷ εἰσῆγε
τὰ γεγραμμένα, ἀλλ' ἀνεβόα λαμπρᾷ τῇ φωνῇ, ὡς ἂν ἅπαν-
τες ἐπαΐοιεν. καὶ τῷ μὲν βιβλιδίῳ ἐκείνῳ ἴσως ἄλλο τι ἐνεγέ-
C γραπτο. ἦν δὲ ὅμως τὰ βοώμενα τάδε· „ἐστάλκαμέν σοι καὶ
ἑτέραν στρατιάν, οὐ μείονα τῆς προσούσης· καίτοι εἰ καὶ
πολλῷ πλείους οἱ δυσμενεῖς τυγχάνοιεν ὄντες, ἀλλ' οὐκ ἐς το-
σοῦτον ὑμᾶς ὑπερβαλοῦνται τῷ πλήθει, ὁπόσον ὑμεῖς τῇ ἀν-
δρίᾳ, ὥστε συμβήσεται τήν τε ὀλιγότητα καὶ τὴν ἀμετρίαν
τῶν ἴσων μὴ ἀφεστηκέναι. ὡς ἂν δὲ μηδὲ ταύτῃ ἐκεῖνοι μεγα-

9. πρός γ' αὐτοῦ vulg. 10. μεμελετησμένον R. 15. τῷ νῷ om. R. 19. προσηκούσης R. 23. ἐκ. μεγ. ταύτ. R.

nimirum consilio, ne hostes, commodam illic aptamque suis usibus materiam nacti, facile opera machinarentur. Eo itaque die nihil aliud memoratu dignum est gestum; nocte autem ingruente Nachoragan se cum copiis suis in castra recepit. Postridie vero Martinus cum suorum animos confirmare vellet, hostes vero percellere, universum Romanorum exercitum in unum coegit, tanquam de praesenti rerum statu consultaturus. Confestim vero in medium venit (ita enim id ipse procurarat) vir quidam non admodum notus, pulvere obsitus perinde ac si esset longinquum iter emensus; is se recenter Byzantio venire dicebat, litterasque ab Imperatore adferre; quas cum praefectus libentissime accepisset ac resignasset, non arcane apud se perlegit, neque solis oculis tacitus percurrens in animo suo earum summam premebat, sed alta voce recitabat, ut omnes exaudirent. Et libello quidem illo fortassis aliud quid continebatur; quae vero recitabantur, haec erant: Misimus tibi etiam alium exercitum, non minorem eo quem habes, ac proinde etiamsi hostes multo sint vobis plures, non tantopere tamen vos multitudine superabunt, quantum vos fortitudine; quo fiet ut paucitati et excessui sua etiam constet aequalitas. Ne vero etiam hoc nomine

λαυχοῖεν, δέχου καὶ τοῦτον δὴ τὸν στρατὸν, ὥσπερ φιλοτι- A.C. 555 μίας μᾶλλον καὶ ἐπιδείξεως ἀλλ' οὐ τοῦ ἀναγκαίου χάριν ἀ- I. I. 29 πεσταλμένους. θαῤῥεῖν τοίνυν καὶ ἔργου ἔχεσθαι σὺν προθυμίᾳ, ὡς ἡμῶν οὐδὲν ὁτιοῦν τῶν δεόντων περιοψομένων." εὐθὺς δὴ D οὖν ἀνεπυνθάνετο, ὅποι εἴη τὸ στράτευμα. ὁ δὲ „οὐ πόῤῥω" εἶπεν „ἀφεστήκασιν, ἢ μόνον τέσσαρσι Λαζικοῖς παρασάγγαις." καταλελοιπέναι γὰρ αὐτοὺς ἀμφὶ τὸν Νέοκνον ποταμὸν ἔτι αὐλιζομένους. καὶ ὁ Μαρτῖνος ὀργήν τινα τῷ προσώπῳ ὑποκρινόμενος, „ἀπίτωσαν αὖθις" ἔφη „ὡς τάχιστα, καὶ οἴκαδε ἀναστρεφόντων, ὡς ἔγωγε οὐκ ἄν ποτε αὐτοῖς ἐφείην ἐνθάδε γενέσθαι. δεινὸν γὰρ εἰ τῶνδε τῶν ἀνδρῶν τῶν ἐκπλεῖστου ἡμῖν ξυστρατευομένων, πολὺν ὅσον χρόνον διαπονηθέντων, καὶ πολλάκις πρὸς τοὺς πολεμίους παραταξαμένων, ἤδη τε οὐ πόῤῥω ἡκόντων ἐκποδὼν ποιήσασθαι τὸ ἀντίπαλον, καὶ τελεωτάτην ἀναδήσασθαι νίκην· οἱ δὲ οὕτω κατόπιν τοῦ ἀναγ- P. 100 καίου παρέσονται, καὶ μονονουχὶ ἀπογευσάμενοι τῶν κινδύνων, εἶτα τὴν ὁμοίαν ἀποίσονται δόξαν, καὶ ἐς ἐκείνους ἀνενεχθείη τὸ πέρας· καὶ, τὸ δὴ πάντων ἀδικώτερον, τὰ γέρα ἐπίσης καρπώσονται τοῖσδε. ἀλλ' ἐκείνοις μὲν αὐτοῦ μενετέα, ἐς ὅσον ἐς τὴν ἀποπορείαν παρασκευάσασθαι, ἀποχρήσουσι δὲ ἡμῖν οὗτοι τὸ λειπόμενον τοῦ πολέμου ἄριστα κατεργάσασθαι."

5. ὅπη R. 6. Λαξικοῖς R., Περσικοῖς vulg., Intpr. *stadiis octoginta abesse*: recte quidem quoad sensum: cf. supra p. 110. ed. Bonn. v. 20. 7. *Neognum* Intpr. 14. τὸ ἀντίπαλον R., τὸν ἀντίπ. vulg. 19. καρπώσονται τοῖσδε R., τοῖσδε καρπ. vulg.

illi se iactitent, accipe etiam hunc exercitum, honorificentiae ostentationisque causa potius, quam quod necessitas ita postularet, missum. Bono igitur animo este, fortiterque rem gerite, utpote nobis nihil eorum, quae expedire videbuntur, neglecturis. Statim itaque interrogatus, ubinam esset exercitus, respondit, quatuor tantum Persicis parasangis, non longius abesse; relictos enim ipsos circa Neognum fluvium, adhuc ibi stationem habentes. Ad haec Martinus iracundiam quandam vultu simulans: Retro cedant, inquit, quam citissime, domumque redeant; neque enim id unquam permiserim ut nobis sese adiungant. Indignum enim sit, si cum hi viri iamdudum nobis commilitones fuerint, multoque tempore ingentes nobiscum labores sustinuerint, et frequenter adversus hostes sint proeliati, et iam eo rem adduxerint, ut non procul absint a profligando hoste, et plenissimae victoriae corona adipiscenda; illi post necessitatem adveniant, et tantum non degustatis periculis parem gloriam consequantur, bellique exitus illis adscribatur, et quod omnium est iniquissimum, paria cum hisce praemia auferant. Ceterum illis quidem ibi manendum censeo, donec ad discessum sint parati, nobis vero hi sufficiunt ad quod reliquum est belli optime conficiendum; simulque his dictis, ad exercitum conversus, An non,

A. C. 555 J. I. 29 καὶ ἅμα ἐς τὰ πλήθη ἐπιστραφείς· „ἦ οὐχὶ καὶ ὑμῖν ταῦτα" ἔφη „δοκεῖ, ὦ ἄνδρες ξυστρατιῶται;" οἱ δὲ ἐπευφήμησαν ξὺν βοῇ, καὶ δίκαια εἶναι ἀνέκραγον τὰ τῷ στρατηγῷ βεβουλευμένα. καὶ οἱ μὲν θαῤῥαλεώτεροι ἐγεγένηντο, καὶ οἷον ἑτέ- B ρων οὐ δεῖσθαι προσβοηθησόντων. μάλιστα γὰρ αὐτοὺς εἰς ἔριν ἐκίνει καὶ φιλοτιμίαν ἡ τῶν λαφύρων ἐλπίς, καὶ ὅτι αὐτοὶ οὐκ ἐς μακρὰν ἅπαντα ᾤοντο κομιεῖσθαι, ὥσπερ ἤδη τοὺς δυσμενεῖς ἀνελόντες· καὶ τοῦτο μόνον πεφροντισμένον αὐτοῖς ὅπως τὴν λείαν διανεμοῦνται.

κδʹ. Ἀπέβη δὲ ὅμως καὶ θάτερον τῶν Μαρτίνου διανοημάτων. ὁ γὰρ λόγος οὗτος διὰ τοῦ πλήθους ἐξολισθήσας, καὶ πανταχοῦ περιηγμένος, καὶ παρ' αὐτοὺς ἀφῖκται τοὺς Πέρσας, ὡς ἄρα στρατιὰ ἑτέρα Ῥωμαϊκὴ πρὸς τῷ Νεόκνῳ ποταμῷ παραγέγονε, καὶ ὅσον οὔπω τοῖς προτέροις ἀναμεμίξεται. ἀφασίᾳ δὴ οὖν ἅπαντες εἴχοντο, δεδιότες εἰ μέλλοιεν, τοσούτοις ἤδη πόνοις τετρυχωμένοι, πρὸς νέους ἄλλους καὶ ἀκμῆ- C τας παρατάττεσθαι πολεμίους. ὁ δὲ Ναχοραγὰν οὐδέν τι μελλήσας, καὶ ἴλην τινὰ μετρίαν ἐκ τῶν Περσικῶν ἔστειλε ταγμάτων ἀνὰ τὴν ἀτραπὸν ἐκείνην, καθ' ἣν ᾤετο διαβήσεσθαι τοὺς περὶ ὧν ἐτύγχανε τῇ φήμῃ ἐξηπατημένος. οἱ δὲ παραγενόμενοι, σπουδῇ τε καὶ ἀγρυπνίᾳ οὐκ ἐν δέοντι ἐχρῶντο. καταλαβόντες γὰρ τὰ ἐπίκαιρα τῶν χωρίων, ὑπεκρύπτοντο

6. αὐτοὶ R., Intpr. *quod crederent se — asportaturos*, αὐτοῖς vulg. 22. ὑπέκρυπτον R.

inquit, etiam vobis, viri commilitones, ista videntur? At illi, fausta acclamatione praefecti sententiam ut aequissimam approbarunt, ipsique multo fidentiores sunt redditi, perinde ac si nullo alio subsidio indigerent. Praecipue vero ipsos ad contentionem aemulationemque movebat spes spoliorum; quodque brevi omnia se direpturos sperabant, utpote hostibus deletis; et hoc unum eis erat curae, quo pacto inter se praedam partirentur.

24. Evenit vero etiam aliud, quod Martinus animo praeceperat. Rumor enim hic in vulgus sparsus lateque circumvagatus ad ipsos etiam Persas erat delatus; quod utique alter Romanus exercitus ad Neognum fluvium pervenisset, et iamiam se cum aliis esset coniuncturus. Pavor itaque universos invasit, metuentes si, cum tantis laboribus attriti essent, adversus recentem integrasque vires adferentem exercitum ipsis confligendum esset. Nachoragan vero nihil cunctatus, mediocrem equitum turmam e Persicis agminibus misit ad eum tractum, per quem putabat transituros illos, de quibus fama deceptus erat; qui cum eo venissent, magna diligentia vigilantiaque utebantur in re supervacanea. Occupatis enim opportunioribus locis, ex insidiis operiebantur eos, qui nequaquam erant venturi, eo videlicet animo, ut in ipsos secure tumultuarieque procedentes, quod nimirum inex-

αὐτοῦ καὶ ἀνέμενον τοὺς οὐδαμῶς παρεσομένους, γνώμην A. C. 555 ἔχοντες ἀφυλάκτως αὐτοῖς τῷ ἀπροσδοκήτῳ τυχὸν προϊοῦσιν I. I. 29 ἐπιπεσεῖσθαι, καὶ τὸ τάχος ἀνακόψαι τῆς πορείας, ἕως οἱ V. 72 ἐν τῷ ἄστει ἐκπολιορκηθεῖεν. οὕτω μὲν οὖν δύναμις οὐ λίαν ἐλαχίστη τῶν Περσῶν μάτην ἠσχόλητο, τοῦ ἄλλου πλήθους D ἀφῃρημένη. εὐθὺς δὲ ὁ Ναχοραγὰν ἐξῆγε καὶ ὣς τὸν στρατόν, φθάσαι τὴν ἐπήλυσιν δῆθεν βουλόμενος τῶν οὐδαμῶς παρεσομένων, καὶ πολλῷ ξὺν φρονήματι κατὰ τῶν Ῥωμαίων ἐχώρει, ἐπικομπάζων ἀναφανδὸν καὶ ἐπομνύμενος, ἦ μὴν αὐθημερὸν τὴν πόλιν ἅπασαν αὐτοῖς ἀνδράσιν ἐμπρῆσαι. ἐπελέληστο γάρ, ὡς ἔοικεν, ὑπὸ αὐθαδείας ὁ ἔμπληκτος, ὡς ἄρα ἐπὶ πόλεμον ᾔει, πρᾶγμα οὕτως ἀφανές τε καὶ ἀδηλότατον, καὶ πολλὰς ἐπιδεχόμενον ἐφ' ἑκάτερα ῥοπὰς καὶ μεταβάσεις, μάλιστά τε πάντων, θείας τινὸς καὶ ὑπερτέρας ἀνάγκης ἀπηρτημένον, ὅσον καὶ σμικρὸν οὐδὲν ἐν ταὐτῷ γίγνεται, ἀλλ' ἔθνη P. 101 τε ἀνθρώπων μυρία καὶ πόλεις συχναί, καὶ πολιτεία ξύμπασα, οὕτω παρασχόν, ἀνακινεῖται καὶ διαταράττεται, καὶ τὰς ὑπὲρ τῶν ὅλων ἐλπίδας σαλεύει. ὁ δὲ ἐς τοσοῦτον ἐπῆρτο ἀλαζονείας, ὡς καὶ τοῖς ἐργοπόνοις καὶ ὑπηρέταις, οἳ δὴ ἀνὰ τὴν ὕλην σκεδαννύμενοι τὰ δένδρα κατέτεμνον, τυχὸν μὲν ξυλείας ἕνεκα, τυχὸν δὲ καὶ ἐπισκευῆς τῶν πολεμικῶν μηχανημάτων· τούτοις δὴ οὖν ἅπασιν ἐκέλευεν, ἐπειδὰν καπνὸν ἀρθέντα θεάσοιντο, τοὺς δὲ γιγνώσκειν ὡς πῦρ ἤδη τῷ τῶν Ῥωμαίων

12. εἴη R. οὕτω R. 14. μάλιστά τε R., μάλιστά γε vulg. 19. ἐργοποιοῖς R. 21. καὶ om. R. 23. θεάσαιντο R. ὥς περ R., sed in mg. ὡς πῦρ.

spectati venirent, irruerent progressusque celeritatem retardarent, quoad usque oppidum expugnatum esset. Atque ita quidem Persarum non exigua manus frustra laborabat, a reliquo exercitu subducta. Nachoragan vero vel sic exercitum eduxit, antevertere scilicet eorum adventum cupiens, qui nullo modo erant venturi; animoque valde elato in Romanos ferebatur, palam iactans atque insuper iurans, se eo ipso die urbem totam cum ipsis hominibus incensurum. Oblitus enim erat, uti verisimile est, prae superbia fanaticus iste, quod ad proelium iret, rem adeo dubiam atque incertam, multisque in utramque partem inclinationibus et vicissitudinibus obnoxiam, maxime vero omnium a divina quadam superioreque necessitate dependentem; cum ne parvae quidem res ullae in eodem semper statu permaneant, sed etiam infinitae hominum nationes frequentiaque oppida et vita universa commutentur subinde et perturbentur, et spes de rebus universis perpetuae agitationi fluctuationique sint obnoxiae. Hic vero eo superbiae devenerat, ut etiam operariis et ministris, qui per silvam dispersi arbores praecidebant, sive lignandi causa sive conficiendis machinis bellicis, his, inquam, omnibus mandarit, ut cum fumum

A. C. 555 περιβόλῳ εἴη ἐμβεβλημένον, καὶ μεθεῖναι μὲν τὰ ἐν χερσὶν
I. I. 29 ἔργα, δρομαίους δὲ ὡς αὐτὸν ἥκειν, καὶ συνεπιβάλλειν τὴν
B φλόγα, ὡς ἂν ῥαδίως ἅπαντα πυρποληθείη. καὶ ὁ μὲν τοιαῦτα
ἐφ' ἑαυτῷ βρενθυόμενος, εἴχετο τῆς ἐφόδου. Ἰουστῖνον δὲ
τὸν Γερμανοῦ, (οὐ γὰρ ᾤετο ἐν τῷ τότε τὸν Ναχοραγὰν παρέσεσθαι,)
ἔννοιά τις θεόθεν, οἶμαι, εἰσῆλθε πρός τινα νεὼν τῶν
παρὰ Χριστιανοῖς σεμνοτάτων, οὐ πόῤῥω τῆς πόλεως ἀφεστηκότα,
παραγενέσθαι ὡς τάχιστα, καὶ ἐπιθειάσαι. καὶ τοίνυν
ἀπολεξάμενος ἐκ τῆς Μαρτίνου καὶ τῆς οἰκείας δυνάμεως
C ὅ, τι καρτερόν τε καὶ μαχιμώτατον, καὶ πεντάκις χιλίους ἱππότας
ἀγείρας, ἅπαντάς τε ὡς ἐς πόλεμον ἄριστα ἐξοπλίσας,
ὁ δὲ ξὺν ἐκείνοις ἀπήλαυνε, τῶν τε σημείων οἱ ἑπομένων καὶ
τῆς ἄλλης στρατηγικῆς εὐκοσμίας. οὕτω δὲ ξυνενεχθὲν, οὔτε
οἱ Πέρσαι κατεῖδον τούτους πορευομένους, οὔμενοῦν οὐδὲ οἱ
ἀμφὶ Ἰουστῖνον ἐκείνους ἐπιφοιτῶντας. ἀλλ' ἑτέρωθεν γὰρ
ἀφιγμένοι, ἀθρόον τῷ περιβόλῳ προσέβαλλον, πλείονί τε ἢ
πρότερον τοξείᾳ ἐχρῶντο, ὡς οὕτω δὴ καὶ μᾶλλον τοὺς Ῥωμαίους
ἐκπλήξοντες, καὶ τάχιστα τὴν πόλιν ἁρπασόμενοι.
D κέ. Τοιγάρτοι βέλη ἐφέρετο ἅμα συχνὰ, καὶ εἶτα ἕτερα

2. ὡς αὐτοὺς R. 6. Post νεὼν vulg. et Intpr. (*templum sanctissimum et apud Christianos permagnificum*) addunt ἁγιώτατον, quod om. R. Intpr. praeterea legisse videtur καὶ τῶν; suspicor autem alteram διττογραφίας scripturam fuisse νεὼν ἁγιώτατον τινὸς τ. π. Χρ. σ., scil. *templum sanctissimum, cuidam quem Christiani inprimis venerantur dicatum.* 10. μαχιμώτερον R. 11. ἅπαντάς τε om. R. 16. προσέβαλλον R., προσέβαλον vulg. 18. ἐκπλήξαντες R.

in altum sublatum cernerent, scirent ignem iam Romanorum ligneo septo immissum, opereque, quod in manibus erat, omisso, cursim ad se venirent, simulque ignem immitterent, ut eo facilius omnia incendio conflagrarent. Atque hic quidem talia apud se iactans, oppidi murum adoritur. Iustinum vero Germani filium (neque enim existimabat Nachoraganem tum temporis urbem invasurum) cogitatio quaedam divinitus, credo, subiit, ad sanctissimum quoddam templum quodque Christianis maximo in honore erat, neque procul ab urbe distabat, quam citissime ire, Deique opem implorare. Delectis itaque ex Martini et suis copiis fortissimis quibusque bellicosissimisque viris, et quinque millibus equitum, omnibusque veluti ad proelium armatis, cum illis processit, sequentibus ipsum signis reliquoque apparatu militari. Casu vero accidit, ut neque Persae eos abeuntes sint conspicati, sed neque hi illos oppidum versus venientes; sed diversa via adducti, confertim impetum in moenia fecerunt, maioreque multo quam antea iaculatione sunt usi, tanquam ita et quidem magis Romanos perterrituri, citissimeque urbem direpturi.

25. Adeo vero densae simul sagittae ferebantur, rursusque aliae

καὶ ἄλλα ἐπὶ τούτοις· ἅπαντά τε τὸν μεταξὺ ἀέρα ἐπεκάλυ- A. C. 555 πτον τῇ συνεχείᾳ, ὥσπερ ἀλλήλοις ξυμπεφυκότα. εἴκασεν ἂν I. I. 29 τις τὸ χρῆμα νιφετῷ μεγάλῳ, ἢ χαλάζῃ πολλῇ ξὺν βιαίῳ πνεύματι καταῤῥαγείσῃ. ἄλλοι δὲ τάς τε μηχανὰς ἐκίνουν, καὶ βέλη πυρφόρα ἠκόντιζον, ἔς τε τοὺς καλουμένους σπαλίωνας ὑπεισδυόμενοι, πελέκεσι κατὰ τοῦ τείχους ἐπεφέροντο, ὡς ξύλινόν τε ὄν, καὶ ταύτῃ ῥᾳδίως διατεμνόμενον. οἱ δὲ τὸ δάπεδον διορύττειν ἐπειρῶντο, καὶ τῆς πρώτης βάσεως ἐφικνεῖσθαι, οὕτω τε ἀνατρέπειν καὶ διασπαράττειν τὸ ξυμπεπηγὸς καὶ ἐνηρμοσμένον. ἀλλὰ γὰρ καὶ οἱ Ῥωμαῖοι, ἔς τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις ἑστῶτες, ἀντεῖχον ξὺν προθυμίᾳ καὶ ἀπεμάχοντο, ὥσπερ τῇ πείρᾳ δεικνύναι βουλόμενοι τὸ μὴ χρῆναι αὐτοῖς ἑτέραν δύναμιν προσγενέσθαι. ἥ τε τοῦ Μαρτίνου ἀπάτη ἐν αὐτῷ δὴ τῷ ἔργῳ διεφάνη, ὡς χρήσιμός τε ἦν καὶ ἐνεργοτάτη. ἅπαντες γὰρ ἀφειδῶς διεπονοῦντο, οὐδένα ὄν- P. 102 τινα τρόπον ἀμυντήριον μεθιέντες. δόρατα μὲν γὰρ πολλὰ ἐκ τοῦ μετεώρου ἀκοντιζόμενα τοὺς πολεμίους ἐτίτρωσκεν, ἅτε δὴ πλήθει γυμνῷ ἐρυμάτων προσπίπτοντα, καὶ οὐδὲ ἑνὸν ἑτέρωθι φέρεσθαι· λίθοι δὲ ἁμαξιαῖοι κατὰ τῶν σπαλιώνων ἐῤῥίπτοντο, τὰ πλέγματα καταγνύντες. μείονές τε ἄλλοι διασφενδονώμενοι τὰ κράνη τῶν Μήδων καὶ τὰς ἀσπίδας κατέθραυον,

12. ἀπεμάχοντο R., ἐπεμάχοντο vulg. 14. ὢν R. pro ἦν. 15. ἅπαντες R. et Intpr. *omnes indesinenter*, ἁπανταχοῦ vulg. 16. πάλαι R. 20. διασφενδονώμενοι R., διασφενδονούμενοι vulg.

atque aliae super alias, ut universum intermedium aërem sua densitate obtegerent veluti inter se coagmentatae. Comparasset quispiam rem ninguori ingenti aut grandini vehementi cum violentissimo vento ruenti: alii vero machinas admovebant, et tela ignita iaciebant: alii testudines (machinas ita dictas) subeuntes, secures muro impingebant, quippe qui ligneus erat, ideoque facile discindi poterat: alii pavimentum soli suffodere conabantur, et ad primam basim pervenire, atque ita quod compactum et coagmentatum erat convellere atque subvertere. Romani contra in pinnis et propugnaculis murorum stantes, acriter animoseque resistentes pugnabant, veluti re ipsa ostendere volentes, nequaquam opus esse, ut ipsis novae copiae subsidio venirent. Apparuit vero manifeste in ipso opere, quam utilis efficaxque Martini dolus fuisset. Omni enim ex parte incessanter adlaborabant, nihilque plane, quod ad propulsandum hostem pertineret, omittebant. Nam et hastae multae telaque e sublimi iacta hostes vulnerabant, utpote in nudam nullisque propugnaculis tectam multitudinem incidentia, quaeque aliorsum ferri non poterant; saxa etiam plaustralia in testudines iaciebantur, omnem illarum contextum perrumpentia; quin et minores lapides fundis eiecti galeas Medorum scutaque perstringebant, et ad murum quam proxime accedere non si-

A. C. 555 πελάζειν τε αὐτοῖς ἐν χρῷ τῷ τείχει οὐ μάλα ἐφίεσαν, βιαιό-
I I. 29 τερον ἐνοχλοῦντες. τῶν δὲ ταῖς ἀκάτοις, ᾗπέρ μοι ἤδη ἐῤῥήθη,
V. 73 ἐφεστηκότων, οἱ μὲν τόξοις χρώμενοι πλείστους ἐσίνοντο, ἅτε ἄνωθεν βάλλοντες, οἱ δὲ τῶν μηχανῶν δαημονέστατα ἥπτοντο, τά τε ὑπόπτερα ἐκεῖνα τὰ καὶ ἐς τοῦτο ἐσκευασμένα δοράτια, πολλῇ ξὺν ἀνάγκῃ ἐκτιναςσόμενα, ἐπιπλεῖστον ἐφέρετο, ὡς καὶ πολλοὺς τῶν βαρβάρων, πόῤῥωθεν ἔτι ἐπερχομένους, ἐκ τοῦ ἀφανοῦς αὐτοῖς ἵπποις διαπερονᾶσθαι, καὶ καταπίπτειν ἐξαπιναίως. βοή τε ἐπιμέγα ἐπῆρτο, καὶ σάλπιγγες ἑκατέρωθεν πολεμιστήριόν τι μέλος ἐπῇδον. οἱ δὲ Πέρσαι καὶ τοῖς τυμπάνοις ἐβόμβουν, καὶ σφοδρότερον ἐπηλάλαζον ἐκπλήξεως ἕνεκα, ὅ τε τῶν ἵππων χρεμετισμὸς καὶ τῶν ἀσπίδων ὁ πάταγος καὶ αἱ τῶν θωράκων συντρίψεις παμμιγῆ τινα καὶ ἄγριον ἀνέπλεκον ἦχον. ἐν τούτῳ δὲ Ἰουστίνῳ τῷ Γερμανοῦ ἐκ τοῦ νεῶ
C ἐπανιόντι ξυναίσθησις γίγνεται τῶν δρωμένων τῇ τε ταραχῇ καὶ τῷ κτύπῳ. καὶ αὐτίκα τοὺς ἀμφ' αὐτὸν ἱππότας συστρέψας, καὶ ἐς τάξιν τινὰ ἐν κόσμῳ καταστησάμενος, τά τε σημεῖα ἐς ὕψος ἀρθῆναι ἐκέλευε, καὶ ἅπαντας ἔχεσθαι ἔργου, γιγνώσκοντας ὡς οὐκ ἀθεεὶ ἔτυχον τοῦ ἄστεος ἐξεληλυθότες, ἀλλ' ἐφ' ᾧ δεδίξασθαι τοὺς πολεμίους τῷ ἀπροσδοκήτῳ, καὶ ἀπελάσαι τῆς πολιορκίας. ὡς δὲ βραχύ τι προελθόντες κατεῖδον τοὺς Πέρσας ἐγκειμένους τῷ περιβόλῳ, τότε δὴ ἀθρόον

1. αὐτοὺς R. in mg. 4. οἱ δὲ R., οἵ τε vulg. 9. βοὴν τὴν R. et in mg. δὲ βοή. 13. συντρίψεις R. et Intpr. *fracturae*, ἐκτρίψεις vulg. 15. γίγνεται R., γίγνηται Lugd. et ed. pr., γένεται Par. 19. ἀθεεῖ R. 20. ἐφ' ὃ R.

nebant, multum molestiae ac damni inferentes. Eorum vero, qui in corbibus stabant, prout modo dixi, alii quidem sagittis, utpote ex sublimi missis, quam plurimos laedebant, alii machinas peritissime tractabant, et pernicia quaedam tela magna cum violentia excussa longissime ferebantur, adeo ut etiam multos barbaros procul adhuc inde advenientes ex improviso una cum ipsis equis traiicerent subitoque prosternerent. Tum ingens excitatus est clamor, et tubae utrimque bellicam quandam cantionem sive classicum accinebant. Persae vero tympanis perstrepebant, et ingentes ululatus terroris excitandi causa edebant; equorum etiam hinnitus, scutorum ictus et loricarum fracturae confusaneum quendam atque immanem sonitum miscebant. Interea Iustinus e templo revertens, quid rei ageretur, ex turbulento sonitu strepituque cognoscens, converso statim equitatu et in ordinem reducto, signa in altum tollere iubet, omnesque operi ut se accingant iubet, ita secum statuentes, non absque divini numinis nutu factum quod oppido exivissent; sed ut inopinata irruptione hostibus metum iniicerent, et ab obsidione profligarent. Simulatque vero paululum progressi Persas in murum impetum facien-

ἐμβοήσαντες, ἐμβάλλουσι τῷ μέρει τῷ πρὸς τῇ θαλάττῃ παρα- A. C. 555
τεταμένῳ· ἐνθένδε γὰρ καὶ ἐτύγχανον ἀφιγμένοι. καὶ αὐτίκα I. I. 29
οἱ μὲν κοντοῖς, οἱ δὲ σαρίσσαις, οἱ δὲ καὶ ξίφεσι παίοντες, D
τὸ παρεμπῖπτον διέφθειρον· βιαιοτέρας τε τὰς ἐπελάσεις ἀνὰ τὰς στίχας τῶν ἐναντίων ποιούμενοι, καὶ ταῖς ἀσπίσιν ἐξωθοῦντες, παρεῤῥήγνυσαν τὸ ξυνεχὲς καὶ συντεταγμένον.

κϛʹ. Οἱ δὲ Πέρσαι τοῦτον ἐκεῖνον εἶναι τὸν στρατὸν ὑποτοπήσαντες ὃν δὴ παρέσεσθαι ἠκηκόεσαν, καὶ ὅτι διαλαθόντες τοὺς ἐς τοῦτο ἀποκεκριμένους ἀφίκοντο, θορύβου καὶ δέους ἐνεπίμπλαντο, καὶ χύδην ἐς ἑαυτοὺς ἀνελιττόμενοι, ἀπεχώρουν ἠρέμα ἐς τὰ ὀπίσω, καὶ ἐς ὑπαγωγὴν ἐκινοῦντο. ταῦτα δὲ πόῤῥωθεν οἱ Διλιμνῖται θεασάμενοι, (ἀμφὶ γὰρ τὸ μεσαίτατον τοῦ τείχους ἐμάχοντο,) ὀλίγους μὲν αὐτοῦ κατέλιπον, οἱ
δὲ ἄλλοι ἐχώρουν ἐπὶ τὸ πονούμενον. Ἄγγιλας δὲ καὶ Θεόδω- P. 103
ρος, οἱ τῶν Ῥωμαίων ταξίαρχοι, ὧν δὴ καὶ πρότερον ἐπεμνήσθην, ἐπιφρασάμενοι τὴν ὀλιγότητα τῶν μεμενηκότων, ἐπεξίασιν ἀθρόον τοῦ ἄστεος ξὺν ἀποχρώσῃ δυνάμει· καὶ τὸ μέν τι αὐτῶν διαφθείρουσιν, ἔνιοι δὲ ἀποδράσαντες ᾤχοντο· τούτους τε οἱ Ῥωμαῖοι διώκοντες οὐκ ἀνίεσαν. οἱ δὲ ἄλλοι Διλιμνῖται ταῦτα ἰδόντες, οἵπερ ᾔεσαν ὡς δὴ τοῖς Πέρσαις πιεζομένοις ἐπαμυνοῦντες, ἐπιστρέφουσιν αὐτίκα ἐπὶ θάτερα, ὑ-

1. παρατεταμένῳ R. corr. pro vulg. παρατεταγμένῳ, idemque eoni. B. Vulc. 2. ἐνθένδε δὲ R. 4. ἐπελάσεις R., ἐπελεύσεις vulg. 10. ἐς αὐτοὺς R. 11. ἀπαγωγὴν R. in mg. 21. μέρη post θάτερα add. R.

tes sunt conspicati, tum utique confertim clamore edito in eam partem irruunt, quae iuxta mare instructa acie stabat. Ex ea enim etiam ipsi parte venerant; statimque alii quidem contis, alii sarissis, alii ensibus ferientes, quicquid obvium erat sternebant; violentioreque impetu in densos hostium ordines facto, scutisque protrudentes, condensatam confertamque eorum aciem perfregerunt.

26. Persae vero hunc illum exercitum esse rati, quem adventare intellexerant, quodque clam et insciis iis, qui seiuncti a reliquo exercitu in ipsos missi erant, iam advenissent, perturbatione ac metu pleni, et confusanee in se ipsos revoluti, sensim retrocesserunt, pedemque retulerunt. Quod cum Dilimnitae eminus cernerent, (sub mediam enim muri partem pugnabant,) paucos quidem ibi reliquerunt, ceteri ad eam partem, quae maxime laborabat, se contulerunt. Angilas vero et Theodorus, Romanorum duces, quorum etiam ante memini, animadversa paucitate eorum, qui manserant, confestim eum satis valido agmine eruptionem ex oppido faciunt, et nonnullos quidem eorum obtruncant, nonnulli vero in fugam se dederunt; quos ipsos Romani persequi non destiterunt. Dilimnitae autem haec conspicati, qui Persis laborantibus auxiliaturi iverant, rursus in contrarium vertuntur, Romanis obviam ire volentes, melius consultiusque

A. C. 555 παντιάζειν βουλόμενοι τοῖς Ῥωμαίοις, ἄμεινον εἶναι ἡγούμενοι
I. I. 29 εἰ μᾶλλον τοῖς ὁμοφύλοις ἐς ὅ, τι τάχιστα ἐπαρήξαιεν, σπου-
δῇ τε ἀτάκτῳ καὶ δρόμῳ πολλῷ ἐφέροντο, ὡς φεύγουσι μᾶλ-
λον ἀπρεπῶς, ἢ ὅτι ἑτέροις ἐπέρχονται, εἰκασθῆναι. ἔθεον
B μὲν γὰρ ὡς δὴ τοῖς οἰκείοις προσβοηθήσοντες, πλέον δέ τι
ὑπῆρχεν ἐν αὐτοῖς τοῦ ὀργιζομένου τὸ ταραττόμενον. ἡ δὲ τῶν
Περσῶν στρατιά, ὁπόση δὴ ὡς πλησιαίτατα παρετάττετο, ἰδόν-
τες τοὺς Διλιμνίτας οὕτω δή τι ξὺν ταραχῇ καὶ ἀκοσμίᾳ φοι-
* τῶντας, ἕτερόν τε οὐδὲν ἢ ὅτι ἀποδιδράσκουσι διανοηθέντες,
καὶ λογιζόμενοι ὡς οὐκ ἄν ποτε ἐκεῖνοι ἐς τοῦτο αἴσχους ἀφί-
κοντο, μὴ μεγάλου τινὸς καὶ ἀνυποίστου περιεστηκότος κινδύ-
νου, τότε δὴ καὶ αὐτοὶ τραπέντες ἀγεννῶς ἐσκεδάννυντο. ἡ
δὲ μελετωμένη τέως φυγὴ καὶ ὑπολανθάνουσα, τότε δὴ αὐτοῖς
ἐς τοὐμφανὲς ἀνεῤῥάγη. ἀλλὰ γὰρ καὶ οἱ Διλιμνῖται ταῦτα
περὶ τῶν Περσῶν οἰηθέντες, ξυνείποντό γε αὐτοῖς καὶ συνεξέ-
C θεον, ἀπατήσαντές τε ἅμα καὶ ἐξηπατημένοι. τούτων δὲ γι-
γνομένων, πλεῖστοι ὅσοι τῶν Ῥωμαίων τοῦ περιβόλου διεκβάν-
τες, λαμπροτέραν τοῖς πολεμίοις εἰργάσαντο τὴν ἀναχώρησιν,
ἐπισπόμενοί τε αὐτοῖς, καὶ τὸ ἀεὶ λειπόμενον ἀναιροῦντες.
ἄλλοι δὲ ἄλλοθεν ἐπεξιόντες πρὸς τὸ ἀντέχον ἔτι καὶ ξυνεστη-
V. 74 κὸς διεπονοῦντο. τὸ μὲν γὰρ λαιὸν κέρας τῶν βαρβάρων οὕτω

3. ἐφέροντο R. et Intpr. *ferebantur*, ἐπεφέροντο vulg. 7. ὁπόση δὴ ὡς R., ὅπως ἤδη vulg. 9. ἕτερόν τι R. 13. τέως R. Lugd. (Cl.), τε ὡς Edd. 14. ταῦτα R. 15. ξυνέθεον R., συνέθεον Lugd. 1. m. 16. γινομένων vulg. 17. διεκβάντες R., ἐκβάντες vulg. 18. ἀναχώρησιν R., ἀποχώρησιν vulg.

existimantes, si potius popularibus suis quam citissime subvenirent, inordinato studio effusoque cursu ferebantur, ita ut indecenter fugientibus magis quam in alios euntibus similes viderentur. Currebant enim tanquam suis opitulaturi, plus tamen perturbationis quam irae prae se ferebant. Persarum autem exercitus, ut iam quam proxime ipsis instructa acie stabat, cum videret Dilimnitas ita tumultuarie et sine ordine ferri, neque aliud quam fugere eos rati, secumque reputantes nequaquam illos eam turpitudinem in se admissuros, nisi in extremum aliquod et ineluctabile periculum redacti fuissent: tum utique etiam ipsi turpiter terga vertentes sunt dissipati, et praemeditata iam obscureque tentata fuga in apertum erupit. Dilimnitae enim haec de Persis opinantes, socios sese illis adiunxerunt, unaque fugerunt; fallentes simul et falsi. His itaque peractis, maxima Romanorum vis muris effusa, manifestiorem Persarum fugam reddidit, tergis eorum inhaerendo et extremos metendo; alii vero alia ex parte irruentes, adversus resistentes adhuc et conglobatos acriter pugnabant. Laevum enim barbarorum cornu iam aperte inclinarat solutumque erat; qui vero in altero stabant, fortissime re-

δή τι περιφανῶς ἐκεκμήκει καὶ διελέλυτο. οἱ δὲ ἐπὶ τῷ ἑτέρῳ A. C. 555 ξυντεταγμένοι καρτερώτατα ἀπεμάχοντο. οἵ τε γὰρ ἐλέφαντες I. I. 29 ἀντ᾽ ἐρύματος προβεβλημένοι καὶ ἐπεισπηδῶντες, διετάραττον αὐτίκα τὸν συνασπισμὸν τῶν Ῥωμαίων εἴπου ξυσταίη· οἵ τε ὑπὲρ τούτων ὀχούμενοι τοξόται λίαν ἐσίνοντο τοὺς ἐπιόντας, D οἷα ἐς ὕψος ἠρμένοι, καὶ τῷ ὑπερανέχειν εὐσκοπώτατα βάλλοντες· αἵ τε τῶν ἱππέων ἶλαι, διεκτρέχουσαι, ῥαδίως προσέβαλλον καὶ ἠνώχλουν ἀνδράσι πεζοῖς καὶ ἐμβριθέστερον ὡπλισμένοις· ἤδη τε οἱ ταύτῃ Ῥωμαῖοι ἐς φυγὴν ἐκκλίναντες ἀπηολαύνοντο.

κζ. Ἀνὴρ δέ τις ἐν αὐτοῖς τῶν Μαρτίνου δορυφόρων, Ὄγναρις ὄνομα, ἐν στενωτάτῳ χωρίῳ ξυνειλημμένος, ὡς μηδὲ τὸ ἀποδιδράσκειν αὐτῷ ἐλεύθερον εἶναι καὶ ἐφειμένον, αὐτίκα ὅγε ἀπειρηκὼς τοῖς ξυνενεχθεῖσι, καὶ ὥσπερ τῆς τύχης ἀποπειρώμενος, ἐπιόντα οἱ δεινῶς τὸν θρασύτερον τῶν ἐλεφάντων πλήττει βιαίως ἀνὰ τὴν ὀφρὺν τῷ δόρατι, καὶ ἐμπή- P. 104 γνυσι τὴν αἰχμήν, ὡς ἅπαν τὸ λοιπὸν ἀπῃωρῆσθαι. ὁ δὲ πρός τε τὴν πληγὴν δυσανασχετῶν, καὶ πρός γε τοῦ δορατίου ἀμφὶ τὸν ὀφθαλμὸν κραδαινομένου ἐκταραττόμενος, ὑπεξήγετο ἀθρόον ἐς τοὔμπαλιν ἀνασκιρτῶν καὶ περιδονούμενος, τήν τε προνομαίαν νῦν μὲν ὥσπερ ὕσπληγγα περιτινάσσων ἔπληττε πολλοὺς τῶν Περσῶν καὶ ἐξηκόντιζε, νῦν δὲ ἐς μῆκος ἐκτεί-

3. ἐπεισπηδῶντες R., ἐπεκπηδῶντες vulg. 4. συνασπιμὸν sph. Par. 8. ἠνάχλουν Par. 9. ἐκκλίνοντες R. 12. Ὄγναρις R. et Intpr., Ὄγναρος vulg. στενωτάτῳ R., στενοτάτῳ vulg. 17. ἀπηωρῆσθαι R., ὑπηωρεῖσθαι vulg. 20. περιδονούμενος R., περιδινούμενος vulg. 22. νῦν δὲ R., νῦν μὲν vulg.

pugnabant. Elephanti enim pro vallo obiecti et proruentes, sicubi confertis clypeis pugnam inirent Romani, statim aciem turbabant, et sagittarii, qui eis vehebantur, Romanos irruentes graviter laedebant, utpote in sublime elati, certaque eo, quod editiores essent, tela iacientes. Quin et equitum turmae discurrentes facile invadebant atque turbabant pedites et gravioris armaturae milites; iamque ex ea parte Romani ad fugam inclinati pedem referebant.

27. Vir autem quidam inter eos e satellitibus Martini, Ognaris nomine, in summas angustias redactus, adeo ut nullum ei pateret liberum effugium, ac iam de salute sua desperans, et quodammodo fortunae aleam periclitans, irruentem in se horrendum in modum quendam e ferocioribus elephantis, magna vi ad imam frontem circa supercilium hasta ferit, spiculo ita adacto atque impacto, ut quod reliquum erat hastae propenderet. At hic accepti ictus impatiens, atque insuper hasta circa oculum rotante perturbatus, confestim retroactus atque in orbem se versans, et promuscidem nunc

A. C. 555 I. I. 29 νων τραχύν τινα καὶ ἄγριον ἦχον ἀφίει. αὐτίκα δὲ τοὺς ὕπερθεν ἑστῶτας ἀποσεισάμενος κατέβαλε, καὶ ἐμπατήσας διέφθειρεν. ἔπειτα δὲ καὶ ἅπαντα τὸν Περσικὸν ὅμιλον ἀνεσόβει, τούς τε ἵππους ἀναχαιτίζων οἷς ἂν ἐμπελάσειε, καὶ τοῖς B ὀδοῦσι τὸ ἐπιψαῦον διατεμνόμενος καὶ ἀναχαράσσων. καὶ ἦν ἅπαντα ὀλοφυρμοῦ ἀνάπλεα καὶ θορύβων. οἱ μὲν γὰρ ἵπποι τῇ χαλεπότητι τοῦ θηρίου ἐπτοημένοι, οὐ μάλα τοῖς ῥυτῆρσιν ἐπείθοντο, ἀλλὰ τὰς ἐμπροσθίους μετεωρίζοντες ὁπλὰς, ἐξεκύλιον τοὺς ἐλατῆρας, οὕτω τε ἄτακτα διὰ τοῦ πλήθους ἐξήλλοντο, πνευστιῶντες θαμὰ καὶ φριμασσόμενοι. τῶν δὲ ἀνδρῶν ἐς ἑαυτοὺς ἀναχωρούντων, ἁπάντων τε ὠθούντων ἀλλήλους καὶ παραγκωνιζομένων, καὶ ἑκάστου προτερῆσαι τὸν πέλας ἐπειγομένου, πλεῖστοι ὅσοι ἐκτείνοντο ὑπὸ σφῶν, τοῖς τῶν φιλτάτων τε καὶ ὁμοφύλων ξίφεσι περιπταίοντες. οὕτω δὲ τῆς C ταραχῆς ἐπιμέγα ἰούσης, οἱ Ῥωμαῖοι, ὁπόσοι τε ἤδη ἐτύγχανον ὑπεκβάντες τοῦ περιβόλου καὶ εἴ που τι αὐτῶν ἔνδον ἐλέλειπτο, τότε δὴ ἅπαντες ἐς μίαν τινὰ φάλαγγα συσπειραθέντες, καὶ τὸ μέτωπον ὡς καρτερώτατα ταῖς ἀσπίσι φραξάμενοι, ἐμπίπτουσι ξυγκεχυμένοις ἔτι τοῖς πολεμίοις. οἱ δὲ τῷ ἤδη προπεπονηκέναι τὴν προσβολὴν οὐκ ἐνεγκόντες, ὠκύτατα ἔφυγον· οὐδὲ τοῦτο δρῶντες ἐν τάξει, οὐδὲ ὥστε καὶ ἀμύνεσθαι τοὺς

4. ἀμπελάσειε (punctis sub αμ subditis) R. 6. θορύβων R. θορύβου vulg. 8. ὁπλ. μετ. R. 11. ἁπάντων τῶν R., sed corr. τε. 71. ἐς om. R.

quidem instar flagelli huc illuc torquens, multos Persarum percussit et in altum iecit; nunc vero eandem in longum extendens horrendum quendam atque immanem barritum edebat; mox vero etiam super se stantes excussos prostravit et proculcatos extinxit; totum deinde exercitum Persicum conturbavit, equos etiam, ad quos propius accedebat, effrenes erectisque iubis restitantes reddebat; et quos prensasset dentibus proscindebat ac discerpebat. Erant itaque omnia eiulatu et tumultu plena. Equi enim ferocia belluae expavefacti, habenis non admodum audientes erant, sed anterioribus ungulis in altum elatis sessores evolvebant; atque ita turbulente per medium agmen saltabundi ferebantur, anhelantes crebrumque spiritum naribus efflantes. Viris autem in se ipsos reflexis, omnibusque sese mutuo impellentibus cubitoque protrudentibus, et unoquoque vicinum suum antevertere contendente, quamplurimi a suis interficiebantur, in amicissimorum et popularium suorum enses impingentes. Cum itaque tumultus et perturbatio vehementer iam invaluisset, Romani quotquot antea muro egressi erant, et si qui forte intus manserant, universi in unum agmen conglomerati, et fronte aciei quam validissime scutis communita, in hostes ita adhuc confusos irruunt; qui, ut praeteritis laboribus defatigati, cum impetum sustinere non possent, citissime fugerunt; at ne id quidem

ἐπιόντας, ἀλλ' ἐσκεδάννυντο ἄλλος ἄλλοθι ὥσπη ἑκάστῳ προὔ- A.C. 555
χώρει. ὁ δὲ Ναχοραγὰν, ἀλλὰ γὰρ καὶ αὐτὸς τῷ παραλόγῳ I. I. 29
τῶν γιγνομένων καταπεπληγμένος ἐς τὰ ὀπίσω δρομαῖος ἀπή-
λαυνε, σημαίνων ἅπασι τῇ μάστιγι καὶ ἐγκελευόμενος ὡς τά-
χιστα φεύγειν, τοῦτο δὴ τὸ πρὸς ἐκείνων ἤδη πρασσόμενον. οὕ- D
τως ἄρα αὐτῷ τὰ τῆς ὑψηγορίας ἐς τοὐναντίον ἀπέβη. οἱ δὲ Ῥωμαῖοι οὐ πρότερον ἀνῆκαν διώκοντες τοὺς βαρβάρους καὶ ἀναιροῦντες, πρίν γε δὴ ὁ Μαρτῖνος, ἀποχρῆναι ἡγούμενος, ἀνεκαλεῖτό τε αὐτοὺς ὑπὸ τῇ σάλπιγγι, καὶ τὸν θυμὸν ἐξημέρου. οὕτω τε οἱ Πέρσαι μόλις εἰς τὸ οἰκεῖον στρατόπεδον ἀπεσώθησαν, οὐ μεῖον ἢ δέκα χιλιάδας μαχίμων ἀνδρῶν ἐν τῷδε τῷ ἔργῳ ἀποβεβληκότες.

κή. Οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς διώξεως ἐπανελθόντες, τοὺς τε σπαλίωνας ἐνέπρησαν, καὶ ὁπόσα ἄλλα Περσικὰ μηχανή-
ματα ἀμφὶ τὸ τεῖχος ἐλέλειπτο. ἐντεῦθεν δὲ φλογὸς μεγάλης P. 105
ἀρθείσης, οἱ τὴν ὕλην κατατέμνοντες ὑπηρέται τῶν Περσῶν καὶ ἀχθοφόροι, ἰδόντες πόῤῥωθεν καπνὸν εἰς ὕψος ἀνέρποντα, καὶ ἐπὶ πολὺ τοῦ ἀέρος ἀνελιττόμενον, αὐτίκα οἱ δείλαιοι ἐπὶ τὸ ἄστυ ἐχώρουν, οἰηθέντες, ὥς που τῷ Ναχοραγὰν πρότερον ἐκεκόμπαστο, τὸν περίβολον πυρπολεῖσθαι. τοιγάρτοι ξὺν

1. *ὥσπερ* R. 3. *ἀπήλαυε* sph. Par. 5. *τὸ* post *τοῦτο δὴ* add. ex R. 9. *ἀνεκαλεῖτό τε* R., *ἀνεκάλει τότε* vulg. 11. *μαχίμων ἀνδρῶν* R., *ἀνδρ. μ.* vulg. 16. *τῶν Περσῶν* add. ex R. et Intpr. *Persae, qui materiam caederent, ministri simul.* 20. *τοιγάρτοι* om. R.

ordine aliquo servato fecerunt, neque ita persequentes propulsarunt, sed dissipati dispersique sunt alius alio, prout cuique successit. Quin et Nachoragan ipse inopinato rei eventu obstupefactus retrorsum cursim adequitabat, significans omnibus flagello et mandans, ut quam celerrime fugerent, quod quidem iam ab illis factum erat. Sic utique illi iactantia sua in contrarium cessit. Romani vero non antea persequendi ac trucidandi barbaros finem fecerunt, donec Martinus sufficere ratus per tubam eos revocavit, iraque percitos eorum animos mitigavit. Atque ita Persae aegre tandem ab castra sua salvi evaserunt, non minus quam decem bellatorum millibus in eo conflictu desideratis.

28. Romani autem ex persecutione reversi, testudines reliquasque Persicas machinas circa murum relictas incenderunt; unde cum ingens esset flamma excitata, ministri et baiuli, qui ad silvam caedendam missi erant, cum e longinquo intervallo fumum sursum tendentem alteque in aëre volutantem essent conspicati, confestim miseri ad oppidum contenderunt, existimantes, quod quidem Nachoragan antea superbe iactarat, moenia conflagrare. Concitato itaque cursu ferebantur; veriti, opinor, ne post festum,

A. C. 555 πολλῷ τῷ δρόμῳ ἐφέροντο, δεδιότες, οἶμαι, μὴ σφᾶς παραδρά-
I. I. 29 μοι ὁ τοῦ ἔργου καιρὸς, καὶ ἅπαντα τεφρωθείη, πρὶν δὴ αὐ-
V. 75 τοὺς ἀφικέσθαι. ἅμιλλά τε ἦν αὐτοῖς ὑπὲρ τοῦ τάχους, οὐκ
ἐπισταμένοις ὡς τῷ νικῶντι συμβήσεται πρώτῳ τεθνάναι.
ἅπαντες γὰρ ἀμοιβαδὸν ὑπὸ τῶν Ῥωμαίων ἁλισκόμενοι, κα-
B τεκτείνοντο, ὥσπερ τοῦδέ γε ἕνεκα μόνου παραγιγνόμενοι. ἀπο-
λώλασι τοιγαροῦν οὐ πολλῷ ἐλάσσους τῶν δισχιλίων. τοσού-
τοις ἀνδράσιν ἐργοπόνοις, καὶ τὰ πολέμια ἥκιστα μεμελετη-
κόσιν, ἔς τε παράταξιν οὐπώποτε ἀφιγμένοις, αὐτομάτου τι-
νὸς καὶ παραλόγου ὀλέθρου ὁ Ναχοραγὰν αἰτιώτατος γέγονεν,
ἀνόητα παρακελευσάμενος. οὕτως ἄρα ἡ ἀλαζονεία οὐ μόνον
αὐτοὺς σίνεται τοὺς κεκτημένους, ἀλλὰ γὰρ καὶ οὓς ἂν ἐκεί-
νοις ὑπηρετεῖν συμβαίη καὶ πείθεσθαι. τούτων δὲ ὧδε ξυνε-
νεχθέντων, οἱ μὲν Ῥωμαῖοι εὐέλπιδες ὑπῆρχον ἐς τὰ μάλι-
στα, ὡς καὶ αὖθις ῥᾳδίως περιεσόμενοι εἴγε ἄρα καὶ ἀνα-
C μαχεῖσθαι οἱ βάρβαροι πειραθεῖεν. ὅσοι δὲ αὐτῶν ἐν τῇ μάχῃ
ἐτεθνήκεσαν, (ἦσαν δὲ οὐ πλείους ἢ διακόσιοι,) τούτους δὴ
εὐπρεπέστατα ἔθαψαν, ὑπεραγάμενοι τῆς προθυμίας, ὡς ἄν-
δρας ἀγαθοὺς ἀποδεδειγμένους· τοὺς δὲ τῶν πολεμίων νεκροὺς
σκυλεύσαντες, ὅπλων τε ἄφθονον πλῆθος καὶ ἄλλων χρημάτων
περιεβάλοντο. οὐ γὰρ μόνον ἀσπίδας καὶ θώρακας τυχὸν καὶ
γωρυτοὺς βελῶν ἔνιοι τῶν κειμένων ἐπεφέροντο, ἀλλὰ στρε-

6. παραγιγν. R., παραγιν. vulg. 10. αἴτιος R. 11. ἀνόητα R. et Intpr. *stolide*, ἀνόνητα vulg. 12. ἐκείνοις om. R. 17. τούτους δὲ R. 21. περιεβάλλοντο R. 22. γωρυιτοὺς Edd.

quod aiunt, venirent, omniaque ante ipsorum adventum in favillas et cinerem essent redacta. Certabant itaque inter se celeritate, nescientes fore ut qui vinceret, primus moreretur. Omnes enim ex ordine a Romanis capti, obtruncati fuerunt, perinde ac si ea tantum de causa venissent. Perierunt itaque non multo pauciores duobus millibus. Tot viris operariis et in re bellica minime exercitatis, quique nunquam in aciem prodiissent, ultronei cuiusdam atque inopinati exitii auctor fuit Nachoragan, qui inconsulta imperarat. Usque adeo arrogantia non solum suos possessores, sed et illos, quos eis inservire et morem gerere contingit, perdit. His vero ita peractis, Romani quidem optima spe pleni erant, se in posterum facile superiores futuros, si fortasse barbari proelium instaurare tentarent. Quotquot vero ipsorum in conflictu perierant, (erant autem non pauciores ducentis) eos honestissime sepelierunt, laudata eorum strenuitate, quippe qui ut viri fortiter rem gessissent: hostium vero cadavera spoliarunt, et ingentem armorum aliarumque rerum vim acquisiverunt. Neque enim scuta et loricas tantum et pharetras nonnulli caesorum gestabant; sed et torques aureos et monilia et inaures aliaque id genus muliebria exquisitaque orna-

κτοὺς γὰρ παγχρύσους καὶ περιδέραια καὶ ἐλλόβια, καὶ ἄλλα A.C. 555 ἄττα τοιάδε θηλυπρεπῆ ποικίλματα καὶ περίεργα, ὁποίοις οἱ I. I. 29 ἐντιμότεροι τῶν Μήδων ἐναγλαΐζονται, τοῦ μᾶλλον εἶναι ἀρίδηλοι καὶ τοῦ ἄλλου ὁμίλου ἀποκεκρίσθαι. ὁ δὲ Ναχορα- D γὰν, ἐπειδὴ αὐτὸν τά τε ἐπιτήδεια ἐλελοίπει, καὶ ἤδη χειμῶνος ὥρα ἐπεγίγνετο, ἐῴκει μὲν αὖθις πολεμησείοντι, καὶ ἐς τόδε συσκευαζομένῳ. οὐ μὴν ἔργῳ τὸ βούλευμα ἐπετέλει, ἀλλὰ τὸ τῶν Διλιμνιτῶν στῖφος τῇ ὑστεραίᾳ ἐκπέμψας ἀνὰ τὸ στάδιον, καὶ ἐς ἐκείνους ὁρᾶν τοὺς Ῥωμαίους ἀναπείσας, ταύτῃ τε δόκησιν παρασχόμενος τοῦ ἐπελεύσεσθαι, αὐτίκα ὅγε σχολαίτερον ἅμα τοῖς ἄλλοις στρατεύμασιν ἐπὶ Κοτάϊσιν καὶ Μουχείρισιν ἐπορεύετο. ὡς δὲ πλεῖστον ἤδη τῆς ὁδοῦ προεληλύθει, τότε δὴ καὶ οἱ Διλιμνῖται λύσαντες τὴν τάξιν, εὐκολώτατα ἀπεχώρουν, ἅτε δὴ κούφως ἀεὶ ἐσταλμένοι, καὶ ἄλλως ἄλκιμοι καὶ ποδώκεις. παρῆσαν δὲ αὐτοῦ καὶ ἡ ἄλλη Περσικὴ ἀπόμοιρα, οἳ δὴ ἐτύγχανον παρὰ τὸν Νέοκνον ποταμὸν πρότερον, ἀπεσταλμένοι διὰ τὴν Μαρτίνου ἀπάτην, ᾗπέρ P. 106 μοι ἤδη ἐῤῥήθη. γνόντες γὰρ ὡς ἐνενίκηντο μὲν οἱ Πέρσαι, οἱ δὲ Ῥωμαῖοι ἁπάσης ἤδη τῆς χώρας ἐκράτουν, αὐτίκα οἵγε πορείαν τινὰ διαλανθάνουσαν καὶ τῶν λεωφόρων ἀποκεκριμένην διανύσαντες εἰς Μουχείρισιν ἵκοντο, τῶν μὲν ἀγώνων ἥκιστα μετασχόντες, τοῦ δὲ τῆς φυγῆς αἴσχους πολλῷ ἔτι

1. περιδέῤῥαῖα vulg. 2. ὁποίους sph. Par. 6. ἐῴκει correctum est in mg. Lugd., ἐδόκει idem in ord. et R., Intpr. *videbatur*. 10. σχολαιότερον R. 11. Κοταίσιον Edd. 12. ἐπορεύετο R., ἐπορεύοντο vulg. 15. αὐτοῦ κ. ἡ ἄλλη R., κ. ἡ ἄ. αὐτ. vulg. 20. ἀποκεκρυμμένην R.

menta, qualibus notabiliores honoratioresque Medi ornari solent, ut spectabiliores sint, et a vulgo secernantur. Nachoragan vero, cum iam ipsum commeatus aliaque necessaria deficerent, et iam bruma immineret, proeliandi quidem desiderium prae se ferebat, et ad hoc se comparabat; re tamen ipsa consilium desideriumque suum non praestabat; sed Dilimnitarum agmine postridie ad stadium emisso, et adversa in Romanos fronte stare iusso, eoque ipso proelii abs se committendi expectationem excitans, sensim ipse cum reliquis copiis Cotaesium et Muchirisidem versus movit. Cum vero iam maximam viae partem confecisset, tum et Dilimnitae soluta acie facillime abscesserunt, utpote leviter semper armati expeditioresque, et praeterea robusti pedibusque celeres. Adventabat autem etiam alia ipsius Persici exercitus pars, quae ad Neognum fluvium antea missa fuerat propter Martini dolum, quemadmodum supra a me dictum est. Cum enim cognovissent victos quidem esse Persas, Romanos vero universa iam regione potiri, confestim occultiore itinere et a publicis viis remoto Muchirisidem pervenerunt,

A. C. 555 ἀκλεέστερον μετειληφότες. ἐπειδὴ οὖν ἅπας ὁ στρατὸς ἐνταῦθα
I. L. 29 ἐτύγχανε ξυναγηγερμένος, τότε δὴ τὸ πλεῖστον τῆς ἱππικῆς
B δυνάμεως καταλιπὼν, ἰλάρχην τε αὐτοῖς ἐπιστήσας Οὐαφρί-
ζην, ἄνδρα τῶν παρὰ Πέρσαις γνωριμωτάτων, αὐτὸς ξὺν ὀλί-
γοις ἐς Ἰβηρίαν ἀπενόστησεν, ὡς ἐκεῖσε διαχειμάσων.

1. ἀκλεεστέρου R. in mg. 2. ξυνεγηγερμένος R. 4. παρὰ add. ex R. et Intpr. *apud Persas*.

conflictuum quidem nequaquam, dedecoris vero ex fuga et quidem multo turpius participes. Posteaquam igitur universus exercitus in unum convenisset, maiore equitatus parte ibi relicta, et Wafrise, viro inter Persas celeberrimo, magistro equitum eis constituto, ipse cum paucis in Hiberiam rediit, tanquam ibi hibernaturus.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ
ΙΣΤΟΡΙΩΝ Δ.

AGATHIAE SCHOLASTICI
HISTORIARUM LIBER IV.

ARGUMENTUM.

Iudicium de caede Gubazis, Athanasio quaesitore, instituitur (1). *Primum Iustiniani litterae ad Rufinum datae, quibus Gubazem Byzantium mitti iusserat, recitantur* (2). *Oratio accusatorum adversus Rufinum et Ioannem* (3, 4, 5, 6). *Vix sedatis vulgi clamoribus, hi longa oratione se defendunt* (7, 8, 9, 10). *Causa utrimque perorata, Athanasius reos damnatos ad supplicium duci iubet* (11). *Misimianorum legati auxilium petentes comiter a Nachoragane excipiuntur* (12). *Insequenti anno Romani, Baraze et Pharsante ducibus, Misimianis bellum inferunt: in finibus Apsiliorum Persarum exercitus iis obviam venit* (13). *Romani Hunnos Sabiros hoc anno cum Persis militantes ex improviso adorti vehementer premunt; Persarum exercitu superveniente recedunt* (14). *Interim Elminzur, dux Romanorum a Iustino missus, Rhodopolin, Lazicum oppidum, a Persis olim expugnatum, subito aggressus occupat. Misimiani legatos Apsiliorum pacis causa a Romanis missos occidunt* (15). *Irati Romani fines eorum invadunt et exercitum vincunt. Victi Tzachar, castellum munitissimum, se recipiunt* (16). *Quod Romani segniter obsidentes ab Ioanne Dacna, quem Martinus ad eos miserat, novo studio incitantur* (17). *Centum eorum, Illo duce, explorato itinere, ad oppidum sub ipsa arce situm noctu adscendunt* (18). *Oppressis per noctis tenebras custodibus, omnes incolas crudelissime trucidant* (19). *Sed ipsi paulo post a Misimianis cum magna clade detruduntur. Verumtamen Romanis nihilo secius castellum oppugnantibus, Misimiani pacem orant, quam Ioannes concedit* 20). *Misimianorum rebus compositis, Iustinianus summum imperium Martino abrogatum Iustino tradit* (21). *Ioannes quidam Afer, venia a Iustino impetrata, nefario dolo a provincialibus pecunias exigit* (22). *Chosroes Nachoraganem propter cladem ad Phasin urbem acceptam excoriari iubet* (23). *Digressio de novi Persici imperii regibus* (24, 25, 26, 27, 28). *Cabadis, Persarum regis, fata cum similibus Zenonis Isauri et Nepotis casibus comparantur. Chosrois, novissimi regis, ingloria mors* (29). *Sergii interpretis diligentia laudatur. Chosroes per Zichum legatum Byzantium missum inducias cum Iustiniano paciscitur* (30).

A. C. 555 I. I. 29 P. 107 V. 76 α΄. Ἐς τοῦτο δὲ νίκης τοῖς Ῥωμαίοις τοῦ πολέμου κεχωρηκότος, καὶ ὥσπερ ἀνακωχῆς τῶν δεινῶν γεγενημένης, τῶν τε ὅπλων τὸ παραυτίκα ἠρεμηκότων, τότε δὴ ἐς ζήτησιν ἤγετο τὰ ἐπὶ Γουβάζῃ πρότερον τετολμημένα. καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ θώκου τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα ἐνειμένος, ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμόνων. παρῆσαν δὲ αὐτῷ ἄνδρες γράφειν τε ἐς τάχος πεπαιδευμένοι, καὶ ἐπιτροχάδην ἀναλέγεσθαι τὰ γεγραμμένα· ἄλλοι τε ὑπηρέται σοβαρώτεροι καὶ ἐμβριθεῖς, καὶ δαημονέστατοι τῆς τῶν B δικαστηρίων κομψείας, κήρυκές τε μεγαλοβόαι, καὶ οἱ τῶν μαστίγων ἐπιστάται. ἅπαντες δὲ οὗτοι ἐκ τῶν ἐν Βυζαντίῳ ἀρχείων ἐτύγχανον ἀπολελεγμένοι. ἐπεφέροντο δέ, οἷς τοῦτο ἀνεῖτο, δεσμούς τε σιδηροῦς περιαυχενίους, κλινοστρόφιά τε καὶ ποδοστράβας, καὶ ἄλλα ἄττα ὄργανα κολαστήρια. καί μοι P. 108 δοκεῖ βασιλεὺς Ἰουστινιανὸς οὐκ ἀπεικὸς οὐδὲ αὐτομάτως ἀλλ' ἐμφρονέστατα τοῦ δέοντος ἐστοχασμένος, ξὺν τοιᾷδέ τινι τάξει καὶ εὐκοσμίᾳ τὴν κρίσιν προελθεῖν παρακελεύσασθαι, οὐ μόνον ὅπως οἱ ἐκείνῃ βάρβαροι, τῶν Ῥωμαϊκῶν σφίσι νομίμων κομπωδέστερον ἀναδεικνυμένων, θαυμάζοιέν τε αὐτὰ καὶ ἐπιπλέον ἀρ-

1. Ἐς R. (Cl.), Lugd. et ed. pr. ὡς, Par. Ὡς. 2. τῶν δεινῶν correxi, R. τῶν ἐκείνων, vulg. τῷ (Lugd. mg. τῶν) ἐκείνῳ. — Thucyd. IV. 117. γενομένης ἀνακωχῆς κακῶν καὶ ταλαιπωρίας. 3. τὸ παραυτίκα R., παραυτίκα vulg. 4. Γουβάζῃ R., Γουβάζην vulg. 5. θώκου R., θάκου vulg. 6. ἐνειμένος Cl., ἐνειμμένος R. et Lugd., ἐνημμένος vulg. 7. αὐτῷ καὶ ἄνδρ. R. 9. δαημονέστατοι R. (δαιμ.) et Intpr. *scientissimi*, δαημονέστεροι vulg.

1. Hac itaque victoria potiti Romani, et induciis quodammodo a bello factis, armisque confestim conquiescentibus, tum demum quaestio habita de facinore in Gubazen commisso. Athanasius ergo in excelso quodam throno decenter consedit, chlamydem indutus, quali fere politissimi principes uti solent. Aderant vero ipsi viri et scribendi apprime periti, et scripta prompte expediteque legendi, aliique ministri severi et graves, et in rebus iudicialibus optime versati, praecones etiam altum clamantes, et lictores; omnes hi ex Constantinopolitana aula delecti. Proferebant vero in medium ii, quibus id commissum erat, vincula ferrea, collaria, compedes et tendiculas aliaque id genus instrumenta tortoria. Et quidem mihi videtur Iustinianus Imperator non abs re neque temere, sed prudentissime decori habita ratione, mandasse, ut hoc ordine atque apparatu iudicium institueretur, non solum ut qui ibi erant barbari, cum eis Romanorum instituta magnificentiore apparatu proponerentur, ea et admirarentur magisque eorum gubernationi assuefierent: ve-

χεσθαι ὑπὸ τούτων ξυνεθισθεῖεν, ἀλλὰ καὶ ὅπως, εἰ μὲν ὡς μηδί- A. C. 555
σας πρότερον ὁ Γουβάζης δικαιότατα φανείη ἀνῃρημένος, μηκέτι P. 129
ἀνιῷντο οἱ Κόλχοι, μηδὲ ὥς τι δεινὸν πεπονθότες ἀγανακτοῖεν.
εἰ δέ γε ἅπαντα καταψευσάμενοι, καὶ ἄδικον μίασμα δράσαν-
τες ἁλοῖεν οἱ ἀπεκτονότες, οὕτω τε καταδιαιτηθέντες, καὶ ὑπὸ
κήρυκι πομπῷ ἀνὰ τὰ πλήθη περιηγμένοι, εἶτα τῷ παλαμναίῳ B
ξίφει, ἁπάντων θεωμένων, καρατομηθεῖεν, τότε δὴ μεῖζόν τι
δόξειεν εἶναι τὸ πέρας, καὶ διπλασίων ἡ τιμωρία. ἠπίστατο
γὰρ ὡς, εἰ μὲν οὕτω πως ἐν ἀποῤῥήτῳ βαρβαρικώτερον Ῥού-
στικόν τε καὶ Ἰωάννην διαφθαρῆναι παρακελεύσοιτο, οὐκ
ἀποχρώντως ἡγήσασθαι ἂν τοὺς Κόλχους τὴν ὕβριν αὐτοῖς
ἀπεσκευάσθαι, οὐδὲ προσήκουσαν ποινὴν κομίσασθαι τῶν ἡμαρ-
τημένων. δικαστηρίου δὲ καταστάντος, καὶ ἀντιλογίας ἑκατέ-
ρωθεν προελθούσης, καὶ τῶν ὑπηρετῶν ἄνω τε καὶ κάτω διατ-
τόντων, καὶ ὅπως τῶν κρινομένων ἕκαστος ἐν κόσμῳ ἑστήξει
καὶ ἀποκρινεῖται διαταττομένων, ὄγκου τε δικαστικοῦ φαινο- C
μένου, καὶ μεγαληγορίας ἀκουομένης, καὶ ἐπὶ τούτοις τοῦ
ὀλέθρου φρικωδέστερον ἐπιγιγνομένου· τούτων δὴ οὖν οὕτω V. 77
πρασσομένων, ἕτερόν τι αὐτοῖς μεῖζον καὶ μάλα εἰκότως φα-
νεῖσθαι τὸ χρῆμα ἐγίγνωσκε, καὶ τάχα τὴν ἀξίαν τοῦ ἐπικλή-
ματος ὑπερβάλλον. ταῦτα γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς,

5. οἱ ἀπεκτονότες R., art. om. vulg. 8. Lugd. mg. ἴσ. τέρας. 14. διαττόντων vulg. ex coni. in mg. Lugd., Intpr. *ultro citroque cursitantibus*, διαταττόντων R. et Lugd.

rum etiam ut, si quidem Gubazes defectione antea ad Medos tentata caesus fuisse deprehenderetur, non amplius eius caedem dolerent Colchi, neque ut gravi malo accepto indignarentur. Si vero interfectores per falsam criminationem facinoris piacularis perpetrati convincerentur, ipsis publico iudicio damnatis, et praeeunte ac proclamante praecone per exercitum circumductis vindiceque gladio, omnibus spectantibus, capite truncatis, atrocior barbaris rei exitus et duplicatum supplicium esse videretur. Sciebat enim, si clandestina nece barbaricum in morem Rusticum et Ioannem e medio tolli mandasset, existimaturos Colchos, iniuriam, quam acceperant, non satis pro eo ac debebat vindicatam, neque satis graves de crimine poenas sumtas fuisse. Iudicio vero pro tribunali instituto, et causa utrimque disceptata, et ministris iudiciariis ultro citroque commeantibus, utque actores et rei apte suo ordine interloquantur procurantibus, versante etiam ob oculos maiestate iudiciali et grandiloquentia aures feriente, eoque omni apparatu mortem imminentem horribiliorem efficiente; his, inquam, omnibus ita peractis, rem ipsam maius aliquid atque atrocius barbaris esse repraesentaturam, et fortasse criminis admissi meritum excedens. Haec enim etiam ipsos cives Byzantinos, tametsi frequenter illic contingant, percellunt, atque

A. C. 555 καίτοι θαμὰ ἐκεῖσε γιγνόμενα, καταπλήττει καὶ ἐξίστησι τῶν
I. I. 29 φρονημάτων, μή τί γε βαρβάρους καὶ οὐκ εἰθισμένους.
τούτων μὲν οὖν ἕνεκα, οἶμαι, Ῥωμαϊκὸν δικαστήριον, μᾶλλον
μὲν οὖν Ἀττικώτατον, ὑπὸ τῷ Καυκάσῳ ξυνεκροτήθη.

β'. Τότε δὲ Ῥουστικός τε καὶ Ἰωάννης, ἐκ τοῦ δεσμω-
τηρίου ἠγμένω, ἀνὰ τὸ λαιὸν μέρος ἑστήκατον, οἷα δὴ φεύ-
D γοντε. ἐπὶ θάτερα δὲ παρῆσαν κατηγορησείοντες τῶν Κόλχων
οἱ ἐμφρονέστατοι, καὶ ἤδη ἐκπλείστου τὴν Ἑλλάδα φωνὴν ἐκ-
μεμαθηκότες. ἐδέοντο δὲ πρότερον τὴν παρὰ βασιλέως ἐπιστο-
λὴν ἐν κοινῷ ἀνακηρύττεσθαι, ἥνπερ ἐτύγχανε πρότερον ὁ
Ἰωάννης τούτων δὴ πέρι τοῖς στρατηγοῖς διακομίσας· ἀλλὰ
γὰρ καὶ τῷ διαιτητῇ ξυνδοκοῦν, γεγωνότερόν τις αὐτὴν τῶν
ἐς τοῦτο τεταγμένων διεξῄει, ὧδέ πως ἔχουσαν· „ἄπιστον μὲν
καὶ παράλογον τὸ πρὸς ὑμῶν ἀνηγγελμένον, ὡς ἄρα βουλομέ-
νῳ ἐστὶ τῷ Γουβάζῃ, τὰ πάτρια ἔθη καταπροεμένῳ καὶ τοὺς
ἐν ἅπασιν ὁμόφρονας καὶ ἀνέκαθεν ἡγεμόνας, τοὺς Ῥωμαίους
P. 109 φαμέν, ἐπὶ τοὺς ἐχθίστους τε καὶ ἀλλοτριωτάτους καὶ πρός
γε τὰ ἐς θεὸν ἑτερογνώμονας μεταχωρῆσαι, καὶ ταῦτα οὐδὲν
ὁτιοῦν ἐξ ἡμῶν ἄχαρι προπεπονθότι. πλὴν ἀλλ' ἐπειδὴ γιγνώ-
σκομεν τὰ ἀνθρώπεια παλίμβολά τε καὶ ὀλισθηρά, καὶ τῇ ποι-
κιλίᾳ τῶν παρεμπιπτόντων συμπεριάγεσθαι πεφυκότα, οὐ παν-
τάπασιν ἀπιστεῖν ᾠήθημεν χρῆναι, οὐδὲ μεθεῖναι μὲν τὸ φυ-

2. μή τί γε R., μήτοι γε vulg. καὶ ins. ex R. et Intpr. 8. ἐκμεμαθ. R., μεμαθ. vulg. 9. πρῶτον R. 12. γεγωνότερον R. (Cl.), γεγονώτερον vulg.

extra se ponunt, nedum barbaros iis non assuetos. His igitur, ut arbitror, de causis Romanum, immo vero Atticissimum, tribunal ad Caucasum fuit indictum.

2. Tum vero Rusticus et Ioannes e carcere producti, ad sinistram partem sunt constituti, utpoti rei; ex adverso stabant actores, qui eum criminaturi erant, Colchorum sapientissimi, quique iam a multo tempore Graece loqui didicerant; ac primum quidem postularunt, ut litterae Imperatoriae publice recitarentur, quas antea Ioannes de hisce rebus ad praefectos exercitus attulerat. Quod quidem postulatum cum et iudici probaretur, quidam ex iis, qui ad hoc erant designati, altiore voce eam recitavit; sic habentem: „Incredibile quidem mihi absurdumque videtur, quod a vobis nuntiatur, Gubazi deliberatum esse, patriis moribus relictis, et iis qui unius eiusdemque sunt cum ipso in omnibus sententiae; veteribus suis ducibus, Romanis inquam, desertis, ad inimicissimos alienissimosque atque adeo diversae a nobis religionis homines desciscere, et quidem cum nulla nostra in se iniuria sit provocatus. Verumtamen cum sciamus humana omnia esse instabilia et in lubrico posita, proque varietate incidentium rerum circumagi ac rotari solere, non plane derogan-

λάξασθαι τὰ παρ' ἐκείνου εἴτε ἴσως [διανοηθέντα μόνον] εἴτε πάντως βεβουλευμένα, καταλιπεῖν δὲ ἐν ἡμῖν αὐτοῖς φροντίδα περιττὴν καὶ ἀμφιῤῥόπους ἐννοίας, ἐπ' ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους. καίτοι ἀλλόκοτόν τι καὶ ταραχῶδες τὸ μηδαμῶς ἐφ' ὁτῳοῦν βεβαιότατα πεποιθέναι, ἀλλ' ὑποψίας ἀεὶ καὶ δείματος εἶναι μεστὸν, καὶ ἐπ' αὐτοῖς δήπου τοῖς ξυνηθεστάτοις. ὅμως (ἐν ἅπασι γὰρ τοῦτο νικᾷ) ἑπόμεθα καὶ ἡμεῖς τῇ φύσει, καὶ ἀπιστοῦμεν. ὡς ἂν δὲ μήτε προπετῶς ὠμόν τι καὶ ἀπηνὲς δράσοιμεν ἐπὶ Γουβάζῃ, μήτε τῷ οὐκ εἰκότι δῆθεν ἀναπεπεισμένοι μαλθακισθείημεν, ἀλλ' ἐκφύγοιμεν τὰς ἑκατέρωθεν μεταμελείας, εὔβουλόν τι ἡμῖν κατεφάνη καὶ μέσως πως ἔχον, ἐνταῦθα τὸν ἄνδρα παραγενέσθαι. στέλλειν τοίνυν αὐτὸν τὴν ταχίστην, εἴτε βουλόμενον, εἴτε ἠναγκασμένον. εἰ δέ γε ὑμᾶς ταῦτα ἐθέλειν ἐγνωκὼς ἀντισταίη, καὶ ἀπαναίνοιτο τὴν πορείαν, ἐπιλαμβανομένων τε ὑμῶν καὶ ἑλκόντων, (καὶ γὰρ τοῦτο ποιεῖν ὑμῖν τοὐντεῦθεν ἐξέσται,) εἰ δὲ διωθοῖτο καὶ ἀντεπιφέροιτο, καὶ ὅτῳ γοῦν τρόπῳ τὰς χεῖρας ἀντάροι, τότε δὴ ἕξομεν περιφανεῖς τοὺς ἐλέγχους τῶν μελετωμένων, καὶ τολοιπὸν ἐν τοῖς πολεμιωτάτοις τετάξεται,

A. C. 555 I. I. 29 B C

1. *διανοηθέντα μόνον* ins. ex coniectura: siquidem palam est excidisse participium ad *βεβουλευμένα* relatum; *quae ille sive cogitavit, sive perficienda sibi proposuit.* R. pro *εἴτε ἴσως εἴτε* habet: *εἴτε ἴσθι εἴ τῳ.* Intpr. *quae huic sunt aut alteri cuiquam prave consulta*, scilicet ex hariolatione. 10. *μαλακισθ.* R. 12. *ἐνταῦθα* om. R. 15. *ὑμῶν* om. R. 16. *τοὐντεῦθεν* R., *ἐντεῦθεν* vulg.

dam esse nuntio vestro fidem duximus, neque committendum, ut ea quae sive cogitavit tantum, sive plane statuit, non praecaveamus; ingentes nobis ipsis curas, et ambiguum fluctuantemque incertitudine eventus animum retinentes. Et profecto absurdum est ac molestum nemini plane firmiter fidere, sed suspicione semper metuque laborare, etiam de iis qui nobis sunt intimi. Nihilominus (in omnibus enim hoc vincit) sequimur etiam nos naturam, et diffidimus. Ne vero praecipitanter crudele aliquid et saevum in Gubazen statuamus, neve contra indecenter aliquid hac in re faciendi metu adducti enervemur remissioresque videamur; sed potius poenitudinem utrimque imminentem subterfugiamus, consultum nobis et medio cuidam moderationique tenendae convenientius est visum, huc hominem adduci. Mittite itaque eum quam citissime, sive volentem sive coactum. Quodsi ille voluntate vestra intellecta restiterit, et ire detrectaverit, apprehendentibusque vobis et protrahentibus (nam et hoc vobis tum facere licebit) propulset et reluctetur, aut quocunque tandem modo manus vobis intulerit, tum demum manifesta habituri sumus rerum, quas molitus fuerit, indicia, et in posterum inter eos, qui maxime hostes sunt, censebitur, adeo ut si

A. C. 555 ὥστ', εἴ πού τις αὐτὸν τοιαῦτα τολμῶντα καὶ ἀποκτείνοι, οὐ-
I. I. 29 δὲ τοῦτο ἡμῖν ἐσόμενον ἄπο τρόπου, οὐκοῦν οὐδὲ ποινὰς ὁ
δράσας ὑφέξει τοῦ ἐγχειρήματος. οὐ γὰρ ὡς μιαιφόνον αὐτὸν
κολαστέον, ἀλλ' ὡς τυραννοκτόνον ἐπαινετέον." ἡ μὲν οὖν
παρὰ βασιλέως ἐπιστολὴ τοιάδε ἄττα ἐγκελευσαμένη διέγνωστο.

γ'. Αὐτίκα δὲ οἱ ἄνδρες τῶν Κόλχων, οἳ δὴ πρὸς τὸ
κατηγορεῖν ἐτετάχατο, ἐπειδὴ αὐτοὺς ὁ δικαστὴς ἐψηφίζετο
D τὰ σφέτερα αὐτῶν δικαιώματα ᾗ βούλοιντο προτιθέναι, οἱ δὲ
προθύμως εἴχοντο τοῦ ἐπικλήματος, καὶ ἔλεξαν τοιάδε· „Ἀπό-
χρη μὲν, ὦ δικαστὰ, τὸ τετολμημένον, εἰ καὶ μηδὲν ὁτιοῦν
φήσαιμεν, ποιναῖς ταῖς μεγίσταις ὑπάγειν τοὺς δεδρακότας·
πλὴν ἀλλὰ τοῖς ὑμετέροις νόμοις δοκοῦν τὸ χρῆναι καὶ τῶν
ἐμφανῶν πέρι καὶ μεγίστων ἀδικημάτων μὴ πρότερον τὰς κρί-
σεις ἐκφέρειν, πρὶν ἂν καὶ λόγῳ τὰ πραχθέντα διαγορεύειν,
ἥκομεν νῦν ἐροῦντες μόνον ἀμωσγέπως τὰ γεγενημένα. οὕτω
γὰρ ἂν καὶ ἡμῖν διανυσθήσεται τὸ νενομισμένον, εἰ καὶ τὰ
τῶν λόγων εἶεν ἁπλᾶ καὶ ἥκιστα κεκομψευμένα, καὶ οἷα τοῦ
V. 78 μεγέθους τῶν εἰργασμένων μὴ ἐξικνεῖσθαι. ποία γὰρ αὐτοῖς
P. 110 λελείψεται σκῆψις, ἄνδρα τοσοῦτον, φίλον ὑμῖν καὶ συνήθη
καὶ σύμμαχον καὶ ὁμοδίαιτον καὶ ὁμόσπονδον, καὶ ταὐτὰ
περὶ τὸ κρεῖττον φρονοῦντα, καὶ τί δὲ οὐχὶ τῶν οἰκειοτάτων
κεκτημένον, ἀναίδην οὕτω διαχειρισαμένοις, καὶ πολλῇ τῇ δυσ-

10. *ὦ δικασταὶ* R, Intpr. *iudices.* 12. *ὑμετέροις* correxi, *ἡμετέροις* omnes. 15. *τοίνυν* R. pro *νῦν.* Num *τὸ νῦν?* 16. *ἂν* om. R. 22. *ἀναίδην.* Sic Intpr. *impudenter, ἀνέδην* R. et vulg.

quis eum talia audentem etiam interfecerit, ne hoc quidem immerito factum censebimus, neque percussor facinoris sui poenas luet; utpote non ut homicida puniendus, sed ut tyrannicida laudandus." Imperatoriis itaque litteris talia quaedam mandari est cognitum.

3. Statim vero viri Colchici instituendae accusationi designati, cum iudex ipsis permisisset, ut causae suae praesidia, si vellent, in medium adferrent, alacriter criminationem sunt adorsi, in haec verba: „Scelus ipsum perpetratum, o iudex, aperte, etiam nobis tacentibus, clamitat auctores gravissimis suppliciis esse obnoxios: ceterum cum legibus vestris ita cautum sit, ut ne de manifestis quidem maximisque criminibus sententia feratur, donec facta ipsa plana oratione explicata fuerint; venimus nunc quae facta sunt simpliciter expositurí. Ita enim etiam a nobis praestabitur quod lege cautum est, etiamsi oratione utamur simplici minimeque ornata, quaeque magnitudinem criminum admissorum nequaquam exaequet. Quaenam enim excusatio suppetere potest iis, qui talem virum, amicum vobis et familiarem, societate belli et foederum coniunctum eademque vobiscum de Deo sentientem, et quid non eorum quae vobis familiaria sunt consecutum, nefarie adeo interfecerunt, tantamque adversus vos hostilitatem declararunt, hostium gratiam demerendo?

μενείᾳ χρῆσθαι καθ' ὑμῶν φωραθεῖσι, τῷ τοὺς ἐχθροὺς τε- A.C. 555
θεραπευκέναι; βασιλεὺς γὰρ ὁ ἀνῃρημένος, ὦ δικαστὰ, καὶ I.I. 29
ἔθνους οὐκ ἀγεννοῦς, καὶ πρὸς ἀρετὴν ἐνεργότατος, καὶ τὰ
Ῥωμαίων στέργων ἀεὶ πολλῷ μᾶλλον τῶν ἀπεκτονότων. ἀνα-
τετράφαται δὲ τὰ Κόλχων πράγματα καὶ διεῤῥύη, ἀληθέστε- B
ρον δὲ τὰ κοινὰ, εἴ γε μέρος τι καὶ ἡμεῖς οὐκ ἐλάχιστον τῆς
ὑπηκόου τυγχάνομεν ὄντες. καὶ διόλωλεν ὑμῖν τὸ ἀκραιφνὲς
τῶν καθεστώτων καὶ ἄπταιστον, καὶ κατὰ πολὺ τῆς οἰκείας
δυνάμεως μειονεκτεῖσθε· πολιτεία δὲ μὴ διὰ πάντων ἐῤῥω-
μένη, ἀλλὰ βραχείᾳ γοῦν τινι μοίρᾳ σφαλεῖσα, οὐκέτι συνε-
στάναι δόξειεν ἂν προσηκόντως, τοὐναντίον μὲν οὖν καὶ αὐτὴν
ψεύδεσθαι τὴν ἐπωνυμίαν, τὸ ἐντελῶς ἔχειν ἀφῃρημένη. ταῦτα
δὴ οὖν ἅπαντα δράσαντες, οὔ φασι δεῖν ὑμᾶς τὸ πραχθὲν εἰ
καὶ δεινὸν εἴη σκοπεῖν, μόνην δὲ τὴν γνώμην καθ' ἣν εἴργα-
σται διερευνᾶν καὶ προσίεσθαι, καὶ διά τινων ἀφανῶν τε- C
κμηρίων καὶ οἷον εἰκότων χωροῦντας, ἀναπλάττειν ταῖς ἐννοίαις
εὐεργεσίαν ὑμῖν αὐτοῖς ἐντεῦθεν προσγεγενημένην, ἢ τῷ σαφεῖ
μᾶλλον τῆς βλάβης καὶ τοῖς ἔργοις ἀποδεδειγμένῳ πιστεύειν
αἱρεῖσθαι. ταῦτα γὰρ δὴ τὰ σοφίσματα καὶ πρὸ τῆς δίκης
πολλάκις διαθρυλλοῦντες, παράγειν τοὺς πλείστους ἡγοῦντο.
εἰ τοίνυν καὶ παρὰ τοὺς ἀγῶνας τοιαῦτα προσθεῖεν, γινωσκόν-

1. καθ' ὑμῶν R., Intpr. *adversum vos*, καθ' ἡμῶν vulg. θε-ραπευκέναι R. 5. τῶν Κ. R. ἐῤῥύη R. 11. δόξοιεν R. 13. ἡμᾶς R. 16. καὶ ante οἷον om. R. 17. εὐεργέσειαν sph. Par. μᾶλλον ἢ τῷ σαφεῖ coni. Cl., Intpr. *ut potius confingatis — quam ex iacturae perspicuitate* etc. 18. ἀποδεδειγμένην R.

Rex enim erat, qui interfectus est, o iudex, et gentis non ignobilis et strenuus virtutis cultor, et Romanorum studiosus semper multo magis quam interfectores. Eversae iam sunt Colchorum res et collapsae, immo potius publicae, siquidem pars quaedam etiam nos neque minima subditorum sumus, deperiitque vobis rerum vestrarum integer atque inoffensus status, potentiaque vestra vehementer est imminuta; res publica vero, quae non omnibus suis partibus est valida ac firma, sed vel exigua sui parte labefactata, recte iam ultra consistere non potest; e contrario vero falsam appellationem usurpat, quippe quae integritate perfectioneque sua est privata. Horum itaque omnium cum ipsi sint auctores, aiunt non debere vos factum ipsum tametsi atrox considerare, sed tantum, qua mente consilioque factum sit, investigare atque admittere, et ex obscuris quibusdam et quodammodo verisimilibus argumentis repraesentare animis vestris beneficium inde acceptum, potius quam evidenti damno, quodque re ipsa experimur, fidem accommodare. Haec itaque commenta fallaciasque etiam ante iudicium institutum frequenter in vulgus iactantes multorum animis se fucum fecisse arbitrabantur. Quodsi vero in ipso iudicio haec ipsa proponant, intelligant, o iudex,

A. C. 555 των, ὦ δικασταὶ, ὡς οὐ Ῥωμαϊκὸν οὐδὲ δίκαιον τὸ μὲν ἐμ-
I. I. 29 φανὲς οὕτω καὶ προὖπτον ἀδίκημα παραλιπεῖν, ἀδήλοις δὲ
μᾶλλον αἰτίαις ἄλλως αὐτοῖς μεμηχανημέναις ἐξαπατηθῆναι.
οὐ γὰρ ἀνεκτέον αὐτῶν, ὡς μὲν ἀπεκτόνασι τὸν ἄνδρα διαῤ-
D ῥήδην φασκόντων, ὠφέλειαν δὲ μεγίστην ἐνθένδε τοῖς κοινοῖς
πεπορίσθαι πράγμασι τερατευομένων. πῶς γὰρ ἂν τἀναντία
συσταῖεν σφίσιν αὐτοῖς, ἢ πῶς, τὴν πρᾶξιν δεινὴν ἀποκα-
λοῦντες, ἐπαινεσόμεθα τὴν δράσασαν γνώμην, ὡς τοῦ συνοί-
σοντος ἐστοχασμένην; πάλαι γὰρ ἀλλήλοιν ἀποκεκριμένω τυγ-
χάνετον ὠφέλεια καὶ παρανομία, ὠμότης τε καὶ δικαιοσύνη
διεστηκότα καὶ ἄμικτα καὶ ὁμόσε χωρεῖν οὐπώποτε πεφυκότα.

δ΄. „Εἰ δέ γε καὶ γυμνὴν τὴν διάνοιαν ἐξεταστέον, φανή-
σονται καὶ ταύτῃ δύσνοι καὶ κάκιστοι, ὡς δὴ τὰ τοὺς Πέρ-
σας ἀρέσκοντα βεβουλευμένοι· ὥστε οὐδὲ Ῥωμαίους ὀνομά-
ζειν τούσδε τοὺς μιαιφόνους προσήκει, οὐδὲ ὡς ὁμοφύλοις
P. 111 μετ᾽ εὐνοίας διαιτητέον αὐτοῖς, ὅτι μὴ καθάπερ λίαν ἐχθί-
στοις, ἐπεὶ καὶ ἤδη τῷ κοινῷ τῆς φύσεως νόμῳ μεμερισμένοι
τυγχάνουσι, κἂν μήπω τῷ παρ᾽ ὑμῖν γεγραμμένῳ. τὸ γὰρ
ἀντίπαλον καὶ ἀλλότριον τοῖς ἔργοις γνωρίζεσθαι χρὴ, οὐ τῷ
πῤῥωτέρω τετάχθαι. ὁ δὲ, οἷς ἂν ἡσθεῖεν οἱ δυσμενεῖς, ταῦτα
προὔργου ποιούμενος, πολέμιος ἂν κριθείη δικαίως, κἂν συμ-

11. *καὶ ὁμόσε — πεφυκότα* om. R. et Intpr. 13. *τοὺς Πέρσας* R., *τοῖς Πέρσαις* vulg. 20. *πόῤῥω* R.

neque Romanum neque iustum esse, adeo aperta manifestaque iniuria neglecta, incertis potius de causis, quas ipsi frustra commenti sunt, falli. Neque enim ferendi sunt, qui interfectum quidem abs sese virum hunc aperte fatentur, maximam vero ex hac caede utilitatem ad publicum pervenisse prodigiose mentiuntur. Quo pacto enim consistere possint sibi ipsis contraria? aut quo pacto factum ipsum atrox appellantes, animum eius, qui id perpetravit, laudabimus, tanquam publicum bonum spectantem? Sunt enim haec quam remotissime inter se disiuncta et insociabilia; et neque unquam simul subsistere possunt utilitas et iniquitas, crudelitas et iustitia.

4. „Quod si vero etiam nudus ipsorum animus est explorandus, hoc quoque ipso maligni nequissimique esse convincentur, quippe qui consilia Persis grata agitarint, adeo ut ne Romani quidem sint appellandi isti sanguinarii, neque amica societas cum iis tanquam popularibus sit habenda: sed summi potius hostes sint censendi; quandoquidem etiam nunc communi naturae lege sunt seiuncti, tametsi nondum a vobis scripta. Adversarii enim atque hostes ex factis sunt aestimandi, non ex locorum disiunctione. Hic vero, quae grata sint hostibus summo studio procurans, me-

παρῇ, κἂν συστρατεύοιτο, κἂν ὡς ἐγγύτατα τῷ γένει συνῆπται. A.C.555 *ἀλλὰ γὰρ οὐ φίλον οὐδὲ βασιλέα φασὶν ἀπεκτονέναι,* I.I.29 *πολέμιον δὲ μᾶλλον καὶ τύραννον καὶ τὰ Περσῶν ἐσπουδακότα. πρὸς τοῦτο γὰρ ἐληλάκασι παρανομίας, ὡς μηδισμοῦ διώκειν τὸν κείμενον· καὶ περιέστηκε τῷ δειλαίῳ μηδὲ τεθνηκότι τῶν δεινῶν ἀπηλλάχθαι, ἀλλὰ νῦν προδοσίας φεύγειν γραφὴν* B *ὅτε μηδὲν πλέον ἕξει νικῶν. ποῖος δὲ νόμος ἢ παρ' ὑμῖν ἢ παρὰ βαρβάροις ἐπαινέσειεν ἂν κατηγορίαν ἐν ὑστέρῳ τῆς κρίσεως γιγνομένην; κριταὶ γὰρ αὐτοὶ καὶ δυσμενεῖς καὶ κατήγοροι, καὶ ἅμα πάντα καταστάντες, τιμωρίαν μὲν ἀνεξετάστως τῷ μηδὲν ἡμαρτηκότι προσήγαγον, ὁποίαν εἰκὸς ἦν ὑποσχεῖν τὸν ὡς ἀληθῶς τυραννίδος ἁλόντα. ἥκουσι δὲ νῦν, δέον ἀπολογεῖσθαι, καταιτιώμενοι τὸν ἠδικημένον· καίτοι ἐχρῆν αὐτοὺς πρὶν ἀνελεῖν, εἴ γε ταῖς αἰτίαις ἐπεποίθεσαν, ἐμφανῶς τὴν πρὸς αὐτὸν ἐνστήσασθαι δίκην, καὶ πρώτους ἐγκαλεῖν, ἀλλὰ μὴ νῦν κατηγορημένους ἀντεγκαλεῖν. εἰ γὰρ τοῦτο* C *πᾶσιν ἐφεῖται, τί δήποτε ἄρα μὴ καὶ ἡμεῖς τούσδε τοὺς μιαι-* V.79 *φόνους αὐτοχειρίᾳ διεχρησάμεθα; παρὸν ἡμῖν, πρὸς δίκην τυχὸν ἀγομένοις, ἀντεπιφέρειν αὐτοῖς καὶ τεθνηκόσι τὰ παρ' αὐτῶν πρότερον ἡμαρτημένα, καὶ ταύτῃ πειρᾶσθαι δεικνύειν*

1. *συστρατεύσοιτο* R. 4. *παρανοίας* R. et Intpr. *eo vesaniae*, 7. Pro *νόμος* R. *γενόμενος*. *παρ' ὑμῖν* Lugd. et Intpr. *apud vos*, *παρ' ἡμῖν* R. et Par. 9. *γινομένην* R. Post *δυσμενεῖς* iterat *αὐτοὶ* vulg. 10. *ἀνεξετάστως* R. et Intpr. *indicta causa*, *ἀνεξετάστῳ* vulg. 15. *πρῶτα* R. 16. *κατηγορουμένους* R.

rito hostis est iudicandus, etiamsi praesto sit, unaque militet, quantumvis etiam quam proxime genere sit coniunctus. At vero, non amicum sese, non regem interfecisse dicunt, sed hostem potius et tyrannum et Persarum studiosum. Eo enim iniustitiae iniquitatisque pervenerunt, ut Medismi accusent mortuum; eoque iam miser redactus est, ut ne mortuus quidem a malis sit liber, sed nunc proditionis insimuletur, cum ei victoria nihil est profutura. Quaenam vero lex sive apud vos sive apud barbaros laudaverit accusationem post iudicium factam? Iudices enim ipsi, et hostes et accusatores, omniaque simul facti, supplicium indicta causa de immerente sumpserunt, quale par erat sumi de eo, qui revera tyrannidis esset convictus. Prodeunt vero nunc, cum defendi oporteret, accusantes hominem iniuria affectum. Oportuisset vero illos, priusquam ipsum interficerent, si modo accusationibus suis fidebant, aperte in eum actionem instituere, primosque in ius vocare, non vero nunc accusatos recriminari. Si enim hoc omnibus licet, cur non etiam nos istos carnifices nostris manibus interficimus, cum liceat nobis in ius fortassis adductis recriminari contraque obiicere ipsis etiam mortuis, quae antea ab ipsis fuerunt commissa? Atque

A. C. 555 τὸ εὐλόγως ἀνθημαρτηκέναι; μᾶλλον γὰρ ἡμεῖς, ἐπὶ σαφέσι I. I. 29 τοῖς προϋπηργμένοις χαλεπήναντες, ἐνδίκως ἂν ἠμυνόμεθα τούτους· καὶ τὰ τῆς ἀντιλογίας προσηκόντως ἐχώρει. ἀλλ' οὐδὲ πρὸς ἡμῶν οὐδὲ πρὸς ἑτέρων τὰ τοιάδε τολμᾶσθαι χρεὼν, εἴ D γε κατὰ τοὺς πατρίους ὑμῖν νόμους πολιτευτέον. φέρε γὰρ εἰ τοῖς βουλομένοις ἐξῇ τοὺς οἰκείους δυσμενεῖς οὕτω πως ἀθρόον ἀποκτιννύναι, καὶ τοῦτο πολλάκις γιγνόμενον μέχρι τοῦ ἐπ' ἄπειρον ἤδη τολμᾶσθαι προσενεχθείη, πῶς ἂν ὑμῖν τὸ γοῦν κρίνειν ἀδεῶς ἐν βεβαίῳ διαμένοι; ἁπάντων γὰρ ἀναιρούντων τε καὶ ἀναιρουμένων, καὶ ταῖς ἀντεπιβουλαῖς χρῆσθαι κατ' ἀλλήλων θαῤῥούντων, οὐκ ἂν φθάσοιτε τὰς τιμωρίας ἐπάγοντες, ἀλλὰ διαφθαρεῖται μὲν εἰκῇ τὸ ὁμόφυλον, προαφαιρήσει δὲ τὸν τῆς ἐξετάσεως καιρὸν ἡ τῶν ἀντιδρώντων ἑκάστοτε παρανομία.

ε'. „Καίτοι τί δεινὸν εἶναί φασιν, εἴπερ ἑνὸς ἀνδρὸς καὶ τούτου προδότου διαφθαρέντος, ἅπαν ὑμῖν τὸ συμμαχικὸν σωφρονέστερον καθεστήξει; προδοτῶν μὲν οὖν ὡς ἀληθῶς καὶ P. 112 πλείστων ὅσων ἀπολλυμένων, εἰ καὶ μηδὲν ἕτερον τῶν ὠφελίμων τοῖς ἀνῃρηκόσι προσγένοιτο, ἀλλ' αὐτό γε τὸ τοὺς τοιούτους θνήσκειν ἀρκούντως ἔχει πρὸς ὄνησιν. εἰ δὲ προδοσίας μηδαμῶς ἀποδεδειγμένης, ἠφάνισταί τις ἀθρόον τῶν σφόδρα λογίμων καὶ τετιμώρηται, καθάπερ διαφανῶς ἐγνωσμένος, πῶς

2. ἠμυνόμην R. 4. πρὸς ἑτέρων R., παρ' ἑτέρων vulg. τοιαῦτα R. 5. ἡμῖν R. 9. διαμένοι Cl., διαμένει R., διαμείνῃ vulg. 16. ὑμῖν correxi, ἡμῖν R. et vulg. 19. προσγένηται R.

ita conari probare, iure nos scelus scelere compensasse? Multo enim gravius nos rebus manifestis antea perpetratis irritati, merito nos ulcisci possimus; atque ita contentio recte procedat. Sed neque a nobis, nec ab aliis talia patrari oportet, si modo secundum patrias leges vobis est vivendum. Age enim, si quibus libitum fuerit, licuerit privatos suos inimicos sic confestim interficere, eoque saepius facto in infinitum crescat haec audacia, quo pacto tandem vobis libere intrepideque iudicandi potestas integra permaneat? Cum enim omnes et interficiant et interficiantur, mutuasque sibi insidias impune struere audeant, neque vos supplicium de eis sumere poteritis: quin potius tota gens contribulis temere est interitura, quaestionisque habendae occasionem praeripiet malum semper malo vindicantium protervia.

5. „Atqui quid mali, inquiunt, si uno homine et quidem illo proditore interfecto, omnes nobis belli societate coniuncti moderatius se gerant? Proditoribus sane etiam quamplurimis e medio sublatis, etiamsi nihil aliud utilitatis ad interfectores redeat, ipse tamen talium interitus abunde satis per se est fructuosus. At vero si proditione neutiquam demonstrata confestim vir aliquis maximi nominis e medio tollatur supplicioque afficiatur, perinde atque

ἂν ὑμῖν ἐνθένδε τὸ συμμαχικὸν σωφρονήσειε; πῶς δὲ οὐκ ἂν A. C. 555
μᾶλλον καὶ διαλύσαιεν τὰ συγκείμενα, εἴ γε κοινωνοὺς ὑμᾶς I. I. 29
ὑπάρχειν τοῦ μιάσματος οἰηθεῖεν; λογιζόμενοι, ὡς εἴ γε πρὸς τοὺς οἰκειοτάτους ὑμῖν καὶ συνήθεις φειδοῦς ἥκιστα μέτεστι καὶ δικαιοσύνης, σχολῇ γε ἂν βέβαιοι διαμενεῖτε πρὸς τοὺς ἀλλογενεῖς καὶ ὀθνείους, καὶ τῆς προσπεσούσης χρείας, οὐ περαιτέρω γνωριζομένους. ἀλλ' οὔτε μετειλήφατε τοῦ βουλεύματος, οὔτε τὸ τούτοις ἰδίᾳ προσκείμενον ἄγος ἐπὶ τὸ σύμπαν B
τῶν Ῥωμαίων ἔθνος ἀναδραμεῖται· οὔτε τὴν πάλαι περὶ ὑμῶν κρατήσασαν δόξαν, ὡς ἄρα πιστοὶ τὰ ἤθη καὶ βέβαιοι καθεστήκατε, καὶ δικαίοις χρῆσθε νόμοις, ἡ τούτων νικήσει κακοδαιμονία. τοὐναντίον γὰρ καὶ ἡγούμεθα τὸ παρὸν δικαστήριον ὑπὲρ τῆς κοινῆς τοῦ γένους εὐκλείας συνεστηκέναι, ὅπως ἂν ἅπαντες ἄνθρωποι γνοῖεν, ὡς οὐδαμῶς ἦν ὑμῖν βουλομένοις τοιαῦτα τοὺς Κόλχους δεινὰ καὶ βίαια πεπονθέναι. νῦν μὲν γὰρ ἴσως ἐφ' ἑκάτερα τῶν πολλῶν φοιτῶσιν αἱ γνῶμαι, καὶ τὰ τῆς δοκήσεως ἐπ' ἀδήλῳ φέρεται τρόπῳ. ἐκ δὲ τῆς σῆς, ὦ δικαστὰ, κρίσεως τούτων ὅσον οὔπω διαφθειρομένων, γενήσεται καὶ νῦν γνωριμώτερον, ὡς οὐ προδόται τῶν οἰκείων, C
ἀλλὰ σωφρονισταὶ τῶν ἀδικούντων εἶναι πεφύκατε. εἰ γὰρ καὶ τοῖς λόγοις ἀπολογεῖσθαι δοκοῦσιν, ἀλλ' ἔργῳ κατηγοροῦντες

1. σωφρονήσῃ R. δὲ ins. ex R. 2. ὑμᾶς om. R. 11. νόμοις R. et Intpr. *legibus*, νομίμοις vulg. νικήσασα R. 14. ἦν ὑμῖν R., ὑμῖν ἦν vulg.

aperte deprehensus, quo pacto vobis socii hinc moderatiores reddantur? Immo vero quo modo non potius pacta conventaque dissolvant, si vos participes tanti sceleris exstitisse putarint, reputantes quod si erga intimos coniunctissimosque vobis adeo sitis inhumani atque iniqui, nullo etiam modo constantes sitis futuri erga alienigenas et exteros, et necessitate tantum ita postulante, non ultra notos? Ceterum vos neque nefarii illius consilii participes fuistis, neque piaculare scelus, quod privatim illis insedit, universam Romanorum gentem involvit, neque veterem illam de vobis opinionem, quod nimirum fidi constantesque sitis aequissimisque legibus utentes, horum nefaria malignitas infringet: quin potius ita nobis persuademus, vestrum hoc tribunal pro communi gentis gloria constitutum; ut universi homines intelligant, vobis neutiquam volentibus factum, ut Colchis adeo atrox iniuria ac vis inferretur. Nunc enim fortasse in utramque partem sententiae multorum vergunt opinionesque fluctuant: ex tuo vero, o iudex, iudicio, hisce iamiam necatis, magis etiam nunc perspicuum fiet, quod non amicorum vestrorum proditores sed delinquentium castigatores esse consueveritis. Tametsi enim verbis causam suam defendere videntur, reipsa tamen se ipsi accusare coarguuntur, et caedis abs sese com-

A. C. 555 I. I. 29 σφῶν αὐτῶν ἀποδείκνυνται καὶ τὸ παράλογον τῆς μιαιφονίας ὁμολογοῦντες. τὸ μὲν γὰρ βασίλειον γράμμα παρακελεύεται τοῖς στρατηγοῖς στέλλειν κατὰ τὸ Βυζάντιον τὸν Γουβάζην, πειθοῖ μὲν τὸ πρῶτον, ἀνηκουστοῦντα δὲ καὶ πρὸς ἀνάγκης, ἐναντιούμενον δὲ καὶ βιαζομένοις· ἀποκτεῖναι δὲ μηδαμῶς πρὶν ἂν ἐκεῖνος, ἐς τελεωτάτην ἀπόστασιν ἀφιγμένος, τὰ πολεμίων δρᾷν προαχθείη. οἱ δὲ καὶ ταῦτα μήτε στρατηγοὶ καθεστῶτες, μήτε ἄλλως ἐφειμένον αὐτοῖς ἀδεῶς ἃ βούλοιντο πράττειν, παραχρῆμα τὸν δείλαιον ἀπεκτόνασιν, οὔτε κατὰ D τὸ Βυζάντιον αὐτὸν γενέσθαι προτρέψαντες, οὔτε μὴν ὥσπερ ἀπειθοῦντι μετρίαν γοῦν ἀνάγκην ἐπαγαγόντες, οὔτε τὴν ἀρχὴν ἐς πεῖράν τινα καταστάντες, εἴπερ ὁτῳδηοῦν τρόπῳ τοῦ προστάγματος ὀλιγωρήσει. καίτοι μεγαλαυχοῦσι καὶ βρενθύονται, ὡς τὰ βασιλεῖ δοκοῦντα διανύσαντες, οἵγε καὶ τὴν ἐκείνου περιορῶντες πεφήνασι γνώμην, ψευδέσι τε χρῆσθαι πρότερον κατὰ Γουβάζου διαβολαῖς τετολμηκότες, καὶ τἀναντία τῶν εὖ διατεταγμένων αὐτεπαγγέλτως ἐξειργασμένοι, καί, τὸ V. 80 δὴ πάντων παρανομώτερον, οὔτε τὴν ἐπιστολὴν ἐπιδείξαντες, P. 113 ὥστε τῶν ἐγγεγραμμένων γνωσθέντων τὸ πρακτέον ἑλέσθαι.

ς'. „Πῶς οὖν οὐ παντὸς ὀλέθρου καὶ τιμωρίας ὑπέρτερα πάσης τὰ τετολμημένα δόξοιεν ἄν; ἀδικία γὰρ καὶ κατ' ἄλλου του γιγνομένη φευκτόν τι καὶ ἀπειρημένον, μάλιστα δὲ εἰ φί-

8. ἂν βούλ. R. 13. προστάγματος R. et Intpr. *si non iussis obsequi auderet*, πράγματος vulg. 21. δόξοιεν R., δόξειεν vulg. καὶ om. R.

missae indignitatem fateri. Regiae enim litterae mandant praefectis militiae, ut Gubazen Byzantium mittant, primo quidem suadela utentes, obaudientem vero et necessitati reluctantem cogerent; nulla tamen ratione interficerent, donec aperta defectione facta hostiliter agere coepisset. Hi vero cum neque praefecti militares essent, neque alioqui eis liceret, quae liberet, facere, repente miserum trucidarunt, haudquaquam ut Byzantium iret hortati, cum ne modicam quidem vim ei ut renitenti intulissent, neque omnino tentassent an aliquo tandem modo mandatum regis contemneret. Gloriantur interea illi et iactitant, se Imperatoris mandata exsecutos, cum potius illius voluntatem contempsisse deprehendantur, falsisque criminationibus Gubazen onerare non sint veriti et contraria ab iis, quae recte mandata erant, propria auctoritate in eum decernere; et quod quidem omnium est iniquissimum, neque litteris Imperatoris ostensis, ut cognita eius voluntate quid facto opus esset statuerent.

6. „Quo pacto igitur non illorum scelus quodvis necis aut supplicii genus exsuperare censuerimus? Iniuria enim cuivis alteri illata, res est fugienda vetitaque legibus, praecipue si amicum et benevolum quique frequenter pericula pro sociis adierit, contingat esse eum, qui

λον καὶ εὔνουν καὶ πολλάκις προκεκινδυνευκότα τῶν πέλας εἶναι A. C. 555 συμβαίη τὸν ἠδικημένον. τίς γὰρ ὁ τοῦ Περσῶν πλούτου καὶ I. 29 τῶν προτεινομένων ἁπάντων τὴν πρὸς ὑμᾶς εὔνοιαν ἀλλαξάμενος; τίς ὁ τὴν Χοσρόου φιλίαν ὑπεριδὼν, καὶ, παρὸν ἐκεῖσε πρὸς μεγίστην εὐδαιμονίαν χωρῆσαι, τὸ παρ' ὑμῖν ἔλαττον ἀγαπήσας; τίς ὁ πρότερον τῆς χώρας ὑπὸ Μήδων ἐπὶ πλεῖστον B χρόνον πιεζομένης, καὶ τῆς παρ' ὑμῶν ἐπικουρίας ἔτι μελλούσης, μεταστὰς ἀθρόον καὶ μετοικισάμενος ἐπ' αὐτὰς δήπου τὰς ὑπερβολὰς τοῦ Καυκάσου, ἐνταῦθά τε θηριώδη τινὰ δίαιταν μᾶλλον ὑποστὰς μετιέναι, ἢ προσηκάμενος τὴν τῶν πολεμίων φιλοφροσύνην καὶ καταβὰς οἴκοι μένειν ἐν εὐπαθείᾳ; τίς δὴ οὖν οὗτος; ἐκεῖνος ὁ μηδὲν τῶν δεινῶν, ἣν τι παθεῖν ὑπὲρ ὑμῶν ἔδει, κατοῤῥωδήσας, Γουβάζης, ὦ νόμοι καὶ δίκη! ὁ μηδίσας, ὁ τύραννος, ὁ τὰ Ῥωμαίων καταπροέμενος· καὶ τέθνηκεν ὑπὸ Ῥουστίκου τε καὶ Ἰωάννου, βδελυρῶν οὕτω καὶ καταπτύστων ἀνθρώπων, ἀνὴρ βασιλεύς· ᾧπερ εἰ καὶ τοιούτου μετῆν ὡς ἀληθῶς ἐπικλήματος, ἀλλ' οὐχ ὑπὸ τούτων C αὐτὸν ἐχρῆν εὐθὺς ἀνηρπάσθαι, κριθέντα δὲ μᾶλλον σχολαίτερον ὑπὸ τοῦ κοινοῦ Ῥωμαίων τε καὶ Κόλχων βασιλέως, ἅτε δὴ μεγίστου καὶ τῷ παντὶ κρείττονος, προσηκόντως τιμωρηθῆναι. ἀλλ' ἐπειδὴ ταύτης δὴ τῆς μιαιφονίας αἰτία μὲν αὐτοῖς ἔνδικος οὐχ ὑπῆν, δυσμένεια δὲ μᾶλλον παράλογος ὑπὸ

1. καὶ ante πολλάκις om. R. 4. Κοσρόου sph. Par. 8. μετοικισάμενος R., μετοικησάμενος vulg. 12. ἣν pro οὖν R. 18. αὐτὸν ἐχρ. εὐθὺς R., εὐθ. ἐχρ. αὐτ. vulg.

iniuria est affectus. Quis enim est qui Persicis opibus omnibusque rebus oblatis benevolentiam erga vos commutavit? Quis, qui Chosrois amicitiam aspernatus, apud quem facilis ei ad summas divitias aditus patuisset, minore apud vos loco esse maluit? Quis antea regione vestra longissimo tempore a Medis oppressa, cunctantibusque adhuc vestris auxiliis, confestim mutatis translatisque sedibus altissima Caucasi iuga insedit, atque ibi ferinam potius quandam vitam agere sustinuit, quam hostium munificentia, domum reversus, molliter et delicate vivere? Quis tandem? Ille cui nihil adeo erat arduum et grave, quod, si vestra causa tolerandum esset, reformidaret, Gubazes, o leges, o iustitia! ille, inquam, Gubazes defectionem ad Medos tentans, ille tyrannus, ille Romanorum proditor; et caesus est a Rustico et Ioanne, adeo nefariis abiectisque hominibus, vir rex ductus: qui etiam si revera eiuscemodi crimini fuisset obnoxius, non tamen illum statim ab his e medio tolli oportebat, sed potius ut reus peractus cunctantius a communi Romanorum pariter et Colchorum Imperatore, utpote maximo omniumque eminentissimo, merito supplicio afficeretur. Verum cum nulla illis legitima huius caedis perpetrandae causa fuerit, sed potius vesanum quoddam odium ex

A. C. 555 I. I. 29 βασκανίας εἰς τοῦτο κακοῦ προηγμένη, εἰκότως εὐβουλίᾳ μὲν καὶ λογισμῷ σώφρονι καὶ τῇ τοῦ συνοίσοντος ἐπιγνώσει οὐδένα παρῆκαν καιρὸν, μόνῳ δὲ τῷ αὐθαδιαζομένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι πολλὴν παρέσχον αὐτονομίαν· καὶ τὸ μελετηθὲν D ἐκπλείστου καὶ ὠδινόμενον οὕτω πως ἐκ τοῦ παρείκοντος ἔδρασαν, ὡς μήτε τὴν ἀκμὴν τοῦ παρόντος χρόνου φυλάξασθαι, μήτε μὴν διανοηθῆναι. πολέμου γὰρ τοσούτου περιεστηκότος, ἐμφρόνων μὲν ἀνδρῶν ἔργον ἂν ἦν καὶ τὰ ξένα καὶ οὔπω γνώριμα τῶν ἐθνῶν εὐνοίᾳ προσάγεσθαι. οὗτοι δὲ καὶ τοὺς πρώην οἰκειοτάτους ἐκπολεμῶσαι Ῥωμαίοις περὶ πλείστου πεποίηνται· καὶ, τό γε ἧκον εἰς αὐτοὺς, προσκεχωρήκαμεν τοῖς ἐναντίοις, ἐπιβουλεύομεν τοῖς πάλαι φιλτάτοις, ἡ χώρα Περσῶν, τὰ πατρῷα νόμιμα φροῦδα, πάντα συμβέβηκεν ἀτεχνῶς, ὁπόσα στάσεώς τε καὶ ταραχῆς ἐμφυλίας γνωρίσματα μανιώδη. P. 114 οὐκοῦν ὡς τούτων ἁπάντων ἔργῳ προελθόντων, καὶ πανταχόθεν ἡμῖν τῶν πραγμάτων διαῤῥυέντων, οὕτω ποινὰς ἀξίας αὐτοῖς, εἴπερ ἄρα καὶ εὑρεῖν ἔνεστιν, ἐπακτέον. εἰ γὰρ καὶ ἡμεῖς πιστοὶ πρὸς Ῥωμαίους καὶ βέβαιοι τυγχάνομεν ὄντες, ἀλλ' οὐ δίκαιον, ὦ δικαστὰ, τῆς ἡμετέρας ἐπιεικείας τούτους ἀπόνασθαι, καὶ ἧττόν τι παθεῖν, ἢ καθόσον ἡ τοῦ ἐγχειρήματος βούλεται φύσις."

ζ'. Οὕτω δὲ τῶν κατηγόρων τοῖς ἐπικλήμασι χρησαμέ-

5. παρείκοντος R., παρήκοντος vulg. 9. τὰ R. pro τούς. 17. ἔστιν R. 19. δικαστὰ R., δικασταὶ vulg. et Intpr. τοσούτους R.

invidentia ortum eo mali eos provexerit, verisimiliter recto consilio et moderatae cogitationi, eiusque quod maxime conducibile esset cognitioni nullum tempus reliquerunt, sed soli animo superbia elato odioque flagranti habenas laxantes omnemque permittentes libertatem, quodque multo ante tempore praemeditati erant et parturierant, hoc pacto, occasionem nacti, sunt exsecuti, adeo ut neque praesentis temporis statum observarint, sed ne cogitarint quidem. Adeo enim difficili bello premente, prudentium virorum erat etiam peregrinas neque adhuc notas nationes sibi humanitate conciliare. Hi vero etiam eos, qui iampridem erant coniunctissimi Romanis, debellare maximi fecerunt; et quidem, quantum in ipsis situm est, hostibus dediti sumus, insidiamur iam olim amicissimis, regio nostra Persarum est, et patria instituta prorsus abolita; quanta seditionis atque tumultus intestini furiosa indicia? Quocirca cum haec omnia ita se habeant, et res nostrae adeo omni ex parte sint collapsae, ita digna si quae excogitari possint supplicia istis sunt inferenda. Si enim etiam nos fidi erga Romanos et constantes sumus, non est tamen aequum, o iudex, ut hi lenitate nostra abutantur, minusque aliquid patiantur, quam facinoris atrocitas postulat."

7. Cum vero accusatores ita criminationem suam peregissent,

νων, τὰ πλήθη τῶν Κόλχων (αὐτοῦ γὰρ συνήθροιστο) ἐπαΐειν A. C. 555
μὲν οὐ μάλα ἠδύναντο τῆς τῶν λόγων ἀπαγγελίας ἢ τῆς τῶν I. I. 29
νοημάτων δεινότητος· ὅμως δὲ τὸ χρῆμα γιγνώσκοντες ἐφ'
ᾧπερ ἕκαστα ἐτύγχανε προηγμένα, ἀγωνιζομένοις τε αὐτοῖς B
ἔτι συνεμόχθουν τῇ προθυμίᾳ, καὶ συμπεριήγοντο ταῖς μεταβολαῖς τῶν σχημάτων· οὕτω τε τὰς ψυχὰς διέκειντο, ὡς ἂν αὐτοῖς ἐκεῖνοι φρονήματος ἔχειν ἢ οἴκτου ἐδόκουν. καὶ εἶτα ἐπειδὴ τοῦ ῥητορεύειν ἐπέπαυντο, αὐτίκα οἵγε, ἐπισχόντος βραχὺ τοῦ δικαστοῦ καὶ βουλευομένου, κατεμέμφοντο ἡσυχῇ καὶ ἠγανάκτουν ὅτι δὴ μὴ εὐθὺς οἱ ἐναντίοι ἀνῄρηντο· τοῦ δὲ παρακελευσαμένου καὶ λέγειν αὐτοῖς ἅττα ἂν ἐθελήσαιεν, τότε δὴ καταβοὰν ἐς τὸ ἐμφανὲς ἵεντο, καὶ ἤδη ὑπετονθόρυζον, καὶ ἤδη ἡ φωνὴ ἐς τὸ σαφέστερον διεκρίνετο. ἀλλ' οἱ πρὸς τὸ κατηγορεῖν τεταγμένοι, ταῖς χερσὶ καταπαύοντες,
ἀνέκοψαν τὴν περαιτέρω φορὰν τοῦ θορύβου. καὶ τοίνυν σι- V. 81
γῆς γεγενημένης, παρελθὼν καὶ Ῥούστικος ἐν μέσῳ ἅμα C
Ἰωάννῃ τῷ ἀδελφῷ, ἔλεξε τοιάδε· „Μετήγαγε μὲν ἡμῖν ἀθρόον καὶ περιέστησεν εἰς τοὐναντίον τὰς τῶν δοκηθέντων ἐκβάσεις ἡ τύχη, καί, δέον μεγίστων γερῶν ἀπόνασθαι, πάρεσμεν θανάτου φευξούμενοι δίκην· πλὴν ἀλλ' ἥδιστος ἡμῖν ὁ ἀγὼν καταφαίνεται καὶ πλείστης ὅσης μεγαλαυχίας ἀνάπλεως. γενήσεται γὰρ ἅπασι γνωριμώτερον, ὡς μόνοις ἡμῖν διήνυσται τὸ

2. ἢ τῆς — χρῆμα om. R. et, ut videtur, Intpr. 4. ὅπερ R. 12. ἵεντο R. et vulg. 21. ἀνάπλεως add. ex R. et Intpr. *gloriae plenum.*

Colchorum copiae (eo enim convenerant) verborum enuntiationem non satis exaudire poterant, neque sententiarum pondera: rem tamen ipsam intelligentes, cuius causa singula in medium erant producta, decertantibus ipsis animi propensione collaborabant, eosdemque, quos accusatores, gestus prae se ferebant, atque ita animis affecti erant, prout illi vel fiduciam vel commiserationem vultu exprimebant. Ac deinde ubi dicendi finem fecissent, statim hi, restitante nonnihil iudice et consultante, tacite incusabant, molesteque ferebant adversarios non statim ad necem rapi. Mandante vero iudice, ut et illi quae vellent pro sese dicerent, tum aperte reclamare coeperunt, et iam submurmurabant, vocesque ipsae iam manifestius exaudiebantur. Sed accusatores, silentio manibus indicto, maioris tumultus ansam praeciderunt. Silentio itaque facto, progressus in medium Rusticus cum fratre suo Ioanne, in hunc modum verba fecit: „Mutavit nobis subito, iudices, et in contrarium vertit consiliorum nostrorum eventum Fortuna; cumque maxima nobis praemia sint debita, capitis accersimur. Verum enimvero iucundissimum nobis hoc certamen iudiciale videtur maximeque gloriosum; fiet enim omnibus perspicuum, solis nobis hoc deberi, quod homo proditor et tyrannus sit interfectus, et

A. C. 555 προδότην ἄνδρα καὶ τύραννον ἀπολωλέναι, καὶ τὰ βασιλέως
L. I. 29 πράγματα τὸ μέρος διασεσῶσθαι· ὥστε εἰ καὶ τεθνάναι συμβαίη, στέρξοιμεν ἂν καὶ ὣς ἄσμενοι καθάπερ τι προσφιλὲς
D καὶ αὐθαίρετον τὸ ἀνιαρὸν καὶ ἠναγκασμένον· καὶ οἰχησόμεθα κάλλιστον τοῦτο πρὸς εὐθυμίαν ἐφόδιον ἔχοντες, τὸ γιγνώσκειν ἐν ἡμῖν αὐτοῖς, ὡς τοὺς Ῥωμαίους κρατοῦντας ἔτι τῶν Κόλχων καταλελοίπαμεν, καὶ οὔπω παρ' ἑτέρων ἀφῃρημένους. εἰ μὲν γὰρ Περσικὸν ἦν τὸ παρὸν δικαστήριον, καὶ παρ' ἐκείνοις ἐκρινόμεθα, πάντως ἂν ἡμῖν ἀρνήσεώς τε προσέδει τῶν εἰργασμένων, καὶ δεδιέναι παρῆν τοὺς ἐλέγχους, καὶ δεδειγμένοις τυχὸν διαπορεῖν ὁποίοις ἂν καὶ χρησαίμεθα λόγοις ὑπὸ δικασταῖς πολεμιωτάτοις, καὶ τῷ πραχθέντι λίαν ἀχθομένοις τῷ τῆς ἐλπίδος ἡμαρτηκέναι. Ῥωμαίου δὲ ἀνδρὸς
P. 115 διαιτῶντος, τίνος ἂν χάριν ἡμῖν τὸ γεγενημένον ἀπαρνηθείη; τί δὲ καὶ ἀπολογεῖσθαι χρεὼν παρ' ὑμῖν αὐτοῖς, ἀνθ' ὧν ὑμᾶς εὖ πεποιήκαμεν τὸν τύραννον ἀνελόντες; οὐδὲ γὰρ μεταδοτέον αὐτῷ τοῦ σεμνοῦ τῆς βασιλείας ὀνόματος, ἀλλοτριωτάτῳ διὰ τῶν ἔργων φανέντι· καίτοι μέγα κεκράγασιν οἱ κατήγοροι, καὶ δεινὰ τετολμῆσθαί φασιν, ὡς δὴ βασιλέως ἀνῃρημένου· χρὴ δὲ οὐ τῇ πόρπῃ καὶ τῷ χλαμυδίῳ καὶ τοῖς ἐκτὸς φαινομένοις ἐγκαλλωπίσμασι ταύτην προσνέμειν τὴν ἐπωνυμίαν,

4. οἰχησόμεθα R. et Intpr. *et moriemur* (Cl.), οἳ χρησόμεθα vulg. 5. γινώσκειν R. 11. δεδιττομένοις s. potius δεδειδιγμένοις coni. Cl., Intpr. *timore perculsi*. 16. οὐδὲ R., οὐ vulg. 20. πόρπῃ. Hanc certissimam Ios. Scaligeri emendationem confirmat R. cf. p. 172. ed. Bonn. v. 9., ῥοπῇ vulg., Intpr. *in purpura*.

Imperatoris nostri res ex parte conservatae; adeo ut etiamsi mori nos contigerit, libentes vel sic simus amplexuri veluti amicum et voluntarium id, quod est acerbum et coactum, et moriemur pulcherrimum hoc ad alacritatem tranquillitatemque animi viaticum habentes, conscire nobis ipsis, quod Romanos adhuc in Colchos imperium obtinentes reliquerimus, neque illud ipsis ab aliis ereptum. Si enim Persicum esset istud tribunal, eorumque iudicio nobis standum esset, omnino nobis negatione eorum, quae facta sunt, foret opus, extimescendaeque essent probationes; magnopere etiam laboraremus, quibus verbis eas refutaremus apud iudices inimicissimos graviterque hoc facto offensos, quia spe sua essent frustrati. Cum vero iudex sit Romanus, quam ob causam a nobis factum negetur, aut quid opus est excusare apud vos id, quo ipso bene de vobis sumus meriti, qui tyrannum interfecimus? Neque enim tribuendum ei est venerandum regis nomen, qui ab eo alienissimus re ipsa est deprehensus, quantumvis clamitent accusatores, et atrox a nobis facinus perpetratum dicant, utpote rege interfecto. Oportet enim non fibulae et chlamydi exterioribusque ornamentis hanc appellationem tribuere, sed ei qui iustitiam exercet, et cupiditatibus suis modum non excedit

ἀλλ' ἔνθα τὸ δίκαιον ἐνεργὸν, καὶ τοῦ προσήκοντος μὴ ὑπερ- A.C. 555
φρονοίη τὸ ἐφιέμενον, καὶ μόνοις τοῖς καθεστῶσι τὸ φρόνημα I. I. 29
τῆς ψυχῆς ἀναμετροῖτο. εἰ μὲν οὖν τοιοῦτον ἀπεκτόναμεν ἄνδρα, παράνομα τετολμήκαμεν, ἔνδικος ἡ κατηγορία, εἰκότως βίαιοι B
καὶ ἀλαζόνες καὶ μιαιφόνοι παρὰ τῶν Κόλχων ὀνομαζόμεθα. εἰ δὲ τούτων μὲν ὡς πορρωτάτω τοῖς τρόποις ἀπῴκιστο, μέτριον δὲ οὐδὲν ἦν αὐτῷ βεβουλευμένον, ἀλλ' ἢ τοὺς Πέρσας καθ' ἡμῶν λαθραίως ἐπάγειν, καὶ καταπροέσθαι τὴν χώραν ἐκείνοις· πῶς οὐ μᾶλλον ἐχρῆν φθάσαι τὸν τοῦ δεινοῦ καιρὸν τῷ προτερήματι, ἢ, τὴν βασίλειον στολὴν αἰδεσθέντας, ὑπὸ τοῖς πολεμίοις γενέσθαι; τοῖς γὰρ κίνδυνόν τινα μελετώμενον ὑπό του προεγνωκόσιν, ἐνὸν μὲν ἐκκλῖναι τὸ παραυτίκα τὴν ἐπιβουλὴν, καὶ, τὸ παρὸν ἀμωσγέπως παρακρουσαμένοις, σχολαίτερον ἐν ὑστέρῳ τοῖς προσπεσοῦσιν ἁρμόσασθαι, πολλὴ C
ὠμότης προεπιφέρειν τὴν τιμωρίαν, καὶ μὴ μᾶλλον ἀρκεῖσθαι τῇ τοῦ ἀντεπιβουλεύειν τυχὸν ἐξουσίᾳ. ἔνθα δὲ, τῶν βεβουλευμένων εἰς ἔργον ἀχθέντων, οὐδὲν ἔτι λείπεται πρὸς ἐπικουρίαν, ἀλλ' ἄρδην εὐθὺς ἅπαντα οἴχεται, συναφαιρουμένων τῇ κοινῇ σωτηρίᾳ καὶ αὐτῶν δήπου τῶν ὑπὲρ ταύτης ἐλπίδων, ἐνταῦθα τὸ τάχος αἱρετέον τοῖς ἔμφροσι, καὶ ὅπως μηδὲν ὁτιοῦν τῶν ἀνηκέστων πείσονται παρασκευαστέον.

η'. „Εἰ τοίνυν καὶ διαρραγεῖεν οἱ κατήγοροι, μίασμα βοῶν-

3. τοῦτον R. 5. Anne ἀλάστορες? 16. τὸ βεβουλευμένον R. 21. πείσωνται R. 22. διαρραγοῖεν R.

cogitationesque suas solo honesto metitur. Quod si itaque talem virum interfecimus, contra leges fecimus, iusta est accusatio, merito violenti, superbi et sicarii a Colchis appellamur. Si vero illius mores ab hisce virtutibus quam longissime aberant, nihil vero moderatum animo agitabat, sed vel ut Persas in nos clam adduceret eisque ditionem nostram proderet, cur non potius oportuit imminentis mali occasionem hoc praeclaro facinore antevertere, quam regium habitum verendo in hostium potestatem venire? Qui enim periculum aliquod a quopiam praemeditatum praesciverunt, cumque protinus possent insidias declinare, et praesens discrimen utcumque propulsando cunctantius sese in posterum adversus eventa comparare, magnae crudelitatis fuerit multo ante iis supplicium inferre, et non potius contentos esse facultate, quam habent, insidias contrariis insidiis propulsandi. Ubi vero machinationibus iam in actum deductis nihil ad remedium fit reliqui, sed iamiam omnia pessum eunt, sublata una cum communi salute omni etiam eius spe, ibi tum prudentibus viris acceleratione est utendum, et ne irremediabile aliquod malum accipiant, praecavendum.

8. „Etiamsi itaque disrumpantur accusatores, piaculare scelus vo-

A. C. 555 τες καὶ ἄγος καὶ μιαιφονίαν, καὶ τοῖς τοιούτοις ὀνόμασιν ἐκ-
I. I. 29 τραγῳδοῦντες τὸ γεγενημένον, καὶ πρὸς μόνον τὸ πραχθὲν
ἀφορᾷν ἐκβιαζόμενοι· ἀλλὰ σὸν ἔργον, ὦ δικαστὰ, μνήμην
D ποιεῖσθαι τῶν προϋπαρξάντων, τὰς αἰτίας ἀναθεωρεῖν δι' ὧν
ἐπὶ τὴν πρᾶξιν ὡρμήθημεν, καὶ τῷ εὐλόγῳ τοῦ ἐγχειρήματος
τὸ εὔνουν διαγιγνώσκειν τῆς γνώμης. ἐπεὶ καὶ πολλαχοῦ κατὰ
τὰς πόλεις ἀγύρτας τινὰς τυχὸν ἢ καὶ λωποδύτας, ἢ καὶ ἄλλο
τι τῶν ἀνοσίων ἔργων πεπλημμεληκότας, ὁρῶντες νῦν μὲν
τῆς κεφαλῆς ἀφαιρουμένους, νῦν δὲ τὼ πόδε διατεμνομένους,
οὐ τοῦ φαινομένου κατηγοροῦμεν, καὶ ταῦτα λίαν ἀπάνθρω-
πον εἶναι δοκοῦν, οὐδὲ τοῖς ἄρχουσιν, οἷς τὰ τῶν τιμωριῶν
P. 116 τούτων ἀνεῖται, νεμεσῶμεν, ἐναγεῖς αὐτοὺς καὶ μιαροὺς καὶ
κακοδαίμονας ἀποκαλοῦντες· ἀλλὰ τὰ πρότερον παρ' ἐκείνων
V. 82 τετολμημένα λογιζόμενοι, καὶ ὡς ποινὰς τίνουσι τῶν ἀδικη-
μάτων ἐπιμνησθέντες, ἡδόμεθα τῇ ὠμότητι. οὐ γὰρ εἰκῇ τὸ
κολάζον ἐξεύρηται, τοῦ ἁμαρτάνοντος ἥκιστα παυομένου. ἀνῄ-
ρηται τοίνυν πρὸς ἡμῶν ὁ Γουβάζης· καὶ τί δεινὸν, εἰ προ-
δότην ἄνδρα καὶ πολέμιον ἀπεκτόναμεν; καίτοι τὴν τοῦ δυσ-
μενοῦς ἐπωνυμίαν οἱ κατήγοροι διευκρινήσαντες, οὐ τῷ πόρ-
ρωτέρω ταχθέντι προσήκειν φασὶν, ἀλλ' ὅτῳ ἂν, εἰ καὶ ὁμό-
φυλος ᾖ, τὰ τοῖς ἐναντίοις κεχαρισμένα σπουδάζοιτο· καὶ

3. ἔργον ins. ex R. 8. ἔργων add. ex R. et fort. Intpr. *graviora facinora.* 12. τούτων ἀνεῖται R., ἀνεῖται, τούτων vulg., 14. τίσουσι R. 17. προδότην om. R. 20. ταχθέντι R. et Intpr. *intervallo sepositus*, τεχθέντι vulg.

cantes et latrocinium, aliisque id genus appellationibus plane tragicis factum atrocius reddentes, idque summa vi agentes, ut tantum ad nudum factum respiciatur: tuum tamen est, o iudex, praecedentes causas accurate expendere, quae nos ad hoc factum impulerunt, et ex facti aequitate animi nostri rectitudinem cognoscere. Siquidem cum passim per civitates impostores quosdam et fures aut qui aliud aliquod scelus perpetrarunt videmus modo capite truncari, modo pedes discindi; supplicium ipsum, quod oculis nostris cernimus, non incusamus, quantumvis inhumanum atque atrox videatur, neque eam ob causam magistratui eiuscemodi supplicia irroganti indignamur, piaculares et nefarios eos vocantes: sed cum quae ab illis perpetrata sunt consideramus, quodque scelerum suorum poenas luant nobiscum reputamus, gaudemus ea crudelitate. Neque enim frustra supplicium est adinventum, sceleribus nequaquam cessantibus. Interfectus itaque est a nobis Gubazes. Et quid mali, si hominem proditorem et hostem interfecimus? Atqui hostis appellationem recte interpretantes accusatores, non ei, qui remotissime sit dissitus, convenire aiunt, sed cuivis etiam populari, qui hostibus gratificari studeat. Quam quidem opinionem etiam nos optimam censemus et verissimam; quippe quae rei

τήνδε τὴν δόξαν καὶ ἡμεῖς ἀρίστην ἡγούμεθα καὶ ἀληθεστάτην, A. C. 555 καὶ οἵαν τῆς τοῦ πράγματος φύσεως ἐστοχάσθαι. οὐκοῦν, ἑκα- I. I. 29 τέρους οὕτως ἀρέσκον, φέρε πολέμιον ἀποδείξωμεν τὸν Γου- B βάζην τῷ δοθέντι χρώμενοι τεκμηρίῳ. τούτου γὰρ ταύτῃ καὶ δὴ δεικνυμένου, καὶ τὸ δικαίως αὐτὸν ἀνῃρῆσθαι συναναφανεῖται. ἅπαν μὲν οὖν ἀεὶ βάρβαρον φῦλον, εἰ καὶ κατήκοον ᾖ τοῖς Ῥωμαίοις, ἀλλὰ τῷ τῆς γνώμης ἀλλοτριωτάτῳ διεστηκὸς καὶ τῇ τάξει τῶν νόμων ἀχθόμενον, ἐπὶ τὸ νεωτεροποιὸν καὶ ταραχῶδες φέρεσθαι πέφυκεν· καὶ ἥδιστα μὲν ἂν ἐφ' ἑαυτοῦ βιοῦν διατελοίη μηδαμῶς ὑφ' ἑτέροις ταττόμενον, ὡς μηδὲ τῶν ἀδικημάτων εὐθύνας ὑπέχειν. εἰ δὲ τοῦτο μὴ οἷόν τε, τὸ γοῦν τὰ ὁμοδίαιτα τῶν ἐθνῶν καὶ μᾶλλον τοῖς οἰκείοις πλησιάζοντα τρόποις ἐπάγεσθαι προὔργου ποιοῦνται. πλὴν ἀλλ' εἰ καὶ τούτοις ἀτεχνῶς ὁ Γουβάζης ὑπῆκτο τοῖς πάθεσι, C τῷ βάρβαρός τε πεφυκέναι, καὶ τὴν κοινὴν τοῦ γένους νοσεῖν ἀπιστίαν, ὁ δὲ καὶ πρὸς τοῦτο κακίας ἐχώρει καθ' ἡμῶν, ὡς μηκέτι διαλανθάνειν οἴεσθαι δεῖν, τοὐναντίον μὲν οὖν καὶ πρὸς ἔργον ἄγειν ἐπείγεσθαι τὴν προσπεπηγυῖαν τέως τῷ νῷ καὶ ὑποκρυπτομένην δυσμένειαν. ἡμῶν γὰρ διαπονουμένων καὶ πάντα κίνδυνον μετιόντων, ὡς ἂν τοῖς πολεμίοις μηδὲν ὁτιοῦν τῶν κατὰ γνώμην ἐκβαίη, αὐτὸς οἴκοι μένειν ᾤετο δεῖν σὺν τοῖς ὁμοφύλοις, καὶ πολλῷ τοῦ μοχθεῖν ἀφεστάναι. πλὴν ἀλλ' ἐπετήρει σὺν ἀκριβείᾳ καὶ ἀνεπυνθάνετο τὰς τῶν ἀγώνων κι-

2. ἑκατέροις R. 10. ἑαυτοῦ R., ἑαυτῷ vulg. 11. τῶν ins. ex R. 14. τοῦτο R. 23. ἀνεπυνθάνετο R., ἐπυνθάνετο vulg.

ipsius naturam attingat. Cum itaque utrisque nostrum haec sententia probetur, age hostem fuisse Gubazen hoc ipso argumento utentes demonstremus. Hoc enim demonstrato, etiam iure caesum esse ipsum una perspicuum fiet. Universa itaque perpetuo barbara natio, etiamsi Romanis subdita sit, animo tamen ab eis alienissimo dissita, et legum disciplinam atque ordinem gravate ferens, ad novas res moliendas turbasque excitandas ferri consuevit, et placidissime quidem inter sese, dum aliis subest, vivere neutiquam perseverat, quin aliquod crimen incurrat. Quod cum ipsis sit impossibile, nationes eiusdem secum instituti, et quae quam proxime ad eorum mores accedant, sibi adiungere student. Porro Gubazes etiamsi hisce vitiis esset obnoxius, quod et barbarus ortus sit et communi nationis infidelitate laboret; tantum etiam odii adversus nos conceperat, ut id nequaquam diutius tegendum censeret, sed e contrario in apertum producendam exercendamque re ipsa hostilitatem, quam tamdiu impactam animo suo latentemque gesserat. Nobis enim allaborantibus et nullum non periculum subeuntibus, ne hostibus quicquam omnino ex animi sententia succederet, ipse domi sibi cum barbaris suis desidendum censebat, longissimeque a laboribus bellicis abesse. Obser-

A. C. 555 νήσεις, ἐς ὅπερ ἂν καὶ χωρήσαιεν. εἰ μὲν οὖν μέγιστόν τι
I. I. 29 κατὰ τοὺς πολέμους τοῖς Ῥωμαίοις διήνυστο, καὶ τοῦ νικᾷν
D ἐνεργόν τε καὶ ἀληθεστάτην ἤραντο δόξαν, ὁ δὲ τὸ δυσμενὲς τῆς ψυχῆς καὶ βασκαῖνον ἐπιδεικνὺς, διακωμῳδεῖν εὐθὺς ἐπειρᾶτο, καὶ διαλύειν τὴν ἐκ τῶν ἔργων σεμνότητα, φαύλην μὲν τὴν ἐγχείρησιν, φαυλότατον δὲ τὸ πέρας ἀποκαλῶν, καὶ οὐδὲ τοῦτο ἡμέτερον, ἀλλὰ τοῦ ἀλογίστου τῆς τύχης. εἰ δέ που τυχὸν καὶ σφαλεῖημεν, (πῶς δὲ οἷόν τε τὸ ἀνθρώπειον μὴ οὐχὶ καὶ πρὸς τἀναντία μεταβάλλειν, ἀλλ' ἐπὶ τῶν αὐτῶν ἀεὶ βεβηκέναι;) ὁ δὲ καθάπερ τις αὐτόματος τῶν γιγνομένων κριτὴς, τὴν μὲν τύχην εὐθὺς ἀφίει τῶν ἐγκλημάτων ἀνεύθυ-
P. 117 νον, ὡς οὐ μετὸν αὐτῇ τοῦ συμβάντος· ἦν δὲ πάντως αὐτῷ προεσκεμμένον καὶ ἐγκριθὲν, μηδὲν ἄλλο δοκεῖν αἴτιον εἶναι τοῦ ἐνδεῶς ἡμῖν τι πεπρᾶχθαι, ἢ μόνον ἀνανδρίαν γνώμης καὶ χειρῶν ἀσθένειαν καὶ βουλευμάτων ἀβελτηρίαν. τὸ γὰρ παλίμβολον τῆς τύχης καὶ ἄτακτον καὶ ἀλόγιστον, καὶ οἷς καθ' ἡμῶν αὐτὴν διελοιδορεῖτο, οὐδαμῶς ἐπῆγε τοῖς πολεμίοις, ὡς ἐκ τούτων ἡμᾶς, οὕτω παρασχὸν, ὑπερβαλλομένοις.

θ'. „Καὶ τοίνυν ἀνεβόα ταῦτα περιφανῶς, καὶ γνῶναι παρεῖχεν οὐ μόνον τοῖς στρατεύμασι τῶν Περσῶν, οἷς δὴ καὶ ἕκαστα διεπονεῖτο καὶ ἔπρασσεν, ἀλλ' εὐθὺς ἀγγελιαφόροι σταλέντες πρὸς αὐτοῦ διεκήρυττον εἰς Ἰβηρίαν, εἰς Ἀλα-

3. ἤρατο R. 10. βεβηκόσιν R. 13. προεσκεμμένον R., παρεσκεμμένον vulg. 17. αὐτὴν R., αὐτῶν vulg.

vabat tamen accurate proeliorum motus, quo tenderent. Si quid igitur praeclare a Romanis esset gestum, et strenuam verissimamque victoriae laudem reportassent, ipse hostilem suum invidumque animum declarans, mordaciter comicum in morem irridere et rerum gestarum splendorem ac dignitatem offuscare nitebatur, ridiculi coepti ridiculum eventum appellans, quique non ipsorum fortitudini, sed fortunae temeritati deberetur. Sicubi vero fortassis lapsi fuissemus, (qui enim fieri possit, ut res humanae non in contrarium vergant, sed perpetuo in uno eodemque statu permaneant?) tum iste tanquam ultroneus quidam eventuum iudex, fortunam quidem statim, perinde ac si eventus rerum ab ea non penderent, culpa omni liberabat: hoc vero fixum ei decretumque manebat, nullam aliam esse causam rei parum bene a nobis gestae, praeter solam animi mollitiem, manuum imbecillitatem et consiliorum stoliditatem. Fortunae enim mutabilitatem, inconstantiam et temeritatem et alia, quae nobis contumeliose obiiciebat, hostibus nequaquam adscribebat, tanquam hisce de causis, occasione ita oblata, nos superassent.

9. „Haec itaque ille proclamabat, et significabat non solum Persarum exercitibus, quibus quidem ille etiam singula et elaborabat et perficiebat; sed nuntii statim ab ipso emissi id perferebant in

νοὺς, τῷ γένει τῶν Σουανῶν, τοῖς ὑπὲρ τὸν Καύκασον οἰ- A. C. 555
κοῦσι βαρβάροις, τοῖς πόῤῥω τούτων, τοῖς ἐκείνων ἔτι ποῤ- I. I. 29
ῥωτέρω, τὰς ἐσχατιὰς ἁπάσης τῆς γῆς εἴπερ αὐτῷ περινο- B
στεῖν ἐνῆν, τούτου γε χάριν οὐκ ἂν ἐνεδίδου. ἦν δὲ τὸ ἄγ-
γελμα· Ῥωμαῖοι κακοὶ τὰ πολέμια, καὶ τῶν βαρβάρων ἡσ-
σῶνται. καὶ τὴν περὶ ταῦτα σπουδὴν οὐχ ὥστε μόνον πρὸς
ὄνειδος ἄγειν τὸ τῶν Ῥωμαίων γένος μετῄει· καίτοι καὶ τοῦ-
το δεινὸν καὶ λίαν ἐναργὲς γνώρισμα ψυχῆς πολεμίας· τὸ
δὲ ἐφ' ᾧ πλέον ἐμόχθει καὶ παρεσκεύαστο, ἕτερόν τι καὶ
τοτοῦδε μεῖζον ὑπῆν. τὴν γὰρ ὑπὲρ βασιλέως τοῦ μεγίστου παρὰ C
τοῖς ἔθνεσι νικήσασαν δόξαν, ὡς ἄρα δυνάμει τε κράτιστος
καὶ πλήθει τροπαίων κεκοσμημένος, διαλύειν τὸ μέρος ἐγί- V. 83
γνωσκε χρῆναι, καὶ ταύτῃ πρὸς θράσος κινεῖν καὶ αὐθάδειαν
τὸ τέως κατεπτηχὸς καὶ θαυμάζον. ἆρα πολέμιος ἂν ὁ ταῦτα
δρῶν καλοῖτο δικαίως, ἢ μᾶλλον φίλος καὶ εὔνους καὶ βα-
σιλεὺς καὶ ὑπόσπονδος, καὶ ὅσα τοῖς κατηγόροις ἐπὶ τῷ τυ-
ράννῳ κεκόμψευται; καίτοι κοινῇ δοθὲν ἑκατέροις, οὐκ ἄλλως
διακριτέον τὸ φίλον ἀπὸ τοῦ δυσμενοῦς, ἢ μόνῳ τῷ πρὸς τὰς
ἐκβάσεις τῶν παρεμπιπτόντων εὖ τε τυχὸν ἢ ἑτέρως διακεῖσθαι D

1. *Σουανῶν* R. et Intpr., qui pro *τῷ γένει* legisse videtur *τὰ γένη*, vulg. *Σουσάνων*. 3. *ἁπάσης* R. *ἁπάσας* vulg. 4. *οὐκ ἂν ἐνεδίδου* R., *οὐκ ἀνεδίδου* Lugd. et ed. pr., *οὐκ ἐνεδίδου* Par. 6. *οὐχ ὥστε μόνον* R. Lugd. et Intpr., edd. ex coni. Ios. Scaligeri *μόν. οὐχ ὥστε*. 7. *τῶν* R., *πᾶν* vulg. 8. *καὶ* ante *λίαν* om. R. 10. *ἢ τοῦδε μεῖζον* R., Intpr. *aliud quiddam et longe maius*, *μεῖζον κ. τ.* vulg. 12. *τὸ μέρος* R., *τὸ αὐτοῦ μ.* vulg. *ἐγίνοσκε* sph. Par. 16. *ἐπὶ* R., *ὑπὸ* vulg.

Iberiam, in Alanos, Suanorum nationi, barbaris ultra Caucasum habitantibus, quique ultra hos, et his ipsis adhuc sunt ulteriores, et ad omnes, si obiri potuissent, orbis terrarum extremitates mittere non destitisset. Nuntii summa haec erat: Romani imbelles, et a barbaris superantur. Atque his quidem in rebus studium ille suum collocabat, non solum ut universam Romanorum nationem contumelia afficeret, (tametsi etiam hoc grave esset, et valde manifestum hostilis animi argumentum,) aliud vero quiddam longe maius hoc suberat, in quo praecipue laborabat et machinabatur. Opinionem enim, quae de maximo Imperatore omnium barbarorum animos occuparat, quod nimirum potentissimus esset innumerisque trophaeis clarus, infringendam sibi ex parte putabat, ut sic illos, terrore admirationeque Romani nominis antea captos, audentiores confidentioresque redderet. Num igitur hostis, qui talia facit, iure vocetur, an potius amicus et benevolus et rex et confoederatus, aut quibuscunque eum accusatores titulis ornant? Tametsi ut utrisque communiter hoc detur, non aliter discernendus est amicus ab hoste, quam ex solo incidentium rerum eventu, et ex bona fortassis aut

A. C. 555 τὰς γνώμας. ἐπειδὴ οὖν ἀπελήλεγκται καὶ νῦν ὁ Γουβάζης, ὡς
L. I. 29 ἠνιᾶτο μὲν οἷς ἐκρατοῦμεν, ἥδετο δὲ οἷς ἡμαρτάνομεν, τί δή-
ποτε καταβοῶσι τῶν παρὰ Ῥωμαίοις νόμων οἱ βάρβαροι, καθ'
οὓς κολάζειν εἰώθαμεν ἢ καὶ ἀναιρεῖν, οὕτω παρασχὸν, τοὺς
τὸ καθεστὸς τῆς πολιτείας κινοῦντας τὸ μέρος καὶ λυμαινο-
μένους; ἀλλ' εἰ δοκεῖ, τεκμήρια μὲν καὶ γνωρίσματα καὶ τοὺς
ἐκ τῶν εἰκότων ἐλέγχους παρῶμεν, μόνην δὲ τὴν ἐκ τῶν πρα-
γμάτων ἐπισκεψώμεθα πεῖραν, οὗπερ ἡμᾶς ἄγουσα φέρει. κα-
τείχετο γὰρ ὑπὸ Περσῶν τὸ φρούριον ἡ Ὀνόγουρις, ἐκ τῆς
κατὰ τὴν Ἀρχαιόπολιν περιοικίδος παρῃρημένη· καὶ ἦν αἶ-
σχος οὐ φορητὸν, στράτευμα δυσμενὲς εἴσω περιβόλων ἐν τοῖς
ἡμετέροις χωρίοις βεβαίως ἱδρῦσθαι. ἐνίκα βουλὴ παρὰ τοῖς
P. 118 στρατηγοῖς, φοιτᾶν ἐπ' αὐτοὺς ἅπαντι τῷ στρατῷ, καὶ καθε-
λεῖν ἢ καὶ ἀπώσασθαι τὸ λυποῦν ἐκπλείστου καὶ ἐφεδρεῦον.
ἔδει πάντως ἡμῖν καὶ στρατιᾶς Κολχικῆς, ὡς ἂν μὴ μόνον
τῇ τῶν τόπων ἐμπειρίᾳ πλέον τι τῶν οὐκ ἐπισταμένων πρὸς
τὸ συνοῖσον διανοηθεῖεν, ἀλλὰ καὶ μαχομένοις ἡμῖν πρὸς ἄν-
δρας ὁπλίτας ἐξ ἐρυμάτων παραταττομένους, καὶ πρός γε τοὺς
ἐκ Μουχειρίσιδος κατὰ τὸ εἰκὸς ἥξοντας, συνεπιλάβοιντο καὶ
συμπαρασταῖεν. τί οὖν ἐπὶ τούτοις ἔδει πράττειν τοὺς στρατη-
γούς; ἀντιβολεῖν, ὡς ἔοικε, τὸν ἡγεμόνα τοῦ γένους, καὶ πρὸς

5. καθεστὸς R., καθεστὼς vulg. 7. λόγους R. pro ἐλέγχους. 10. παρῃρημένη R. et Intpr. *ademta*, παρηγμένη vulg. 11. δυσμενὲς R. et Intpr. *hostilem exercitum*, δυσμενῶν vulg.

mala animi affectione. Cum itaque probatum sit etiam nunc, quod Gubazes nobis victoria potitis dolebat, si quid vero sinistri nostra culpa evenisset, gaudebat: quid igitur Romanis legibus occlamant barbari, ex quarum praescripto punire solemus, aut, si res ita postulet, etiam e medio tollere, qui rei publicae statum turbarent ex parte et labefactarent? At, si videtur, signa atque indicia probationesque ex rebus verisimilibus petitas omittamus; solam vero rerum ipsarum experientiam consideremus, quonam illa nos agens ferat. Occupabatur a Persis propugnaculum Onoguris, ex ditione Archaeopoli circumiecta ademptum, eratque dedecus intolerandum, hostium exercitum intra muros nostris in locis valide consedisse. Vicerat haec sententia inter praefectos militiae, ut in eos cum toto exercitu moveremus, utque submoveremus et propulsaremus id, quod nobis quam maxime infestum insidiosumque erat. Erat nobis plane opus etiam Colchico exercitu, ut non solum illi tanquam locorum periti plus aliquid, quam eorum imperiti, consiliis suis iuvarent, sed ut bellantibus nobis adversus armatos munitissimoque loco insidentes, et adversus eos, qui ex Muchiriside verisimiliter venturi videbantur, copias viresque suas coniungerent. Quid itaque hisce in rebus praefectis exercitus faciendum erat? Rogandus uti videtur

συμμαχίαν αἰτεῖν, ἀποδεικνύντας καὶ τὸ εὔλογον τῆς αἰτήσεως· A.C. 555
καὶ τοίνυν ἀντεβόλουν καὶ ἀπεδείκνυον. ὁ δὲ, καθάπερ ὡς I. I. 29
ἀληθῶς βασιλεύς τις εἶναι πεπιστευκὼς, καὶ ὡς ἐξὸν αὐτῷ B
κατ' ἐξουσίαν βιοῦν, συστρατεύεσθαι μὲν ἡμῖν ἐπὶ τὸ φρούριον οὐδὲ μέχρι τοῦ παρεῖναι γοῦν μόνον ἠνείχετο. οὐ μὴν οὐδὲ σκήψεις τινὰς, εἰ καὶ ἀπρεπεῖς, ἀλλ' ἐς προκάλυμμά γε ὅμως τῆς ἀποῤῥήσεως εὐπρόσωπον ἐμηχανᾶτο· ἀπεπέμπετο δὲ μάλα σεμνῶς καὶ σοβαρώτερον ἢ κατὰ μισθωτὸν ὑπήκοον τὴν ἀξίωσιν. καὶ πρός γε νεμεσῶν διετέλει τοῖς στρατηγοῖς, καὶ δυσμενῶς μὲν εἰς αὐτοὺς ἀφυβρίζων, ὥσπερ ἀνδρίαν τοῦτο ἡγούμενος, καὶ βασιλεῦσι πρέπον· ἢ γὰρ τὸ διαῤῥήδην ὑπὲρ τῶν ἤδη μεμελετημένων ἀναισχυντῆσαι. εἶτα διαμέλλειν ἐχρῆν καὶ μείζονας ἀναμένειν ἐλέγχους καὶ τὸ βασίλειον γράμμα δεικνύειν, ἐφ' ᾧ κατὰ τὸ Βυζάντιον ἀφικέσθαι τὸν μηδὲ τῆς οἰ- C
κείας χώρας ἐντὸς βραχεῖάν τινα διανύσαι πορείαν ἑλόμενον; καὶ πῶς οἷόν τε ἦν, εἴγε στέλλειν αὐτὸν οὕτω χαλεπαίνειν καθ' ἡμῶν προηγμένον ἐπετηδεύσαμεν, μὴ οὐχὶ ταραχάς τε μυρίας καὶ φόνους πολλοὺς ἐμφυλίους καὶ μεταχώρησιν ἐμφανῆ καὶ

3. ἐξῆν R. 6. εἰ R. (Cl.), ἢ vulg. εἰς R. vulg. 7. ἀπεπέμπετο R., ἀπεξεπέμπετο vulg. 8. Intpr. add. ante ὑπήκοον *atque*. 9. τοῖς στρατηγοῖς — ἢ γὰρ om. R. 11. Locus impeditissimus, ad quem sanandum neque liber Rehdigeranus, neque Interpres quicquam opis afferunt: paulo melius procederet, si μὲν post δυσμενῶς deleretur. ἢ γὰρ τὸ positum esse videtur pro ἢ γὰρ τοῦτο ἦν. 12. μεμελετημένων R. Lugd. 1. m. et Intpr. *praemeditatus*, πεπλημμελημένων edd. ex coni. Vulc. ἐχρῆν R., χρῆν vulg. 17. προηγμένων sph. Par. 18. πόνους R.

erat dux nationis, et auxilium ab eo poscendum, aequitate petitionis ei demonstrata. Rogarunt itaque et demonstrarunt. Ille vero, veluti regem quendam se revera esse sibi persuadens, et perinde ac si ipsi licitum esset pro suo arbitratu vivere, ne adesse quidem nobis, nedum adversus propugnaculi illius expugnationem copias suas coniungere voluit. Sed neque excusationes quidem ullas, etiamsi parum idoneas ac decoras, speciosum tamen aliquem recusationis suae praetextum habentes, comminiscebatur; sed potius graviter fastuosiusque quam mercenarium subditum decebat postulata reiiciebat. Adhaec in suo adversus praefectos odio persistens, hostiliter in ipsos erat contumeliosus; fortitudinem id esse regesque decere, censens. Dicebat enim aperte, eos in iis, quae iam accurate tractata erant, impudenter se gessisse. Eratne tum diutius cunctandum, aut maiores probationes exspectandae, aut Imperatoriae litterae ostendendae, quibus mandabatur ut Byzantium iret, cum ne ad brevissimum quidem iter intra nostram regionem se accingere vellet? Et quo pacto fieri poterat, si illum usque adeo nobis infensum Byzantium mittere aggressi fuissemus, quin infinitas turbas multasque caedes intestinas concitassemus, quin etiam aper-

A. C. 555 τῶν Περσῶν εἰσφοιτήσεις ἀθρόους γενέσθαι, ἀπειθοῦντος μὲν
L. I. 29 ἀναίδην τοῦ δυσμενοῦς καὶ διαμαχομένου, τοῦ δὲ παντὸς ἔ-
θνους καὶ μάλα τὴν στάσιν προσιεμένου, τῷ πρὸς τὴν κίνησιν
τῶν καθεστώτων βαρβαρικώτερον ὁρμῆς πεφυκέναι, καὶ πρός
D γε πλησίον ἔχειν τοὺς ἀνθεξομένους; τοιγάρτοι τὸν ἀρχηγὸν
ἡμεῖς τῆς ἐπιβουλῆς ἀνελόντες, τοσούτων συμφορῶν ἐσμὸν
παρόντα ἤδη καὶ ὠδινόμενον οὕτω πως εὐκολώτατα κατεπαύ-
σαμεν, ὡς νῦν ἀπιστεῖσθαι περιφανῶς εἴπερ ὅλως τι καὶ ἤμελ-
λεν ἔσεσθαι.

ί. „Μὴ τοίνυν, ὦ δικαστὰ, τὴν ἐπιστολὴν προφερόντων,
μηδὲ κακιζόντων ἡμᾶς ὡς δὴ τοῖς ἐν αὐτῇ γεγραμμένοις οὐδα-
μῶς ἠκολουθηκότας. τῷ γὰρ οὐ λίαν εὔδηλον, ὡς τὸ γεγρά-
φθαι, χρῆναι πρὸς τὴν βασιλέως αὐτὸν πόλιν ἰέναι, ἀπόπειρα
μὲν ὂν ὑπῆρχε καὶ βάσανος, εἴπερ αὐθαιρέτως εἴκοι τοῖς
P. 119 προσταττομένοις, ὥστε δικαίως ἁρμόσασθαι; γνωσθὲν τοίνυν
V. 84 ῥᾳδίως ἡμῖν τὸ ἀνήκουστον τῆς γνώμης καὶ ἁμιλλώμενον, δι'
ὃ τὸ ἔλαττον ἀπεσείσατο, πῶς ἐπὶ τὸ μεῖζον ἔδει προτρέπειν,
καὶ μὴ θᾶττον εἰς ἐκεῖνο τὸ πέρας ἐλθεῖν, εἰς ὅπερ, πολλῶν
ἐν μέσῳ συμβεβηκότων δεινῶν, πρὸς ἀνάγκης καὶ ὡς περιή-

2. *ἀναίδην* R. et Intpr. *ut hostis impudentissimus*, *ἀνέδην* vulg. 3. *προϊεμένου* R. 4. *ὁρμῆς* R., *ὁρμᾶν* vulg. 5. *ἔχειν* R., *ἕξειν* vulg. *ἀνθεξομένους* R., *ἀνεξομένους* vulg. 6. *ὑμεῖς* R. 8. *ἀπιστῆσαι* R. 12. Pro *τῷ* R. *τὸ*. *εὔδηλον* R., *ἔνδηλον* vulg. 13. *αὐτὸν* add. ex R. 15. Inde a verbo *προσταττομένοις* Cod. R. a librario alienigena et graeci sermonis paene ignaro scriptus est, qui siglas exempli sui non intelligebat: cuius hominis lapsus infinitos non omnes notavi. 18. Pro *μὴ* R. hic et saepe deinde *μηδὲ*. 19. *περιήχθωμεν* R.

tae defectioni et Persarum irruptioni ansam praebuissemus, cum universa haec natio mirum in modum sit contumax et rebellis et seditionis valde studiosa, quod videlicet barbaricum in morem ad immutandum statum rerum naturaliter sit propensa; cum praecipue in propinquo essent habituri, qui ipsos tuendos susciperent? Nos itaque, principe seditionis interfecto, tantarum calamitatum examen iam praesens atque suppullulans hoc tandem modo facillime compressimus, adeo ut nunc non credatur aperte, an in universum aliquid etiam futurum fuerit.

10. „Desinant ergo nunc, o iudex, epistolam proferre, neque nos damnent, quod earum mandatum secuti non simus. Cui enim non fuerit manifestum, id quod litteris illis perscribebatur, oportere illum Byzantium ire, tentandi tantum explorandique caussa factum fuisse, an sua sponte aequis mandatis esset obtemperaturus, iisque se iure accommodaturus? Cum itaque nobis ipsius animi pervicacia et protervia facile esset cognita, cum id quod minus erat detrectaret, quo pacto ad id quod maius erat eum incitare oportebat, et non potius statim ad extrema remedia venire, ad quae multis urgentibus malis necessario pervenissemus? Qui enim opportu-

χθημεν ἂν; οὐ γὰρ ἔνεστι τοὺς τὴν ἀκμὴν τοῦ καθήκοντος A. C. 555
καιροῦ περιορῶντας καὶ μὴ τοῖς πρακτέοις ἁρμοζομένους, ἐν L. I. 29
ὑστέρῳ τὸ παρειμένον ἀνακαλεῖσθαι. ἐλείπετο δὴ οὖν, ὡς ἔοι-
κε, καθά φασιν οἱ κατήγοροι, δίκην τινὰ κινεῖν πρὸς Γουβά-
ζην, καὶ ληρώδεις ἀγῶνας ἐγείρειν, καὶ τῆς τῶν πραγμάτων
ἀσφαλείας ἀνθαιρεῖσθαι μᾶλλον τὴν ἐπὶ τοῖς λόγοις κομψείαν.
ἀλλ' οὐ συνεχώρουν, ὦ κακοδαίμονες, οἱ Πέρσαι παρόντες B
καὶ τοῖς ἔργοις ἐγκείμενοι, καὶ τῆς Κολχικῆς χώρας ἁπάσης
ταῖς τούτου βουλαῖς ἐπιλαμβάνεσθαι παρεσκευασμένοι. ἐπεὶ
δὲ πανταχόθεν ὁ Γουβάζης ἀποδέδεικται πολέμιός τε καὶ προ-
δότης, καὶ πρὸς τυραννικὰς ἐλπίδας ἠρμένος, τί διαφέρειν
οἴονται σφίσιν οἱ Κόλχοι, εἴτε παρ' ἡμῶν εἴτε παρ' ἑτέρων
ἀνῄρηται; οὐ γὰρ στρατηγοῖς μόνοις ἢ τοῖς ἄλλως δυνατωτά-
τοις ὁ τῆς εὐνοίας ἐθέλει σκοπὸς ἐμφύεσθαι καὶ προσιζάνειν·
ἀλλὰ παντὶ τῷ βουλομένῳ βατὸν δήπου καὶ προσῆκον τῆς
ἐν ᾗ τέτακται πολιτείας ὑπεραλγεῖν, καὶ τὸ κοινῇ συνοῖσον ἐς
δύναμιν κατορθοῦν. οὐκοῦν εἰ καὶ βδελυροὶ κατ' αὐτοὺς καὶ
κατάπτυστοι καθεστήκαμεν, ἀλλὰ πιστότατοι βασιλεῖ καὶ φι- C
λορώμαιοι, καὶ οἷοι τοῖς ἐπιβουλεύειν πειρωμένοις μὴ ἐφιέναι.
εἰ δὲ δεῖ τι καὶ πλέον εἰπεῖν, ἴσθι σαφῶς, ὦ δικαστά, καλὸν
μὲν ὡς ἀληθῶς καὶ δίκαιον τὸ παρ' ἡμῶν ἐν δέοντι τολμηθέν,
οὐκ ἄνευ δὲ τῆς τοῦ Μαρτίνου γνώμης γεγενημένον."

5. ἀγεῖραι R. 6. ἀνταιρεῖσθαι R. 1. m. et Lugd., ἀντερεῖσθαι R. 2. m. 8. καὶ τῆς Κ. — παρεσκευασμένοι om. R. et Intpr. 16. κοινοῖς R. 18. φιλοῤῥώμαιοι vulg. 22. τοῦ om. R.

nae occasionis momentum neglexerit, neque statim rei gerendae facultatem arripuerit, frustra deinde praeterlapsam occasionem revocabit. Reliquum igitur erat fortassis, ut accusatores aiunt, litem quandam movere Gubazi, et nugatoriam in iudicio contentionem excitare, rerumque securitati verborum ampullas praeferre. At non permittebant hoc, o miseri, Persae iam praesentes, reque ipsa imminentes, et ad universam Colchorum regionem huius consilio atque ope invadendam parati. Cum vero omnino demonstratus sit Gubazes hostis pariter et proditor, animoque ad tyrannicas spes elato, quid interesse putant Colchi, sive a nobis sive ab aliis sit interfectus? Neque enim ducibus tantum aut alioquin iis, qui maxima potentia valent, bona mens innasci atque adhaerescere solet, sed cuivis omnino volenti liberum conveniensque est, pro re publica, in qua locum aliquem obtinet, laborare, et ad commune bonum praestandum omnibus viribus adniti. Quocirca tametsi execrabiles illorum iudicio et detestandi censeamur, fidelissimi tamen Imperatori sumus et Romanorum studiosi, et insidias struere tentantibus infesti. Si quid vero etiam amplius dicendum est, ita tibi plane persuade, o iudex, rectum aequissimumque nos facinus peropportune ausos fuisse, neque id absque Martini voluntate patratum."

A. C. 555 ια. Εἰρημένων δὲ καὶ τούτων ὁ Ἀθανάσιος τὸ μὲν πα- I. I. 29 ραυτίκα οὐχ ἧσσον τοὺς Ῥουστίκου ἀπεδέχετο λόγους. συστάσης δὲ καὶ δὶς ἀγωνίας, ἐπειδὴ ἅπαντα ἐς τὸ ἀκριβὲς γνωματεύων καὶ ἀνερευνώμενος, οὐδέν τι αὐτῷ ἐναργὲς προδοσίας D ἢ τυραννίδος ἐγχείρημα ἡμαρτῆσθαι ὑπὸ τοῦ Γουβάζου ἐδέδεικτο, ἄδικος δὲ μᾶλλον καὶ παρανομώτατος ὁ φόνος γεγενημένος, ὡς καὶ τῆς ἐπὶ τὴν Ὀνόγουριν συστρατείας οὐ μηδισμοῦ χάριν ἀπαγορευθείσης, ἀλλὰ τῷ ἄχθεσθαί γε αὐτὸν κατὰ τῶν στρατηγῶν, ἀνθ' ὧν αὐτῆς καὶ ἀπεστέρηντο ῥᾳστώνῃ πολλῇ καὶ ἐκμελείᾳ κεχαυνωμένοι· ἐπειδὴ οὖν ταῦτα ἐγίγνωσκε, τότε δὴ τὸ μὲν ἐπὶ Μαρτίνῳ λεχθὲν, ὡς ἄρα καὶ ἐκείνῳ μετῆν τῶν ἐς τοῦτο βεβουλευμένων, ἀνοίσειν βασιλεῖ διενοεῖτο. τοῖς γε μὴν τὸ ἀπεκτονέναι περιφανῶς ὡμολογηκόσι κρίσιν ἐπῆγεν ἀνάγραπτον, ἐν ᾗ διέταττε θᾶττον αὐτοὺς δια- P. 120 φθαρῆναι, ὑπὸ τὴν δικαστικὴν μάχαιραν γιγνομένους, καὶ τὰς κεφαλὰς ἀφαιρουμένους. καὶ οἱ μὲν ἐπὶ τοῖς ὀρεῦσιν ἥμενοι, καὶ ἀνὰ τὰς λεωφόρους περιενεχθέντες, μέγιστον θέαμα τοῖς Κόλχοις εἶναι ἐδόκουν, καὶ πλείστης ἄξιον εὐλαβείας. ἐτεθήπεσάν τε καὶ ἐπὶ τῷ κήρυκι τορόν τι μάλα βοῶντι καὶ διαπρύσιον, καὶ παρεγγυῶντι δεδιέναι τοὺς νόμους, καὶ φόνων ἀδίκων ἀπέχεσθαι. ἐπεὶ δὲ αὐτοῖς καὶ ἀπετέτμηντο οἱ αὐχέ-

1. εἰρ. δὲ κ. τούτ. R., τούτων οὕτως εἰρημένων vulg. 2. ἀπεδέχετο R., προσίετο vulg. et Intpr. *admisit.* 5. Pro ἐγχείρημα R. ἐπεχειρῆσθαι. 6. παρανομώτατον R. 8. ἀπαγορευθεῖσε R. constanti fere vitio. 9. Pro ἀνθ' ὧν R. ἀνθώνους. 17. θεᾶσθαι R. 19. ἐτεθήπεσε R. qui passim pro αν finali ε ponit. 21. ἀπέχεσθαι. Intpr. addit ἕκαστον: *ut vel singuli abstinerent.*

20. Nocte enim tota in hisce malis transacta, cum iam totus ille tractus vastatus videretur, tum vero ex Misimianis viri quingenti optime armati, praesidio egressi, sub ipsum diluculum Romanos invadunt, nullas aut exiguas excubias agentes, quod putarent se plenissima victoria potitos; et plurimos quidem caedunt, omnes vero in fugam vertunt, violenter expellentes; illi vero turbulente in praeceps acti, frequentibusque et variis vulneribus pleni, in castra sunt reversi, et telis hostium icti, et, quod frequenter in petras offendissent, tibiis graviter sauciatis, adeo ut eis denuo in scopulum illum surreptandi animus non esset, sed murum potius, qua parte opportunior oppugnationi videretur, adoriendi simulque fossam opplendi. Quocirca domunculis quibusdam et tuguriis propius structis, e tuto murum oppugnabant, machinis pariter utentes et iaculatione, et alio quovis modo gravissimam iis, qui intus erant, intolerabilemque obsidionem efficientes. Barbari vero vehementer laborabant, graviterque premebantur; nondum tamen sese tueri desistebant. Iam enim nonnulli testudinem

τῶν Ῥωμαίων ἔρκη ἐχώρουν ὡς ἅπαντα καταβαλοῦντες. πρὶν A. C. 556
δὲ δὴ πελάζειν αὐτοὺς καὶ ὑποκρύπτεσθαι, Σουαρούνας τις I. I. 30
ὄνομα, Σκλάβος ἀνὴρ, ἀφίησι δόρυ τῷ μᾶλλον προφαινο-
μένῳ, καὶ πλήττει καιρίαν. πεσόντος δὲ ἐκείνου αὐτίκα ἐξε-
τινάχθη ὁ σπαλίων, καὶ ἠρήριπτο ἀνατετραμμένος, καί πως
ἐς τἀναντία τοῦ κύτους περιηγμένου, ἀνεκαλύπτοντο οἱ ἄνδρες
καὶ ἀπεγυμνοῦντο. καὶ τοὺς μὲν ἄλλους ῥᾳδίως οἱ Ῥωμαῖοι B
κατακοντίζοντες ἔκτειναν, εἷς δέ γε ἀποδρὰς ᾤχετο· καὶ ἤδη
ἀγχοῦ ἐγεγόνει, καὶ δὴ ἐπέβαινε τῆς πυλίδος. ἀλλὰ τότε ἀθρόον
τοξευθεὶς διαφθείρεται. καὶ αὐτοῦ καταπεσὼν, ὑπὲρ τὸν οὐδὸν
ἔκειτο, ὀλίγον μέν τι τοῦ σώματος μεθεὶς, τῷ δὲ πλείονι μέ- V. 91
ρει πρὸς τὰ ἔνδον παρατεταμένος. τοῦτο δὲ ἰδόντες οἱ Μισι-
μιανοὶ, καὶ σημεῖόν τι, οἶμαι, τῶν ἐσομένων πέρι φευκτόν
τε καὶ ἀπαίσιον ἡγησάμενοι, ἄλλως τε καὶ ἀπειρηκότες τοῖς
πόνοις, καὶ τῆς πρὸς Ῥωμαίους δυσμενείας ἀπαλλαξείοντες,
μάλιστα ὅτι αὐτοῖς οὐδὲ ἡ ἀπὸ τῶν Περσῶν κατὰ τὸ ξυγκεί-
μενον ἀφῖκτο ἐπικουρία· ταῦτα δὴ οὖν ἀναλογισάμενοι, καὶ τὴν
οἰκείαν ἀναμετρήσαντες δύναμιν, καὶ ὅτι οὐκ ἀξιόμαχοι ἔσον- C
ται οὐδὲ περαιτέρω τὸν πόλεμον ὑπομενοῦσι μόλις ἐν τῷ
τότε γοῦν ἀναμνησθέντες, εὐθὺς ἐπρεσβεύοντο πρὸς Ἰωάννην,
καὶ ἱκέτευον, μὴ σφᾶς πανωλεθρίᾳ διαφθεῖραι, μηδὲ ἀνάρπα-
στον ἄρδην ποιήσασθαι γένος ἐκ παλαιοῦ κατήκοον καὶ ὁμόδο-

2. *Surranus* Intpr. 7. *μὲν* ins. ex R. 8. *ἀποδρὰς* R., *ἀποδράσας* vulg. Pro *καὶ ἤδη* R. *καὶ δή*. 15. *δυναστείας* R. 17. *ἀναλογισάμενοι* R., *λογισάμενοι* vulg. 20. *ἐπρεσβεύοντο αὖθις* R., Intpr. particulam omittit.

portantes ad Romanorum munitiones se conferebant, tanquam omnia demolituri. Priusquam vero appropinquarent atque obtegerentur, Suarunas quidam nomine, vir Sclavus, hastam iacit in eum, qui minus tectus erat, et ferit letaliter; quo collapso, statim excussa est testudo, inversaque corruit; atque ita resupinato eius sinu et capacitate, detecti sunt nudatique viri, quos Romani facile iaculis petentes interfecerunt. Unus autem ex iis fuga evaserat, et iam propius ad praesidium venerat, portulamque ingrediebatur; sed tum frequentibus sagittis ictus interiit, ibique corruens, in limine iacebat, exigua quidem aliqua corporis parte foris relicta, maiore vero sui parte introrsum porrectus. Id vero conspicati Misimiani, et infaustum ac triste de futuris omen esse interpretati, et alioqui desperantes etiam laboribus, et redeundi in gratiam cum Romanis cupidi, praecipue quod neque ipsis auxilia a Persis prout convenerat venissent: haec, inquam, secum reputantes suasque vires perpendentes, quod Romanis impares essent, neque diutius bellum sustinere possent, tum demum aegre ad saniorem mentem redeuntes, confestim oratores ad Ioannem miserunt precatum, ne se ad internecionem perderet, neque

A. C. 556 ξον τὰ ἐς τὸ θεῖον καὶ πλεῖστα ὅσα προηδικημένον, οὕτω τε
I. I. 30 ἐληλυθὸς ἐς τὸ ἀντιδρᾶσαι, βαρβάρῳ καὶ τοῦτο ἀνοίᾳ· οὐ μὴν παντάπασί γε φειδοῦς καὶ συγγνώμης ἀνάξιοι ἔφασκον εἶναι, τοσαῦτα ἤδη δεινὰ πεπονθότες, καὶ μεγίστας ποινὰς ἀναπλήσαντες, καταφλεχθείσης μὲν αὐτοῖς τῆς τοῦ φρουρίου περιοι-
D κίδος, ἀνδρῶν δὲ ἡβώντων οὐ μεῖον ἢ πεντακισχιλίων ἀπολωλότων, γυναικῶν δὲ πολλῷ πλειόνων, καὶ παίδων ἔτι πλειόνων, ὡς ὀλίγου γε δεῖν ἅπαν διαῤῥυῆναι τὸ φῦλον. ὁ δὲ Ἰωάννης ἀσμενέστατα προσήκατο τὴν ἱκετείαν, τοῦ τε μὴ ἐπὶ πλεῖστον ἐν χωρίῳ ἐρήμῳ καὶ δυσχειμέρῳ ἅμα τῇ στρατιᾷ διακινδυνεύειν, καὶ ὅτι ἀποχρώντως ὡς ἀληθῶς οἱ ἡμαρτηκότες ἐτετιμώρηντο. τοιγάρτοι ὁμήρους λαβὼν, καὶ τὰ χρήματα ὁπόσα ὁ Σωτήριχος ἐπεφέρετο, τά τε ἄλλα καὶ πρός γε τὸ ἐκ βασιλέως χρυσίον· ἦν δὲ ἐν νομίσμασιν ἐντελέσι τε καὶ ἀκιβδήλοις δισμυρίοις τε καὶ ὀκτακισχιλίοις πρὸς ἑτέροις ὀκτακοσίοις· ταῦ-
P. 130 τα δὴ οὖν ἀπειληφὼς καὶ λείαν πολλὴν περιβαλόμενος, ἐφῆκε μὲν αὐτοῖς ἀδεῶς αὖθις τὰ σφέτερα νέμεσθαι, καὶ τὸν πρότερον ἀνανεώσασθαι βίον. αὐτὸς δὲ ἐπὶ τὴν Κολχίδα γῆν ἐπανῆκεν, κλεινὸν ἅμα καὶ ἀγέρωχον, καὶ μόνοις τριάκοντα ἀνδράσιν ἐζημιωμένον ἀποκομίσας τὸ στράτευμα.

κά. Μετὰ δὲ ταῦτα βασιλεὺς Ἰουστινιανὸς, καθελὼν παντάπασι τῆς ἀρχῆς τὸν Μαρτῖνον, ὁ δὲ Ἰουστῖνον τὸν Γερμα-

2. μὴ R. 5. τῆς τοῦ φρ. περ. R., τῆς π. τ. φρ. vulg. 8. γε om. R. 14. τε add. ex R. 16. περιβαλλόμενος R.

funditus exstirparet gentem, iam ab antiquo Romanis subditam, et in religione cum ipsis convenientem, quaeque quamplurimis iniuriis provocata, tandem ad rependendas illas accesserit, atque hoc quidem barbara quadam amentia; commiseratione tamen veniaque se non prorsus indignos dicebant, qui adeo iam atrocia mala essent perpessi adeoque graves poenas luissent; utpote circumiectis praesidio habitationibus incendio absumptis, et virorum aetate florentium non minus quinque millibus interfectis, feminis vero multo pluribus et pueris adhuc pluribus: adeo ut parum absit, quin universa Misimianorum gens sit deleta. Ioannes vero libentissime supplices preces admisit, partim ne diutius in loco deserto et praealgido cum exercitu periclitaretur, partim quod revera iam satis poenarum, qui deliquerant, dedissent. Acceptis itaque obsidibus omnique pecunia, quam Soterichus secum attulerat, aliisque rebus, et praeterea Imperatorio auro (erant vero nummi integri ac probi ad duas myriades, octies mille et octingenti) his, inquam, omnibus acceptis, multaque praeda adiecta, permisit, ut intrepide rursus sua colerent, et pristinum vivendi genus instaurarent. Ipse vero in Colchicam regionem est reversus, inclitum gloriosumque exercitum reducens, solis XXX. viris desideratis.

21. Post haec Imperator Iustinianus Martinum praefectura in universum submovit, inque eius locum Iustinum Germani filium suf-

νοῦ καθίστησιν ἀντ' αὐτοῦ στρατηγὸν αὐτοκράτορα τῶν τε A. C. 556
κατὰ τὴν Κολχίδα χώραν καὶ τῶν ἐν Ἀρμενίᾳ ταγμάτων. I. I. 30
ἦν μὲν γὰρ αὐτῷ καὶ πρότερον οὐ μάλα πρὸς θυμοῦ πρωτεύ-
ειν ἐκεῖνον ἁπάντων καὶ ἐξηγεῖσθαι, ὡς δὴ τῆς κατὰ Γουβά- B
ζου ἐπιβουλῆς οὐκ ἐλάχιστον μέρος γεγενημένον. κατεῖχε δὲ
τέως τὴν γνώμην καὶ ὑπελάνθανε, μὴ χρῆναι οἰόμενος ἀνα-
κινῆσαι τὸ ἄρχον καὶ μετασκευάσασθαι ταραττομένων ἔτι
τῶν τῇδε πραγμάτων, καὶ μάλιστα τῆς στρατιᾶς ἡδομένων
τῷ Μαρτίνῳ, διά τε τὴν τῶν πολεμικῶν ἔργων ἐμπειρίαν
καὶ τὸ ἕκαστα ἐν δέοντι διατάττειν. οὗ δὴ ἕνεκα, οἶμαι, καὶ
διεσέσωστο, ἐπεὶ ἂν καὶ αὐτὸς Ἰωάννῃ τε καὶ Ῥουστίκῳ ξυν-
ετεθνήκει· νῦν δὲ ὥσπερ αἰδοῖ τῶν τροπαίων καὶ τῆς εὐβου-
λίας, ᾗ δὴ παρὰ τοὺς κινδύνους ἐχρῆτο, ὑφελὼν ἠρέμα καὶ
ὑποχαλάσας τοῦ νόμου τὸ λίαν ἀκριβὲς καὶ ἀτιθάσευτον, ἐ-
φῆκε μὲν τὸ ἐπίκλημα, ἄρχειν δὲ οὐ ξυνεχώρει ἀλλὰ ἰδι- C
ωτεύειν ἐκέλευεν, ἀρκεῖν ἡγούμενος ἀτιμίᾳ γε αὐτὸν τιμω-
ρήσασθαι, εἰ καὶ τοσούτου μιάσματος μετειλήχει. ἐπειδὴ οὖν
οἵ τε Πέρσαι ἠρέμουν, καὶ ἐκεχειρίᾳ ἐῴκει τὸ χρῆμα, τότε
δὴ τὸν μὲν ἀπεώσατο, Ἰουστῖνον δὲ προσήκοντά τέ οἱ ὡς ἐγ-
γύτατα κατὰ γένος, καὶ ἄλλως ὀνομαστότατον ἐν τῷ τότε εἶ-
ναι δοκοῦντα, μετάκλητον ἐν Βυζαντίῳ ποιησάμενος, ἅπασάν

5. δὲ om. R. 8. καὶ μάλιστα R., μάλ. καὶ vulg. τῆς στρατιᾶς R. et Lugd., τῶν τῆς στρ. edd. ex coni. Vulc. 11. συνετ. vulg. 14. τοὔνομα R. pro τοῦ νόμου. ἀτιθάσσευτον vulg. 18. τε add. ex R.

fecit, qui omnibus per Colchicam regionem et Armeniam legionibus cum plena absolutaque potestate praeesset. Neque enim ipsi etiam antea valde gratum erat, Martinum primas obtinere omnibusque imperare, quippe qui fraudis in Gubazen structae non minima pars fuerat; mentem tamen suam tegebat, consiliumque occultabat ad tempus, nequaquam concitandum aut immutandum principatum esse ratus, rebus adhuc eo loci perturbatis, praecipue cum gratiosus apud exercitum esset Martinus, cum ob rei bellicae peritiam, tum quod opportune singula ordinaret. Quae quidem res saluti ei, ut arbitror, fuit: nam alioquin etiam ipsi cum Ioanne et Rustico moriendum fuisset. Nunc vero reverentia quadam victoriarum et prudentiae, qua in quovis discrimine adeundo utebatur, de summo iure nonnihil detrahens, legisque rigiditatem austeritatemque temperans atque edulcans, crimen quidem ei remisit, imperare autem non permisit, sed privatam vitam agere iussit, sufficere ratus, si ipsum ignominia afficeret, etiam si tanti sceleris particeps fuisset. Cum itaque Persae quiscerent, statusque rerum induciis esset similis, hunc quidem submovit, Iustino vero, arctissima propinquitate generis sibi coniuncto, et alioquin maximi per id tempus nominis, Byzantium ad se evocato, universum imperium detulit, rursusque ad Colchos misit, omnia deinceps modera-

A. C. 556 τε αὐτῷ παραδίδωσι τὴν ἀρχὴν, καὶ αὖθις ἐς Κόλχους ἐκ- I. I. 30 πέμπει τοῖς ἐφεξῆς ἁρμοσόμενον. ἦν δέ τις ἐν τῷ ἀμφ' αὐτὸν ὁμίλῳ Ἰωάννης ὄνομα, Λίβυς ἀνὴρ, ἀφανὴς μὲν τὰ πρῶτα καὶ πενιχρότατος, ὡς καὶ τοῦ ἀποζῆν ἕνεκα μισθαρνεῖν D ἑτέρῳ τῳ καὶ ξυνέπεσθαι τῶν δορυφόρων καὶ τὰς τῶν θεραπόντων στέγειν ὀδύνας, οὐ πολλῷ δὲ ὕστερον ἐπὶ μέγα πλούτου τε καὶ ἀλαζονείας ἠρμένος. πλεῖστα γὰρ ὅσα μηχανησάμενος, V. 92 καὶ διὰ ποικίλης χωρήσας ἐννοίας, γνωρίζεται οὐκ ἐς μακρὰν τῷ Ἰουστίνῳ, κάκιστος δὲ ὢν καὶ πανουργότατος, καὶ οἷος οὐδὲν ὁτιοῦν τῶν ἀδίκων τε καὶ ἀνοσίων ἐγχειρημάτων κέρδους ἕκατι ἀπαναίνεσθαι, ῥητόν τι μέτρον χρυσοῦ αἰτεῖ τὸν στρατηγὸν, ὁμολογῶν, εἰ κομίσοιτο, αὐτῷ τε τῷ παρασχόντι ἐς ὅσον ἂν ἕλοιτο χρόνον τὰ ἐπιτήδεια προσφόρως ἐκποριεῖσθαι, καὶ πρός γε ὁπόσον παρῆν θητικόν τε καὶ δοῦλον, καὶ ὅσοι ἄλλοι P. 131 ὀπαδοί τε καὶ ὑπηρέται καὶ δορυφόροι, ἀλλὰ καὶ τούσδε ἅπαντας τῆς προσηκούσης τροφῆς ἐμπιπλάναι. ταῦτα δὲ πράττων ἐπηγγέλλετο οὐ μόνον ἀποσώσειν τὸ χρυσίον ἅπαν καὶ ἀντικαθεῖναι ὁπόσον ἂν λάβοι, ἐντελὲς καὶ ἀλώβητον, ὥσπερ ἐκδεδανεισμένον, ἀλλὰ γὰρ καὶ ἕτερον προσεπιδοῦναι. καὶ ἐδόκει μὲν τοῖς πολλοῖς κόμπος εἶναι καὶ οἷον αἴνιγμα τὸ εἰρημένον· ὁ δὲ Ἰουστῖνος, καίτοι δέον αὐτὸν νεμεσῆσαι τῇ τοῦ

2. ἦν δέ τις. Haec omnia usque ad ἐπιχειρητέα p. 255. ed. Bonn. v. 23. om. Intpr. 3. ἀνηρὸν R. 5. ἑτέρῳ τε R. 11. μέρος R. 13. ἕληον R. 17. ἀποσώσειν R. et Lugd. 1. m., ἀποδώσειν vulg. ex corr. Lugd. 18. ἀντικαταθεῖναι coni. Cl. λάβῃ R.

turum. Erat autem quidam in turba ipsum sequente, Ioannes nomine, Afer, vir obscurus quidem initio et pauperrimus, adeo ut victus quaerendi causa alteri cuipiam mercenariam suam operam locaret, et satellites sectaretur, et ministrorum labores subiret, non multo autem post ad summas opes et fastum elatus. Quamplurimas enim technas commentaque cum excogitasset, innotescit brevi post tempore Iustino, nequissimus alioqui existens et versutissimus, quique nullum plane iniquum improbumque factum quaestus causa recusaret. Is certam quandam auri summam a praefecto petit, spondens, si eam auferret, et ipsi, qui eam daret, in quantum vellet tempus commeatum commode suppeditaturum, et praeterea quidquid ipsi aderat famulorum et servorum, quotquot etiam erant domestici et ministri ac satellites, omnes hos necessario victu repleturum. Atque haec quidem faciens promittebat, se non solum aurum universum redditurum, et repositurum, quantum accepisset, integrum neque imminutum, ut mutuo datum, sed et aliud usurae nomine superadditurum. Et videbatur quidem multis inanis quaedam iactantia et aenigmati affine dictum: Iustinus vero, cum oportuisset eum offendi Afri illius ineptiis, scientem, quod promissa praestare

Λίβυος ἀβελτηρίᾳ, ἐπιστάμενον ὡς οὐκ ἂν τὴν ὑπόσχεσιν δια- A. C. 556
νύσειεν μὴ ἄδικα δρῶν καὶ βίαια ἔργα, καὶ παρανόμοις τισὶν L. I. 30
ἐμπορίαις λυμαινόμενος ἅπαντας, οἷς ἂν ὁμιλήσειεν· ὁ δὲ προσ-
ήκατό τε τοὺς λόγους, καὶ τὸ χρυσίον παραδοὺς ἐπὶ ταῖς B
ξυνθήκαις ἐφίησιν αὐτῷ πράττειν ὅ, τι καὶ βούλοιτο.

κβ'. Τότε δὴ οὖν ὁ Ἰωάννης ταῖς Ῥωμαϊκαῖς κώμαις ἐπιφοιτῶν, ὁπόσαι ἀνὰ τὴν πορείαν ἐτύγχανον ἱδρυμέναι, καὶ τοὺς οἰκήτορας ἀγείρων, οὗ μὲν βόες ἄφθονοι οὐκ ἦσαν, ὁ δὲ τούτων δεῖσθαι τὸ στρατόπεδον ἐδημηγόρει. καὶ τοίνυν εἴκοσι τάλαντα προφέρων, „τοσούτων ὑμᾶς" ἔφασκεν „ἀνάγκη χρημάτων ἀποδόσθαι καὶ μεῖον οὐκ ἔνεστιν. ἀλλὰ τὸ τίμημα δέχεσθε πρότερον, καὶ ὅπως μοι τὴν ταχίστην ἅπαντας τοὺς βόας ἀποκομιεῖτε." τῶν δὲ ἱκετευόντων ἀνεῖναι καὶ ἐπομνυμένων, ἦ μὴν μηδὲ ὅσον ἀροῦν τὰ λήϊα ἀποχρώντως κεκτῆσθαι, ἀνένευε μάλα σεμνῶς ὁ κατάρατος, καὶ δεινὰ ἐποιεῖτο εἰ μη- C
δὲ πρίασθαι τῷ στρατηγῷ ἐξείη τὰ ἐπιτήδεια. καὶ ἐς τοσοῦτον ἐνέκειτο χαλεπαίνων, ἕως ἐκεῖνοι τὰ τιμιώτατα τῶν κτημάτων ἀπεμπολήσαντες, καὶ χρυσίον, ὅσον οἷόν τε ἦν αὐτοῖς, συνερανισάμενοι, παρέσχον τῷ κακοδαίμονι λύτρα τοῦ ἐπιτάγματος. πάλιν δὲ ἐνθένδε ἰὼν καὶ ἑτέρωθι παραγενόμενος, ἔνθα καμήλων τυχὸν ἢ ὀρέων οὐδὲ ὄνομα ἠκούετο, ὁ δὲ τούτων ἕνεκα ἥκειν ἐβόα, καὶ τοῖς ὁμοίοις χρώμενος πάλιν ἐπε-

10. Pro *ὑμᾶς* R. *ἡμῶν*. 11. *δέχεσθαι* R. 15. *μάλα* R., *μάλιστα* vulg. *μηδὲ* R., *μὴ* vulg. 16. *ἐς* R. pro *ἐς*. 18. *αὐτοῖς* om. R. 19. *συνερανισάμενοι* R., *ἐρανισάμενοι* vulg. 20. *ἑτέρωθεν* R. *παραγενόμενος* R., *παραγινόμενος* vulg.

non posset, nisi iniusta et violenta opera exercens, et illegitimis quibusdam negotiationibus omnes, quibuscum ei res esset, perderet, rationes illius admisit, auroque ei numerato permittit, ut de quibus inter ipsos convenerat faceret, quod vellet.

22. Tunc itaque Ioannes pagos Romanorum, quotquot in itinere siti erant, accedens, convocatis incolis, ubi quidem boum copia non erat, ipse exercitum iis egere pro concione dicebat. Viginti igitur talenta proferens: „Pro hac (inquiebat) summa oportet vos boves tradere, minus non licet; sed pretium prius accipite, ut mihi quam citissime omnes boves sistatis." Illis vero precantibus, ut remitteret, et iurantibus, boves, quos haberent, arandis ipsorum agris non sufficere, severe admodum renuebat scelestus, et graves minas addebat, si non liceret praefecto exercitus necessarium commeatum coëmere; adeoque indignabundus rem exaggerabat, donec illi pretiosissimis suis rebus divenditis, aurique summa quantum fieri poterat maxima conflata, mandatum a nefario illo redimebant. Inde vero rursum profectus, cum alio venisset, ubi camelorum aut mulorum nomen ne auditum quidem erat, ipse eorum causa se venire clama-

A. C. 556 κγ'. Ὧδε γὰρ τῶν ἐν Λαζικῇ πραγμάτων ἐχόντων, καὶ
I. I. 30 Ἰουστίνου ἐπὶ πᾶσι στρατηγοῦ καταστάντος, οὔτε οἱ Πέρσαι
ὡς ἀναμαχούμενοι παρεσκευάζοντο, καὶ μέντοι οὐδὲ οἱ Ῥωμαῖοι ἐπῄεσαν· ἀλλὰ προφυλακὰς μὲν ἀμφότεροι ἐποιοῦντο,
D καὶ τὰ ἀλλήλων βουλεύματα ἐς ὅσον ἐνῆν ἀπεσκόπουν καὶ διεπυνθάνοντο· μάχης δὲ οὐδὲ ὁπότεροι ἦρχοντο, ἀλλ' ἔμενον ἡσυχῇ· αὐτομάτως, ὥσπερ ἀμέλει τοῦτο ξυνδοκοῦν, διωρισμένον. Χοσρόης δὲ ὁ Περσῶν βασιλεύς, ἐπειδὴ ἐπέπυστο τὰ πρὸς τῷ Φάσιδι ξυμβεβηκότα, καὶ ὅτι φυγὰς ἐκ τῆς μάχης ὁ Ναχοραγὰν ἐγεγόνει, αὐτίκα ἐξ Ἰβηρίας αὐτὸν μετακαλεσάμενος, ὠμότατα μετῆλθε κατὰ τὸν πάτριον νόμον. οὐ γὰρ ἀποχρῶσαν ᾤετο εἶναι ποινὴν τῆς ἀνανδρίας τὸ οὕτω γοῦν αὐτὸν ἁπλῶς ἀποκτεῖναι, ἀλλ' ἐκ τοῦ αὐχένος τὸ δέρμα διαχαράξας ἀπέ-
P. 133 δειρεν ἅπαν μέχρι τοῖν ποδοῖν, καὶ ἀφείλετο τῶν σαρκῶν πρὸς τὰ ἔνδον ἀνεστραμμένον, ὡς καὶ τοὺς τύπους τῶν μορίων ἐς τοὔμπαλιν ἀποφαίνεσθαι, καὶ δίκην ἀσκοῦ ἠρέμα ἐμπνευσθὲν ὑπὲρ σκόλοπός τινος ἀνηρτῆσθαι, οἰκτρόν τι θέαμα καὶ μιαρώτατον, καὶ πρώτῳ, οἶμαι, Σαπώρῃ ἐκείνῳ τῷ πολλῷ ἔμπροσθεν Χοσρόου Περσῶν βεβασιλευκότι τετολμημένον. τὰ μὲν γὰρ ἐπὶ Μαρσύᾳ θρυλλούμενα τῷ Φρυγί, ὡς ἐρὶς αὐτῷ πρὸς Ἀπόλλωνα ξυνέστη ὑπὲρ τῶν αὐλῶν καὶ τῆς αὐλητικῆς ἐπι-

1. τῶν om. R. 3. παρασκευάζοντο R. 15. ἀναστραμμένον R. 16. ἀποφαίνεσθαι R., ὑποφαίνεσθαι vulg. 17. ὑπὲρ R. et Intpr. *super*, ὑπὸ vulg. 18. Σαβώρῃ R., Σαβόρῃ vulg., *Savorum* Intpr. At infra R. recte Σαπώρην scribit. 20. Μαρσύαν R.

23. Cum enim res in Lazica regione ita se haberent, et Iustinus iam omnibus in praefectum esset constitutus, neque Persae tanquam bellum instauraturi sese appararent, neque Romani in eos moverent, sed utrimque diligenter excubarent, mutuaque consilia, quantum fieri poterat, observarent atque explorarent; nulli horum bellandi initium faciebant, sed quieti manebant, perinde ac si communi sententia ita decretum esset. Chosroes vero, Persarum rex, simulatque cognovit, quae apud Phasidem accidissent, quodque Nachoragan fugiens proelio excessisset, confestim eum ex Iberia revocatum crudelissimo supplicio iuxta patriam legem affecit. Neque enim satis esse putabat, si illius ignaviam simplici mortis genere puniret, sed a summa cervice cutem ei ad imos pedes detrahens, a carnibus avulsit, introrsum inversam, ita ut etiam formae membrorum inversae conspicerentur, atque ita instar utris sensim inflatam, e scopulo quodam suspendi iussit; miserabile quoddam et foedum spectaculum, cuius primus, uti arbitror, Sapores ille, qui multo ante Chosroen tempore apud Persas regnavit, infamis auctor fuit. Quae enim de Marsya Phryge sunt litteris prodita, quod contentio ei intercesserit cum

στήμης, ὅτι τε ἡσσήθη ἀνὰ κράτος ὁ Μαρσύας, καὶ μάλα A. C. 556
δικαίως, ἅτε δῆθεν, εἰ μὴ λίαν εὔηθες εἰπεῖν, οἰκείῳ θεῷ I. I. 30
ἀνταυλήσας, καὶ ὡς τήνδε ἀνέπλησε τὴν τιμωρίαν τῆς προπετείας ὑπὸ τοῦ νενικηκότος, ἀποδαρὲν αὐτῷ ἅπαν τὸ δέρμα καὶ B
ἐπὶ δένδρου ᾐωρημένον· ταῦτα δὴ οὖν ἅπαντα ποιητῶν ἂν εἴη τερατεία καὶ μῦθοι καὶ παίγνια, οὔτε τῶν ἀληθῶν, οὔτε τῶν εἰκότων ἐστοχασμένα. εἴγε αὐλητήν φασι τὸν Ἀπόλλω γεγονέναι, καὶ ἁμιλλώμενον ἐπὶ τῇ τέχνῃ, καὶ ἐς τοσοῦτο μετὰ τὴν νίκην χαλεπήναντα, ὡς ἀνοσίαν οὕτω καὶ μανιώδη ποινὴν ἐπαγαγεῖν τῷ ἡττημένῳ· πῶς δὲ ἂν καὶ ἤρεσκεν αὐτὸν ἐκ τοῦ μετεώρου φαινόμενον τῆς ἀπανθρωπίας τὸ κατηγόρημα; ταῦτα γὰρ οἵ τε πρότερον ποιηταὶ ᾄδουσι, καὶ οἱ νέοι παραλαβόντες συνᾴδουσιν. ὧν δὴ καὶ Νόννος, ὁ ἐκ τῆς Πανὸς τῆς Αἰγυπτίας γεγενημένος, ἔν τινι τῶν οἰκείων ποιημάτων, ἅπερ αὐτῷ Διονυσιακὰ ἐπωνόμασται, οὐκ οἶδα ἐφ' ὅτῳ ὀλίγα ἄττα C
τοῦ Ἀπόλλωνος πέρι ἀφηγησάμενος, (οὐ γὰρ δὴ τῶν προηγουμένων ἐπῶν ἐπιμέμνημαι,) εἶτα ἐπάγει·

Ἐξότε Μαρσύαο θεημάχον αὐλὸν ἐλέγξας,
Δέρμα παρῃώρησε φυτῷ κολπούμενον αὔραις.

ὡς μὲν οὖν ἐξ ἐκείνου τὸ μίασμα τοῦτο οὔπω τῷ ἀνθρωπείῳ

2. θεῶν R. 6. τερατεία R., τεράστια vulg. et Intpr. *miracula*. 7. εἶτε R. 13. ὧν R. et Intpr. *quos inter*, ᾧ vulg. 18. Dionys. I. 42. 43. Omissum esse ab Agathia versum qui hos excipit: *Γυμνώσας ὅλα γυῖα λιποῤῥίνοιο νομῆος*, non credo. 19. Δέρμ' Lugd. παρῃώρησε Nonn., ἐπῃώρησε R., ἀπῃώρησε vulg. 20. Pro τοῦτο R. τοῖς γε, et in mg. τότε γε.

Apolline de tibiis et tibicinandi arte, quodque longe victus fuerit Marsyas et valde iuste, quippe qui, nisi valde stultum dictu sit, deo suo tibiis obstrepuisset; quodque hanc poenam suae temeritatis victori persolverit, quod pellis universa ipsi detracta et ex arbore suspensa fuerit; haec, inquam, omnia poëtica sunt portenta et fabulae ac ludicra, quae neque verum, neque verisimile quicquam in se habent. Si enim tibicinem dicunt Apollinem factum, et de arte certantem tantam in Marsyam a se victum indignationem concepisse, ut adeo nefariam ac vesanam de eo poenam sumserit: quo pacto vero ipsi oblectamento fuisse potuerit, videre hunc e sublimi pendentem, crudelitatis suae argumentum? Haec enim et prisci poëtae canunt, et recentiores ab iis accepta concinunt. Quocirca et Nonnus ille ex Pano, Aegyptia urbe, natus, in quodam suorum poëmatum, quod Dionysiaca appellavit, cum nonnulla nescio qua de re de Apolline narrasset, (neque enim praecedentium versuum satis memini,) ita subiicit:

Marsyae ut victi, divo certare volentis,
Distentam vento suspendit ab arbore pellem.

Quod itaque ex illo tempore turpe hoc scelus nunquam humano ge-

A. C. 556 γένει διέγνωστο, σαφῆ τὰ τεκμήρια καὶ ἀποχρῶντα παρὰ τοῖς
I. l. 30 ὀρθῶς ἀναθεωρεῖν καὶ τεκμαίρεσθαι τὰ παλαίτατα πεφυκόσιν, ἀλλὰ μὴ ποιητικῇ θεολογίᾳ παρακρουομένοις. ὁ δὲ Σαπώρης ἄδικός τε ὢν ἐς τὰ μάλιστα καὶ μιαιφόνος, ὀξὺς μὲν εἰς ὀργὴν καὶ ὠμότητα, βραδὺς δὲ πρὸς φειδὼ καὶ συγγνώμην, εἰ
D μὲν καὶ ἐφ' ἑτέροις αὐτῷ πρότερον τόδε τὸ ἄγος ἐξείργασται,
V. 94 οὐκ ἔχω σαφῶς ἀπισχυρίσασθαι· ὅτι δὲ Βαλεριανὸν τὸν Ῥωμαίων ἐν τῷ τότε βασιλέα προσπολεμήσαντά οἱ καὶ εἶτα νενικημένον, ὁ δὲ, ζωγρείᾳ ἑλὼν, τόνδε τὸν τρόπον ἐτιμωρήσατο, πολλὴ μαρτυροῦσα ἡ ἱστορία. καὶ τάχα οἱ πρώτιστοι τῶν μετὰ τὴν Παρθυαίων κατάλυσιν τῆς βασιλείας τῆς Περσικῆς ἐπιλαβομένων, Ἀρταξάρης, φημὶ, καὶ Σαπώρης, μιαρώ γε ἤστην ἄμφω καὶ ἀδικωτάτω, εἴγε ὁ μὲν τὸν οἰκεῖον δεσπότην ἀπεκτονὼς, τυραννικήν τε καὶ βιαίαν τὴν ἀρχὴν κατεστήσατο· ἅτερος δὲ τιμωρίας ἦρξεν οὕτω δεινῆς καὶ μύσους ἀνοσιωτάτου.

P. 134 κδ'. Ἐπεὶ δέ μοι ὁ λόγος, διὰ τῶν ἀεὶ παρεμπιπτόντων φερόμενος, πάλιν ἐς Ἀρταξάρην ἀφίκετο, καιρὸς ἂν εἴη ἐκπληροῦν νῦν τὸ πρότερον ἐπηγγελμένον, καὶ τῶν ἐφεξῆς βασιλέων ἐπιμνησθῆναι. οὗτος μὲν οὖν ἐξ ὧν τε ἔφυ καὶ ὅπως καὶ ὅν-

3. *θεολογίᾳ* R. quod praetuli, *μυθολογίᾳ* vulg. et Intpr. *figmenta*. *Σαπώρης* R. ubique, *Σαβόρης* vulg. et Intpr. *Sabores*. 4. *καὶ* ante *ὀξὺς* vulg. 5. Pro *εἰ μὲν καὶ* R. *καὶ εἰ μὲν*. 7. *Ῥωμαίον* (sic) R. corr. pro *Ῥωμαίων*. 11. *τῆς Περσ. βασιλείας* vulg. 12. *Ἀρταξάρσης* R. 14. *βιαίαν* R., *βίαιον* vulg. *κατεκτήσατο* R. et Intpr. *sibi vindicavit*. 19. *καὶ* ante *ὅντινα* add. ex coni. Class., quam confirmat Intpr. *quibus sit parentibus ortus, qua de causa quove modo cidarim sumserit*, *ὁποῖόν τινα τρόπον* coni. Ios. Scaliger.

neri cognitum fuerit, manifesta indicia sunt et sufficientia iis, qui vetustissimas res recte considerare atque observare consueverunt, non autem poëticis fabulis figmentisque capiuntur. Sapores vero cum et vehementer iniustus esset et sanguinarius, ac praeceps quidem ad iram et crudelitatem, tardus autem ad misericordiam et veniam, an in alios ab ipso hoc adeo atrox factum sit perpetratum, plane affirmare non possum; quod vero Valerianum, Romanorum tum temporis regem, bellum adversus se gerentem, ac deinde victum vivumque captum, hac ipsa poena affecerit, multae testantur historiae. Et sane primi eorum, qui post deletos Parthos Persicum regnum obtinuerunt, Artaxares, inquam, et Sapores, scelerati ambo iniustissimique fuerunt; siquidem alter eorum, cum dominum suum interfecisset, per vim ac tyrannidem regnum invasit, alter vero adeo atrocis supplicii nefariique sceleris auctor fuit.

24. Ceterum cum ex incidentibus aliis semper atque aliis rebus oratio rursus ad Artaxarem sit devoluta, opportunum fuerit, quod supra promisi, praestare atque absolvere, et reliquorum deinceps regum seriem pertexere. Atque hic quidem e quibus or-

τινα τρόπον τὴν κίδαριν ἀνεδήσατο, ἤδη μοι ἐς τὸ ἀκριβὲς A. C. 556
προαφήγηται. ἐκεῖνο δὲ μόνον προσθείην ἂν ἐπ' αὐτῷ, ὡς ἔτε- I. I. 30
σιν ὕστερον ὀκτώ τε καὶ τριάκοντα καὶ πεντακοσίοις Ἀλεξάν-
δρου τοῦ πάνυ τοῦ Μακεδόνος, τετάρτῳ δὲ ἔτει τῆς θατέρου
Ἀλεξάνδρου τοῦ Μαμαίας ἀρχῆς, τῆς τῶν Περσῶν βασιλείας
ἐπιλαβομένῳ τῷ Ἀρταξάρῃ, καθ' ὃν πρότερον ἀπήγγελται τρό-
πον, διήνυσται χρόνος ἐν αὐτῇ ἐνιαυτῶν πεντεκαίδεκα, δυοῖν B
μηνοῖν ἐνδεόντοιν. διαδέχεται δὲ τὸ κράτος Σαπώρης ἐκεῖνος ὁ
ἐναγέστατος, καὶ διεβίω πρὸς τῷ ἑνὶ τριάκοντα τοὺς πάντας
ἐνιαυτούς, πλεῖστα ὅσα τοὺς Ῥωμαίους λυμαινόμενος. ἅτε γὰρ
τὸν βασιλέα σφῶν ἀνελὼν, καὶ οὐδὲν ὁτιοῦν κώλυμα ἔσεσθαι
διανοούμενος, ὁ δὲ ἀνὰ τὰ πρόσω ἐχώρει, καὶ δὴ τήν τε
μέσην τῶν ποταμῶν ἐδῄωσε χώραν, καὶ εἶτα τὴν ἐφεξῆς ἐχο-
μένην, Κίλικάς τε ἐληΐσατο καὶ Σύρους, καὶ μέχρι τῶν Καπ-
παδοκῶν ἐλάσας, ἐξαίσιον πλῆθος φόνων κατείργασται, ὡς καὶ
τὰ σηραγγώδη καὶ κοῖλα χωρία τῶν ἐν τοῖς ὄρεσι φραγμῶν
τοῖς σώμασιν ἀναπληροῦν τῶν πεπτωκότων ἀνθρώπων, καὶ
πρὸς ἰσότητα φέρειν τῶν λόφων τὰ διεστῶτα καὶ ἐξανέχοντα, C
καὶ οὕτω καθιππεύειν ἐν αὐτοῖς, καὶ διαβαίνειν ὥσπερ ἐφ'
ὁμαλοῦ τὰς ἀκρωρείας. τοῦτον μὲν οὖν οἴκαδε αὖθις ἀφιγμέ-
νον, καὶ οὐ μετρίως χρησάμενον οἷς ἀσεβήσας ἐτύγχανεν,

3. τε add. ex R. 4. Aera Alexandri, qua Christiani in Assyria sub illo nomine adhuc utuntur, incipit a. u. c. 443., 13. post regis Macedonis obitum annis: eius annus 538. est quartus imperii Alexandri Severi. Agathias, nomine deceptus, eam ab Alexandro Macedone, sive mortuo sive regnum Asiae adepto, supputari sibi persuasit. 5. τοῦ Μ. R., τῆς Μ. vulg. 6. πρότερον add. ex R. ἀπήγγ. τρ. R., τρόπον ἀπ. vulg. 8. Σαπόρης edd., Σαβόρης Lugd. 10. λυμαινόμενος R., λυμηνάμενος vulg. 15. κατείργαστο Lugd. mg.

tus fuerit, qui quove modo cidarim sibi vindicarit, superius plene exposuimus. Illud vero solum addiderim, quod annis quingentis triginta octo post magnum illum Alexandrum Macedonem, quarto vero alterius illius Alexandri Mamaeae F. regni anno, cum Artaxares, quo dictum est modo, Persarum regnum occupasset, quindecim in eo annos peregit, duobus mensibus demtis. Huic in imperio successit execrabilis ille Sapores, et supervixit annos in universum unum et triginta, et ingentibus malis Romanos affecit. Interfecto enim ipsorum rege, nihil iam impedimento sibi fore ratus, ulterius est progressus, et Mesopotamiorum regionem vastavit, ac deinde eam, quae huic erat proxima, pervadens, Cilices et Syros est depopulatus, et in Cappadoces usque provectus, immanem stragem edidit, adeo ut hiulca concavaque in septis montium loca cadaveribus caesorum oppleret, et distantias eminentiasque collium inter se coaequaret, atque ita super cadavera equitatum duceret,

A. C. 556 I. I. 30 ἀλλὰ πρὸς ἀλαζονείαν ἀρθέντα πολλὴν, ἀπέπαυσεν οὐκ ἐς μακρὰν τοῦ φρυάγματος Ὀδέναθος ὁ Παλμυρηνὸς, ἀνὴρ ἀφανὴς μὲν τὰ πρῶτα καὶ ἄγνωστος, ταῖς δὲ Σαπώρου συμφοραῖς καὶ οἷς ἔδρασεν ἐπ' αὐτῷ, μεγίστην ἀράμενος δόξαν, καὶ πολλοῖς τῶν πάλαι ξυγγραφέων ἀξιαφήγητος γεγενημένος. τεθνηκότος δὲ τοῦ Σαπώρου, Ὁρμισδάτης ὁ τούτου παῖς τὴν βασιλείαν παραλαμβάνει, καὶ διεβίω ἐν αὐτῇ χρόνον ἐς ὅ, τι ἐλά- D χιστον· ἐνιαυτὸν γὰρ ἕνα καὶ δέκα ἡμέρας τῆς τύχης ἀπώνατο, μηδὲν ὁτιοῦν δράσας ὁποῖον καὶ ἐς λόγου φέρεσθαι μνήμην, καθάπου καὶ ὁ μετ' ἐκεῖνον Οὐαραράνης, τρισὶν ἔτεσι βασιλεύσας. ὁ δὲ υἱὸς ὁ τούτου ὁμώνυμος μὲν ἦν τῷ γεγεννηκότι, ἑπτακαίδεκα δὲ κατὰ τὴν βασιλείαν μεμένηκεν ἔτη. ὁ δὲ τρίτος Οὐαραράνης ἐς μῆνας μὲν τέσσαρας μόνους ἀπεγεύσατο τῆς βασιλείας, Σεγὰν δὲ σαὰ ἐπεκλήθη, οὐκ ἀπεικὸς, οἶμαι, οὐδὲ αὐτομάτως, ἔθους τινὸς παλαιοῦ μετασχὼν καὶ πατρίου. οἱ γὰρ τῶν Περσῶν βασιλεῖς, ἡνίκα μέγιστον ἔθνος τῶν πλησιοχώρων καθέλοιεν προσπολεμήσαντες, καὶ τῆς ἐκείνων ἐπιλάβοιντο χώρας, οὐκέτι μὲν ἀναιροῦσι τοὺς ἡττημένους, ἐς δὲ φόρου ἀπαγωγὴν ἅπαντας ὑποτιθέντες, ἐφιᾶσιν ἐνοικεῖν τε P. 135 καὶ ἀροῦν τὴν δορυάλωτον· πλὴν ἀλλὰ τοὺς προτέρους τοῦ

1. ἀλλὰ add. ex R. et Intpr. *sed.* 2. ὁ δὲ Νάθος R. 3. ἄγνωτος edd. Σαπόρου vulg. 5. τῶν R. (Cl.), τοῖς vulg. 6. Ὁρμισδάτης R., Ὀμισδάτης vulg., Μισδάτης Lugd. mg., Intpr. *Ormisdas.* 10. Οβραράνης Par. et Intpr. hic et infra. 11. γεννηκότι R., γεγενηκότι sph. Par. 14. Σεγὰν δὲ σαὰ correxi ex vestigiis depravatae scripturae in R. Σεγανδεσβὰ, pro vulg. Σεγανσαὰ δὲ, *Seganesna* Intpr. ἀπεικὸς R., ἀπεικότως vulg. 15. ἔθους R. et Intpr. *moris*, ἔθνους vulg.

montiumque iuga, tanquam planitiem aliquam, transiret. Huius itaque domum reversi, neque moderate utentis impie partis multaque superbia elati, non multo post arrogantiam contudit Odenathus ille Palmyrenus, vir obscurus quidem initio et ignotus, e cladibus tamen Sapori illatis, rebusque in eum gestis summam consecutus gloriam, et a multis veteribus historicis memorabilis est habitus. Mortuo vero Sapore, Hormisdates, huius filius, regnum accepit, cui exiguo admodum tempore supervixit. Annum enim unum et dies decem fortuna usus est, nulla re memoratu digna ab se gesta; quemadmodum et eum secutus Vararanes, qui tribus annis regnavit. Filius autem huius, patri cognominis, septendecim annis regnum obtinuit. Tertius vero Vararanes menses duntaxat quatuor imperium degustavit; Segansaa autem cognominatus est, non abs re, puto, neque temere, sed a veteri quadam patriaque consuetudine id consecutus. Persarum enim reges maxima aliqua e finitimis gente debellata, eorumque ditione potiti, victos quidem nequaquam interficiunt, sed tributo, quod pendant, ipsis imperato, et inhabitare et ara-

γένους ἡγεμόνας οἰκτρότατα καταλύοντες, οἱ δὲ τοῖς σφετέ- A. C. 556 ροις παισὶ τὴν τῆς ἀρχῆς προσηγορίαν ἀπονέμουσι, μνήμης, I. I. 30 ὡς ἔοικεν, ἕκατι καὶ κόμπου τῆς ἐπὶ τῷ τροπαίῳ μεγαλαυχίας. ἐπειδὴ οὖν καὶ τὸ τῶν Σεγεστανῶν ἔθνος Οὐαραράνῃ τῷ τοῦδε πατρὶ ἐδεδούλωτο, εἰκότως ἄρα ὁ παῖς Σεγανσαὰ ἐπωνόμαστο· δύναται γὰρ τοῦτο τῇ Ἑλλήνων φωνῇ Σεγεστανῶν βασιλεύς.

κέ. Τούτου δὲ θᾶττον διαφθαρέντος, Ναρσῆς εὐθὺς τὴν βασιλείαν ἐνιαυτοῖς μὲν ἑπτά, μησὶ δὲ πέντε μετῆλθε. διαδέχεται δὲ τὴν ἀρχὴν Ὁρμισδάτης ὁ παῖς, καὶ κληρονομεῖ τοῦ πατρὸς οὐ μόνον τοῦ κράτους, ἀλλὰ καὶ τῆς τοῦ χρόνου V. 95 ἰσοῤῥοπίας. καὶ γὰρ θαυμάσειεν ἄν τις, ὅτι δὴ ἑκατέρῳ ἔτεσί B τε καὶ μησὶ τοῖς αὐτοῖς τὰ τῆς ἀρχῆς ἐπιμελέστατα ἐμετρήθη. ἀλλὰ Σαβὼρ μετὰ τούτους ἐπὶ πλεῖστον ὅσον καὶ μήκιστον χρόνον ἀπώνατο τῆς βασιλείας, τοσούτοις ἔτεσι κρατήσας, ὁπόσοις καὶ διεβίω. ἔτι γὰρ αὐτὸν κυούσης τῆς μητρὸς, ἡ μὲν τοῦ βασιλείου γένους διαδοχὴ ἐκάλει πρὸς τὴν ἀρχὴν τὸ τεχθησόμενον. ἦν δὲ τὰ τῶν ὠδίνων ἀμφίβολα ἐς ὁποίαν γονὴν ἂν ἀποβαῖεν. τοιγάρτοι ἅπαντες οἱ ἐν τέλει ἆθλα προὐτίθεσαν καὶ γέρα τοῖς μάγοις ἐπὶ τῇ προαγορεύσει τῶν ἐσομένων· καὶ τοίνυν ἦγον ἐς μέσον κύουσαν ἵππον, καὶ ὡς πλησιαίτατα

4. Σεγεσταvῶν R., Σεγεταvῶν vulg., *Seganorum* Intpr. 5. Σεγᾶνσακαὶ (sic) R. 6. τοῦτο om. R. 10. *Misdates* Intpr. 14. Σαβὼρ: ita uterque Cod. et Intpr. Sic infra *Artaxerxes* semel *Artaxir* (*Ardeschir*) vocatur. Apparet Agathiam variandis nominum formis delectari: positis modo his, quae apud Persas in usu essent, modo illis, quas Graecorum consuetudo deflexisset.

re agros bello captos permittunt, primoribus tantum gentis ducibus miserrime trucidatis, filiis vero suis principatus appellationem tribuunt, memoriae, ut verisimile est, causa, et magnificae pro partis tropaeis gloriationis. Cum itaque etiam Segestanorum gens a Vararane huius patre subacta esset, merito utique ipsius filius Segansaa vocatus fuit, quod Graecorum lingua significat Segestanorum rex.

25. Hoc vero ocius extincto, Narses statim regnum annis septem, mensibus quinque tenuit; cui successit Hormisdates filius, haeres paterni non tantum regni, verum etiam aequalis in spatio temporis. Mirari enim merito quispiam possit, quod utrique et annorum et mensium, quibus regnarunt, numerus exactissime sit appensus. Post hos Sabor plurimo longissimoque tempore regno potitus est, quippe qui tot annis regnavit, quot et vixit. Matre enim adhuc ipsum utero gestante, regii generis successio vocabat ad regnum quod ipsa esset paritura. Dubitabatur vero, masculum an femellam partu esset editura. Primores itaque regni praemia ac dona proposuerunt magis, ut de futuris praedicerent. Equam itaque gravidam in medium adducunt iam partui proximam, iussa-

A. C. 556 προελθοῦσαν τοῦ τόκου, ἐκέλευόν τε αὐτοὺς ἐπ' αὐτῇ πρώτῃ I. I. 30 μαντεύεσθαι, ἅπερ ᾤοντο ξυνενεχθῆναι. οὕτω γὰρ ὀλίγαις ὕστε-C ρον ἡμέραις γνώσεσθαι ἡγοῦντο τὴν πρόῤῥησιν ἐς ὅ, τι χωρήσει, ταύτῃ τε εἰκάζειν παραπλησίως ἐκβήσεσθαι καὶ ὁπόσα σφίσιν ἐπὶ τῇ ἀνθρώπῳ προαγορευθείη. ἃ μὲν οὖν αὐτοῖς ἐπὶ τῇ ἵππῳ μεμάντευται, οὐκ ἔχω σαφῶς ἀποφήνασθαι· οὐ γάρ μοι τὸ ἀκριβὲς τούτου γε πέρι ἀπήγγελται· πλὴν ἀλλ' οὕτω ἕκαστα προὔβη, ὅπως ἐκείνοις ἐτύγχανεν εἰρημένα. γνόντες δὲ ἐνθένδε οἱ ἄλλοι, ὡς ἄγαν τοῖς μάγοις διηκρίβωτο τὰ τῆς τέχνης, προὔτρεπον καὶ ἐπὶ τῷ γυναίῳ, ἅττα ἔσεσθαι γνοῖεν, διεξιέναι. τῶν δὲ φησάντων ἄῤῥενα παῖδα τεχθήσεσθαι, οὐκ ἔτι D ἐμέλλησαν, ἀλλὰ τῇ γαστρὶ περιθέντες τὴν κίδαριν, ἀνεῖπον βασιλέα τὸ ἔμβρυον· ὀνόματί τε ἀπέκριναν τὸ ἄρτι ἐκτυπωθὲν καὶ διοργανωμένον, ἐς ὅσον, οἶμαι, διάττειν ἔνδον ἠρέμα καὶ ὑποπάλλεσθαι. οὕτω δὲ τὸ ἀφανὲς τῇ φύσει καὶ ἄδηλον ἐς τὸ βέβαιόν τε καὶ ἀνωμολογημένον τῇ δοκήσει μεταλαβόντες, ὅμως οὐ διήμαρτον τῆς ἐλπίδος, ἀλλὰ καὶ λίαν ἔτυχον τοῦ σκοποῦ, πολλῷ πλέον τῶν δοκηθέντων. τίκτεται γὰρ οὐκ ἐς μακρὰν ὁ Σαβώρης σὺν τῇ βασιλείᾳ, ἐννεάζει τε αὐτῇ καὶ ἐγγηράσκει, εἰς ἑβδομήκοντα αὐτῷ ἔτη διανυσθέντος τοῦ βίου. κατὰ δὲ τὸν τέταρτόν τε καὶ εἰκοστὸν τῆς τοῦδε ἀρχῆς ἐνιαυτὸν Νίσιβις ἡ πόλις ὑπὸ Πέρσας γεγένηται, Ῥωμαίων μὲν πάλαι

9. διηκρίβωτο R., διηκρίβωται vulg. 10. προὔπεμπον R. et Intpr. *praemiserunt.* 19. Σαβώρης R. h. l. et infra, Σαβόρης vulg. et Intpr. *Sabores.* 20. ἔτη om. R.

runtque, ut magi de hac prius vaticinarentur, quod futurum censebant. Ita enim paucis post diebus cognituros se credebant, quo illorum divinatio evaderet, atque hinc collecturos, similem eventum habitura etiam quae de homine praedicerentur. Quid autem de equa divinarint, nihil liquido possim affirmare, neque enim mihi certi quicquam ea de re est renuntiatum; ceterum ita singula evenerunt, ut illi praedixerant. Cum itaque ex ea re ceteri scirent, magos vaticinandi artem optime callere, provocarunt rogaruntque eos, ut etiam de muliere, quae futura nossent, explicarent. Qui cum responderent, masculam prolem parituram, nihil ultra morati sunt, sed cidari utero imposita, embryum regem pronuntiarunt, nomineque insignierunt foetum recenter efformatum atque ita animatum, arbitror, ut intus paululum moveretur et subpalpitaret. Ita vero, quod natura obscurum incertumque erat, pro certo indubitatoque opinione exspectationeque apprehendentes, non frustrati sunt tamen sua spe, sed et amplius, quam opinati erant, sunt consecuti. Nascitur enim non multo post Sabores cum regno, inque eo et adolescit et senescit, perducta ad annos usque septuaginta vita. Quarto autem et vigesimo regni sui anno, Nisibis urbs in Persarum po-

οὖσα κατήκοος, Ἰοβιανοῦ δὲ τοῦ σφῶν βασιλέως παραδόντος A. C. 556
καὶ προεμένου. ἐν αὐτοῖς γὰρ δήπου τοῖς ἐνδοτέρω χωρίοις L I. 30
τῆς Περσικῆς ἐπικρατείας Ἰουλιανοῦ τοῦ προτέρου Ῥωμαίων P. 136
αὐτοκράτορος ἀθρόον διαφθαρέντος, αὐτὸς ἀναγορεύεται ὑπό τε τῶν στρατηγῶν καὶ τῶν στρατευμάτων καὶ τοῦ ἄλλου ὁμίλου. ἅτε δὲ τῆς ἀρχῆς αὐτῷ ἄρτι καθισταμένης, καὶ τῶν πραγμάτων, ὥσπερ εἰκὸς, ταραττομένων, καὶ ταῦτα ἐν μέσῃ τῇ πολεμίᾳ, οὐχ οἷός τε ἦν τὰ παρόντα ἐν τῷ δέοντι σχολαίτερον διαθεῖναι. τοιγάρτοι ἀπαλλαξείων τῆς ἐν ὀθνείᾳ καὶ δυσμενεῖ χώρᾳ διαίτης, καὶ μόνης τυχεῖν τῆς ἐς τὰ οἰκεῖα ἐπανόδου θᾶττον ἱέμενος, ξυνθήκας τίθεται ἀγεννεῖς καὶ ἀσχήμονας, καὶ ὁποίας μέχρι καὶ νῦν τῇ Ῥωμαίων λυμαίνεσθαι πολιτείᾳ, περιστέλλων ἐς τὰ ὀπίσω καινοῖς ὁρίοις, καὶ ὑποτεμνόμενος τῆς οἰκείας ἀρχῆς τὸ περαιτέρω ἐκβαῖνον. τὰ μὲν οὖν κατ' B
ἐκεῖνο τοῦ καιροῦ ξυνενεχθέντα πολλοῖς ἤδη τῶν προτέρων ξυγγραφέων ἱστόρηται· ἐμοὶ δὲ οὐ περὶ ταῦτα ἐνδιατρίβειν σχολὴ, ἀλλὰ τοῦ προτέρου λόγου ἑκτέον.

κϛ'. Μετὰ γὰρ Σαβώρην Ἀρταξὴρ ἀδελφὸς ὢν αὐτῷ, καὶ μετασχὼν τῆς βασιλείας, τεττάρων ἐτῶν χρόνον κατ' αὐτὴν ἀπεβίω. ὁ δὲ υἱὸς ὁ τούτου, Σαβὼρ δὲ καὶ αὐτὸς ἐπεκέκλητο, ἐν ἔτεσι πέντε τὸ οἰκεῖον ἠρίθμησε κράτος· ἐν διπλασίοσι δὲ τούτων καὶ πρός γε ἑνὶ ἑτέρῳ ἐνιαυτῷ Οὐαραράνης

6. δὴ R. 8. τῷ add. ex R. 10. μόνης R., μόλις vulg. 11. ἀγενεῖς et 12. τῇ τῶν Ῥ. Par. 18. *Artaxerxes* Intpr. 20. Iterum omnes *Sabor* exhibent. δὲ post Σαβὼρ om. R. 22. τούτων R., τούτου vulg.

testatem venit, Romanis quidem olim subdita, Ioviano vero ipsorum rege eam tradente ac prodente. Cum enim Iulianus, qui antea Romanorum rex erat, in interioribus Persici imperii locis repente periisset, ipse a praefectis et exercitu reliquaque turba rex declaratur, qui, utpote regno ipsi recenter delato et rebus, uti verisimile est, perturbatis, et quidem in media hostili regione, praesentem rerum statum non satis componere poterat. Quocirca pertaesus vitae in extera hostilique regione, reditusque in sua quam citissime compos fieri cupiens, ignominiosas turpesque cum hoste pactiones init, quasque in hunc etiam diem Romana res publica magno suo malo persentiscit. Novis enim terminis imperium coarctavit, multumque de veteri amplitudine decidit. Iam vero quae per id tempus acciderunt, multi ex veteribus historicis memoriae prodiderunt; mihi vero otium non est iis repetendis immorandi, cui quae coeperam sunt persequenda.

26. Post Saborem itaque Artaxer ipsius frater potitus imperio, cum annos quatuor regnasset, moritur. Filius autem huius, Sabor vero etiam is vocabatur, quinque annis imperium obtinuit; duplo vero temporis spatio et uno insuper anno Vararanes huius fi-

A. C. 556 ὁ παῖς, ὃς δὴ καὶ Κερμασαὰ ὠνομάζετο. τῶν δὲ τοιούτων ἐπι-
L. l. 30 κλήσεων ἡ αἰτία ἤδη μοι εἴρηται. καὶ γὰρ Κερμὰ ἔθνους τυ-
χὸν ἢ χώρας ὑπῆρχεν ἐπωνυμία· ταύτης δὲ τῷ πατρὶ τοῦ Οὐα-
C ραράνου δεδουλωμένης, εἰκότως ὁ παῖς τὴν ἐπωνυμίαν ἐκτή-
σατο, καθάπου πρότερον καὶ παρὰ Ῥωμαίοις ὁ μὲν Ἀφρι-
κανὸς τυχὸν, ὁ δὲ Γερμανικὸς, ὁ δὲ ἐξ ἄλλου του γένους νε-
νικημένου ἐπεκλήθη. ἐπὶ τούτοις Ἰσδιγέρδης ὁ Σαβώρου τὴν
Περσικὴν ἡγεμονίαν παραλαμβάνει, ὁ πολὺς παρὰ Ῥωμαίοις
V. 96 καὶ περιλάλητος. φασὶ γὰρ Ἀρκάδιον τὸν βασιλέα πρὸς τῷ
θανάτῳ γεγενημένον, καὶ τὰ μετ' αὐτὸν, ὥσπη τοῖς ἀνθρώ-
ποις νενόμισται, διατάττοντα, τούτῳ δὴ φύλακι χρήσασθαι,
καὶ κηδεμόνι ἐπί τε τῷ παιδὶ Θεοδοσίῳ καὶ πάσῃ τῇ Ῥω-
μαϊκῇ καταστάσει. ᾄδεται γὰρ οὗτος ὁ λόγος ἐπιπλεῖστον ἐν
ἡμῖν ἐκ παλαιοῦ τῇ μνήμῃ παραδοθεὶς τοῖς ἐφεξῆς, καὶ μέχρι
D νῦν παρά τε τοῖς λογίμοις καὶ τῷ δήμῳ περιαγόμενος· γραφῇ
δέ τινι καὶ λόγοις ἱστορικοῖς οὐκ οἶδα εὑρὼν τοῦτο φερόμενον,
οὐδὲ παρ' οἷς τυχὸν τὰ τῆς Ἀρκαδίου τελευτῆς ἀπεμνημόνευ-
ται, ὅτι μὴ μόνον ἐν τοῖς Προκοπίῳ τῷ ῥήτορι συγγεγραμμέ-
νοις. καὶ οὐδὲν, οἶμαι, θαυμαστὸν, ἐκεῖνον μὲν ὡς πλεῖστα με-
μαθηκότα, καὶ πᾶσαν, ὡς εἰπεῖν, ἱστορίαν ἀναλεξάμενον,
καὶ τήνδε παραλαβεῖν τὴν ἀφήγησιν ἑτέρῳ πρότερον ἐκπεπο-
νημένην, ἐμὲ δὲ αὐτὴν μηδαμῶς ἔτι ἑλεῖν ἐλάχιστα εἰδότα,

1. *Cermasat* Intpr. Verum est *Κερμανσαὰ*: cf. Mirkhondium apud Sacyum, *Mem. sur les antiquités de Perse*, p. 320. 2. Debebat esse *Κερμὰν*. *ἔθνος* R. 3. *τοῦ Ἀραράνου* Lugd. et ed. pr., *Οὐραρ.* Par. 10. *ἐπ' αὐτὸν* R., Intpr. *quum — sua disponeret.* 15. *λογίσμοῖς* (sic) R. 17. *ἀπομνημονεύεται* R. 22. Pro *ἑλεῖν* coni. Cl. *εὑρεῖν*.

lius, qui et Cermasaa dictus fuit. Huiusmodi vero appellationum causam supra retuli. Cerma enim gentis forsan alicuius aut regionis est nomen, qua a patre Vararane subacta, filius verisimiliter eam appellationem est consecutus; quemadmodum etiam olim apud Romanos hic quidem Africanus, ille Germanicus, alius vero ex alia gente devicta est dictus. Post hos Isdigerdes Saboris F. Persicum imperium accepit, cuius frequens et celebris est apud Romanos memoria. Aiunt enim Arcadium regem iam moribundum, et humano more de rebus post obitum suis disponentem, hunc custodem et curatorem filii sui Theodosii instituisse totiusque Romani imperii status. Hic enim sermo ab antiquo veluti per manus posteritati traditus, plurimum etiam hodie apud nos invaluit, et apud doctos pariter et vulgus hominum circumfertur; scripto vero aliquo aut historicorum libris id proditum non reperio, ne in iis quidem, qui de Arcadii morte scripserunt, uno tantum Procopio rhetore excepto. Neque sane meo iudicio mirum est, ad multiscii huius viri, quique universam, ut uno verbo dicam, historiam decerpsit, notitiam hanc etiam narrationem ab alio olim conscriptam pervenisse; ad

εἴγε ἄρα δὴ καὶ ἐλάχιστα. ἀλλ' ἐκεῖνο καὶ μάλα θαύματος A. C. 556 ἄξιον εἶναι ἡγοῦμαι, ὅτι διεξιὼν τὰ περὶ τούτων, οὐχ ἁπλῶς I. I. 30 οὕτω τὰ ἐγνωσμένα διέξεισιν, ἀλλ' ἐπαινεῖ τὸν Ἀρκάδιον καὶ ἀποσεμνύνει, ὡς ἀρίστῃ χρησάμενον εὐβουλίᾳ. φησὶ γὰρ αὐτὸν P. 137 οὐ λίαν ἀγχίνουν εἶναι τὰ ἄλλα πεφυκότα, ἐν τούτῳ δὴ μόνῳ φρενήρη τε καὶ προμηθέστατον ἀποδεδεῖχθαι. ἐμοὶ δὲ δοκεῖ ὁ τοῦτο ἀγάμενος οὐ τῇ πρώτῃ ὁρμῇ τοῦ βουλεύματος τὸ εὔλογον κρίνειν, ἀλλὰ τῷ ὕστερον ἀποβεβηκότι. ἐπεὶ πῶς ἂν εἶχεν καλῶς ἀνδρὶ ὀθνείῳ καὶ βαρβάρῳ, καὶ γένους ἄρχοντι πολεμιωτάτου, καὶ ὅπως αὐτῷ μετῆν πίστεώς τε καὶ δικαιοσύνης ἠγνοημένῳ, καὶ πρός γε τὰ ἐς θεὸν πεπλανημένῳ καὶ ἀλλογνώμονι, τὰ φίλτατα παραδοῦναι; εἰ δὲ μηδὲν ὁτιοῦν ἐπὶ τῷ βρέφει ἡμάρτηται, ἀλλὰ μεμένηκεν ἡ τούτου βασιλεία βεβαιότατα πρὸς τοῦ κηδεμόνος φυλαττομένη, καὶ ταῦτα ἔτι ὑπὸ μαζῷ τιθηνουμένου, ἐκεῖνον ἂν μᾶλλον ἐπαινετέον τῆς εὐγνωμοσύνης, B ἢ Ἀρκάδιον τοῦ ἐγχειρήματος. τούτων μὲν οὖν ἕνεκεν, ὅσπῃ ἕκαστος γνώμης τε καὶ ἀκριβείας ἔχοι, ὧδε κρινέτω. ὁ δὲ Ἰσδιγέρδης εἴκοσι πρὸς τῷ ἑνὶ βασιλεύσας ἐνιαυτούς, οὐδένα πώποτε κατὰ Ῥωμαίων ἤρατο πόλεμον, οὐδὲ ἄλλο τι κατ' αὐτῶν ἄχαρι ἔδρασεν· ἀλλὰ μεμένηκεν ἐσαεὶ εὔνους τε ὢν καὶ εἰρηναῖος, εἴτε οὕτω συμβάν, εἴτε καὶ ὡς ἀληθῶς

2. τούτων R. et Lugd., τοῦτον edd. 11. πρός γε τὰ ἐς θεὸν πεπλανημένῳ καὶ om. R., Intpr. non legebat verba τὰ ἐς θεόν. 20. ἀεὶ R.

meam vero nequaquam, qui non nisi exiguam, utinam modo exiguam, harum rerum scientiam habeam. Sed illud, et quidem vehementer, admiratione dignum censeo, quod cum narrationem de Arcadio instituit, non simpliciter ita quae ab eo statuta fuerunt narrat, sed laudat ipsum magnificisque verbis effert, tanquam optimo consilio usum. Ait enim, ipsum aliis in rebus non admodum solere esse industrium, hac vero sola in re et sapientem et prudentissimum declaratum. Mihi vero videtur is, qui hoc admiratur, non ex primo consilii impetu, sed ex eventu de eius rectitudine iudicare. Quo pacto enim prudenter recteque factum dici possit, homini extero et barbaro, et regi gentis infestissimae, neque satis noto, an fidem ac iustitiam coleret, quique praeterea erroneae esset de deo diversaeque opinionis, quae habebat carissima tradere? Si vero nihil omnino in infantem sibi creditum deliquit, sed huius imperium sartum tectum a curatore firmissime est conservatum, et quidem, cum adhuc ille lacteret: illius potius probitas est laudanda, quam Arcadii factum. Hisce igitur de causis, prout quisque mente ac iudicio pollet, ita iudicet. Isdigerdes vero cum unum et viginti annos regnasset, nullum unquam adversus Romanos bellum suscepit, neque ulla eos affecit molestia, sed mansit perpetuo be-

A. C. 556 L. I. 30 φειδοῖ τοῦ παιδὸς, καὶ τῶν κοινῶν τῆς κηδεμονίας νομίμων.

κζ. Ἐκείνου δὲ τεθνηκότος, Οὐαραράνης ὁ υἱὸς προστὰς τῆς ἀρχῆς, εἰσβολὴν μὲν κατὰ Ῥωμαίων πεποίηται· φιλίως δὲ αὐτὸν καὶ ὑφειμένως τῶν ἐν τοῖς ὁρίοις ἱδρυμένων C στρατηγῶν προσδεξαμένων, ὁ δὲ θᾶττον ἀπηλλάγη, καὶ εἰς τὴν ὑπήκοον ἐπανῆκεν, οὔτε προσπολεμήσας τοῖς πέλας, οὔτε ἄλλως τὴν χώραν σινάμενος. εἴκοσι δὲ κρατήσας ἐνιαυτοὺς, παραδίδωσι τὴν βασιλείαν Ἰσδιγέρδῃ θατέρῳ τῷ οἰκείῳ παιδὶ, ᾧ δὴ χρόνος ἐν τῇ βασιλείᾳ διηνύσθη ἐτῶν ἑπτακαίδεκα, καὶ μηνῶν δήπου τεττάρων. Περόζης δὲ μετ' ἐκεῖνον ἀναδείκνυται βασιλεὺς, ἀνὴρ τολμητίας μὲν ἄγαν καὶ φιλοπόλεμος, καὶ πρὸς τὸ μεγαλουργὸν τῆς γνώμης ἀεὶ τετραμμένος· λογισμῷ δὲ στεῤῥῷ καὶ βεβηκότι οὐ μάλα ἐχρῆτο· ἀλλὰ πλέον ἦν αὐτῷ τοῦ βουλευομένου τὸ θρασῦνον. ἀπόλωλε δὴ οὖν, D κατὰ τῶν Νεφθαλιτῶν ἐπιστρατεύσας, οὐ τοσοῦτον, οἶμαι, τῇ ῥώμῃ τῶν δυσμενῶν ὁπόσον τῇ οἴκοθεν ἀκοσμίᾳ· δέον γὰρ αὐτὸν σὺν τῷ ἀσφαλεῖ κατὰ τὴν πολεμίαν πορεύεσθαι, τὰς ἀδήλους ἐπιβουλὰς προδιασκοποῦντα καὶ φυλαττόμενον, ὁ δὲ λέληθεν ἑαυτὸν ἐνέδραις ἀθρόον περιπεσὼν καὶ βόθροις καὶ διώρυξιν, ἐπὶ μήκιστον τοῦ πεδίου πρὸς τὸ ἀπατηλὸν μεμηχανημέναις, αὐτοῦ τε σὺν τῇ στρατιᾷ διεφθάρη τετάρτῳ καὶ εἰκοστῷ τῆς βασιλείας ἐνιαυτῷ, καὶ καταλύει τὸν βίον ἀκλεῶς,

1. Pro κηδεμονίας R. παιδοποιΐας (scil. *adoptionis*), Intpr. *communibusve liberis procreandis et legibus.* 5. ὁρίοις R., ὅροις vulg. 7. προπολεμήσας R. et Lugd., sed hic in mg. ἴσ. προσπολεμήσας. 15. βουλευομένου R. Lugd. mg. et Intpr., βουλομένου vulg. 20. ἀθρόως R.

nevolus et pacificus, sive ita casu acciderit, sive revera etiam respectu pueri, et communium curationis pupillaris legum.

27. Illo vero mortuo, Vararanes filius cum praeesset imperio, expeditionem quidem in Romanos fecit, sed cum illum praefecti, qui in finibus erant, amice placideque suscepissent, ipse statim recessit, et ad sua se recipit, neque bello finitimis, neque praeterea damno ullo agris eorum illato. Cumque annos viginti regnasset, Isdigerdi alteri suo filio regnum tradit; qui cum eo annis septendecim et mensibus circiter quatuor esset potitus: Perozes post illum rex declaratur, vir temerarie audax et bellorum cupidus, et magnificentiam semper prae se ferebat, solidis autem tutisque consiliis non admodum utebatur; sed plus in eo erat audaciae quam consilii. Periit itaque in expeditione adversus Nephtalitas non tam, arbitror, robore hostium quam sua temeritate. Cum enim oporteret ipsum tuto per hostilem regionem procedere, occultas insidias praevidentem et praecavm, horum cura neglecta confestim in insidias incidit; inque scro-

ἅτε δὴ ὑπὸ τῶν Οὔννων κατεστρατηγημένος· Οὐννικὸν γὰρ A. C. 556
γένος οἱ Νεφθαλῖται. Βάλας δὲ ὁ τούτου ἀδελφὸς ἐπὶ τὴν I. I. 30
ἀρχὴν ἀναβὰς, οὐδέν τι φαίνεται ἀξιαφήγητον δράσας πολέ-
μων ἕνεκα καὶ παρατάξεων, οὐ μόνον τῷ πρᾶος εἶναι τοὺς
τρόπους καὶ ἤπιος, καὶ πρὸς ὁρμὰς ἀλόγους καὶ δυσμε- P. 138
νείας οὐ μάλα διανιστάμενος, ἀλλ' ὅτι καὶ βραχὺν ἐπε-
βίω χρόνον· τέτταρα γὰρ αὐτῷ μόνον ἔτη κατὰ τὴν βασι-
λείαν διέδραμεν. ἐπὶ τούτῳ δὲ Καβάδης ὁ Περόζου, τῶν Περ- V. 97
σικῶν πραγμάτων κρατήσας, πολλοὺς μὲν κατὰ Ῥωμαίων
πολέμους διήνεγκε, πολλὰ δὲ κατὰ βαρβάρων τῶν προσοικούν-
των ἔστησε τρόπαια, καὶ χρόνον οὐδένα παρῆκε ταραχαῖς
τε καὶ κινδύνοις ἐγκαλινδούμενος. ἦν δὲ ἄρα καὶ πρὸς τὸ ὑπή-
κοον ἀπηνής τε καὶ δυστιθάσσευτος, καὶ οἷος ἀνακινεῖν τὰ κα- B
θεστῶτα, ἔς τε τὴν πολιτικὴν δίαιταν καινουργεῖν, καὶ παρα-
τρέπειν τὰ πάλαι συνειθισμένα. λέγεται δὲ ὡς καὶ νόμον ἔθε-
το, κοινὰ τοῖς ἀνδράσι προκεῖσθαι τὰ γύναια, οὐ κατὰ τὸν
Σωκράτους, οἶμαι, καὶ Πλάτωνος λόγον, καὶ τὴν ἐν τῷ λόγῳ
κεκρυμμένην ὠφέλειαν, ἀλλ' ὥστε τῷ προστυχόντι ἐξεῖναι
πρὸς ἣν ἂν ἐθέλοι χωρεῖν καὶ τῆς εὐνῆς μεταλαγχάνειν, εἰ
καὶ ἑτέρῳ τῳ συνοικοῦσα καὶ ἀποκεκριμένη ἐτύγχανε.

2. *Βάλας* Lugd. in mg., in ordine autem *Ὀβάλας*, *Οὐάλας* R., *Valens* Intpr. Incorruptum nomen Persicum est *Palasch.* Hunc Procopius, qui de horum regum successione parum comperta congessit, paulo rectius *Blasin* vocat, sed in eo errat, quod in locum Cabadis suffectum esse tradit. 8. *δὲ Καβ.* R., *δὲ καὶ Κ.* vulg. 15. *πάλαι* om. R.

bes et fossas, quae ad longissimum in campo tractum ad fallendum erant confectae, atque ibi cum exercitu interiit quarto et vigesimo regni sui anno, vitamque finivit inglorius, utpote ab Hunnis debellatus. Hunnica enim gens Nephtalitae. Balas autem huius frater ad regnum evectus, nihil memoratu dignum bellorum aut proeliorum causa gessit; non solum quia placidis esset moribus et mitis, et ad irruptiones violentas faciendas hostilitatesque exercendas non admodum promptus, sed etiam quod ad exiguum tempus supervixerit. Quatuor enim duntaxat anni ei in regno sunt decursi. Post hunc etiam Cavades, Perosi F., Persico imperio potitus, multa quidem adversus Romanos bella gessit, multa etiam a finitimis barbaris trophaea retulit, neque ullum tempus praetermisit, quo non esset turbis periculisque involutus: erat vero etiam in subditos saevus et intractabilis, aptusque ad ea, quae bene constituta erant, turbandum, et ad civile vivendi genus innovandum veteresque consuetudines subvertendas. Dicitur vero etiam hic legem tulisse, qua feminae viris communes prostituerentur, non ex Socratis, arbitror, et Platonis instituto, aut utilitatis in ea reconditae respectu, sed ut cuivis liceret, cum qua liberet rem habere, etiam si alteri alicui nupta esset, eique addicta conviveret.

A. C. 556 I. I. 30 κή. Καὶ τοίνυν θαμὰ τοῦτο ἐννόμως ἐξημαρτάνετο, χαλεπαινόντων περιφανῶς τῶν δυνατῶν, καὶ οὐκ ἀνεκτὸν ἡγουμένων τὴν ἀτιμίαν. ἀλλ' οὗτος γὰρ αὐτῷ ὁ θεσμὸς ἐπιβουλῆς C τε καὶ καταλύσεως αἰτιώτατος γέγονε. τοιγάρτοι συμφραξάμενοι ἅπαντες καὶ διαναστάντες, καθαιροῦσί γε αὐτὸν τῆς ἀρχῆς τῷ ἑνδεκάτῳ ταύτης ἐνιαυτῷ, καὶ εἰς τὸ τῆς Λήθης ἐμβάλλουσι φρούριον. τὸ δὲ τῆς βασιλείας κράτος μετάγουσιν ἐπὶ Ζαμάσφην, Περόζου καὶ αὐτὸν παῖδα γεγενημένον, καὶ ἄλλως πραότητός τε καὶ δικαιοσύνης ἄριστα ἔχειν δοκοῦντα. οὕτω τε ᾤοντο καλῶς αὐτοῖς ἅπαντα κατειργάσθαι, ὡς ἐξὸν τολοιπὸν ἐν εὐκολίᾳ τε καὶ ῥᾳστώνῃ πολιτεύεσθαι καὶ βιοτεύειν. ἀλλ' ὁ Καβάδης οὐκ ἐς μακρὰν ἀποδράσας, εἴτε τῆς γαμετῆς αὐτῷ συλλαβομένης τοῦ δόλου, ὡς Προκόπιός φησι, καὶ τὸν ὑπὲρ ἐκείνου θάνατον ὑπελθεῖν ἑλομένης, εἴτε καὶ ἄλλῳ τρόπῳ χρησάμενος, ἀποδράσας δὲ οὖν ὅμως, καὶ ὑπεκβὰς D τοῦ δεσμωτηρίου, ᾤχετο παρὰ τοὺς Νεφθαλίτας, καὶ γίνεται τοῦ ἐκείνων βασιλέως ἱκέτης. ὁ δὲ τὰς ἀτάκτους τροπὰς τῆς τύχης διανοησάμενος, προσίετό γε αὐτὸν μάλα εὐμενῶς, καὶ διετέλει παρηγορῶν καὶ παραιρούμενος τῆς γνώμης τὸ ἀνιώμενον, τὰ μὲν πρῶτα θωπείᾳ τε ἀγαθῇ καὶ παραινέσει πρὸς τὰ ἀμείνονα τὸ φρονοῦν ἀναῤῥωννύσῃ, καὶ πρός γε τραπέζῃ

3. αὐτ. ὁ θεσμ. R., ὁ. θ. α. vulg. 4. αἰτιώτατος R. et Intpr. *praecipua causa*, αἴτιος vulg. συμφραζάμενοι R., συμφρασάμενοι coni. Cl. 5. γὰρ pro γε R. 8. Recte Ζαμάσφην: est *Djamasp* Persarum, Ζαμβασφῆν R., sed infra Ζαμάσφης, *Zambazes* Intpr. 15. τρόπῳ χρ. R., χρ. τρ. vulg. 17. ῥοπὰς Par. 18. ἑαυτὸν R. 21. πρός τε R.

28. Frequenter itaque hac in parte permittente lege peccabatur, satrapis aperte indignantibus, neque tolerandum esse dedecus censentibus. Sed ea lex ipsi et insidiarum et submotionis ab imperio causa fuit. Conspiratione enim facta omnibusque insurgentibus, imperio eum abdicant, undecimo, ex quo regnaret, anno, et in Lethes castellum coniiciunt; regni vero potestatem in Zamasphem transferunt, qui et ipse Perosi filius erat, et alioqui lenitatis et iustitiae nomine optime audiebat. Atque ita putabant, omnia sibi recte curata; sperantes, se deinceps placide quieteque victuros. Cavades vero non multo post e custodia elapsus, sive uxore ad fraudem opitulante, ut Procopius scribit, et mortem etiam pro illo subire cupiente, sive alio quopiam modo usus, aufugit tamen, et e carcere evasit, atque ad Nephtalitas se recepit, eorumque regi supplex est factus: qui cum varias incertasque fortunae mutationes ac vicissitudines cum animo suo perpenderet, perhumaniter eum excepit, neque desinebat eum solari, animique aegritudinem sublevare; primum quidem blanditiis verborum commodaque exhortatione ad meliora ipsius mentem corrobo-

δαψιλεῖ καὶ φιλοτησίᾳ θαμὰ προτεινομένῃ, καὶ ἐφεστρίσι τι- [A. C. 536 I. I. 30] μίαις, καὶ τούτοις δὴ ἅπασι τοῖς εἰς φιλοξενίαν προχειροτάτοις· ὀλίγῳ δὲ ὕστερον καὶ τὴν θυγατέρα κατεγγυᾷ πρὸς γάμον τῷ ξένῳ, καὶ στρατιὰν αὐτῷ πρὸς τὴν κάθοδον ἀποχρῶσαν παραδοὺς, ἔστειλεν αὖθις, τό τε ἀντιστατοῦν καθελοῦντα, καὶ τὴν προτέραν εὐδαιμονίαν ἀνακτησόμενον. ἐπεὶ δὲ πεφύκασι πρὸς τἀναντία πολλάκις συμφύρεσθαι τοῖς ἀνθρώποις αἱ τῶν δοκηθέντων ἐκβάσεις, τοιόνδε τι καὶ τότε ξυνέβη, [P. 139] καὶ πρὸς τὴν ἐφ' ἑκάτερα ῥοπήν τε καὶ κίνησιν ἐπὶ πολλῷ τῷ διαλλάττοντι ὁ τοῦ Καβάδου βίος ἐταλαντεύθη, καὶ ταῦτα ἐν χρόνῳ μετρίῳ. ἐκ μὲν γὰρ βασιλέως πρότερον ὑπόδικος γέγονε καὶ δεσμώτης· ἀπαλλαγεὶς δὲ τῆς εἱρκτῆς, φυγὰς καὶ μέτοικος καὶ ἱκέτης· ἐκ δὲ ἱκέτου καὶ ξένου, κηδεστὴς βασιλέως καὶ οἰκειότατος· εὐθὺς δὲ κατελθὼν εἰς τὰ πάτρια ἤθη, ἀνείληφε πάλιν τὴν ἀρχὴν πόνων ἐκτὸς καὶ κινδύνων, ὥσπερ οὐδαμῶς αὐτὴν ἀφῃρημένος, ἀλλ' εὑρὼν ἔτι σχολάζουσαν, καὶ οἷον ἐκδεχομένην. ὁ γὰρ Ζαμάσφης ἑκὼν ἀπέστη τοῦ θάκου, καὶ μεθεῖναι μᾶλλον ἔγνω τὴν βασιλείαν, τέτταρας ἐνιαυτοὺς [B] ἡσθεὶς ἐν αὐτῇ, καὶ ἀπαγορεῦσαι μὲν τῷ γαυρουμένῳ τῆς ψυχῆς καὶ φιλοδοξοῦντι, τὸ δὲ ἄπραγμον σὺν τῷ ἀσφαλεῖ ἀνθελέσθαι· καὶ προὔλαβε τὴν ἀνάγκην ἡ εὐβουλία. ὁ δὲ Καβάδης ἐγκρατὴς γεγενημένος πλέον ἢ πρότερον, ἐς τριάκοντα ἐτέ-

5. Pro καθελοῦντα R. καθελεαυτοῖς. 7. συμφέρεσθαι Par. 8. τοιόν δή τι R. 10. ἐταλάντευσε R. 12. δεσμότης edd. 17. θάκου. H. l. non variat R., qui supra θῶκον praebuerat.

rans, ac praeterea lauta mensa amicaque propinatione frequenter excipiens, vestibus etiam pretiosis donans, omniaque hospitalitatis munia explens; paulo vero post etiam filiam hospiti nuptui despondet, datoque ei valido satis exercitu ad sua remisit, cum eorum, qui obstituri essent, clade pristinum suum regnum recuperaturum. Cum autem frequenter soleant hominibus res contrariis plane, quam animo destinarant, eventibus confundi, tale quid etiam tum usuvenit, variisque in utramque partem momentis, diversisque in contrarium mutationibus Cavadae vita fuit librata, idque brevi satis temporis spatio. Nam ex rege antea reus factus et captivus; ubi vero e carcere evasit, fugitivus et supplex; ex supplice autem et peregrino gener regis eique intimus; moxque ad sua reversus, imperium citra labores aut pericula recepit, perinde ac si nunquam eo exutus fuisset, vacans adhuc et quodam modo se opperiens. Zamasphes enim sua sponte regio solio excessit, regnumque relinquere potius censuit, quatuor annis eo gavisus, et renuntiare fastui ambitionique maluit, privatam vitam cum securitate coniunctam praeferens, atque ita necessitatem rectitudine consilii antevertit.

A. C. 556 ρους ἐνιαυτοὺς διέμεινε τῆς μοναρχικῆς δυναστείας, ἐχόμενος
I. I. 30 πρὸς τοῖς ἕνδεκα τοῖς προτέροις, ὡς τεσσαράκοντα πρὸς τῷ
ἑνὶ τοὺς σύμπαντας καθεστάναι ὁπόσους ἐν αὐτῇ ἐπεβίω.

κθ'. Τὸ μὲν οὖν ἀκριβὲς τῶν ἐπ' αὐτῷ πρότερόν τε καὶ
ὕστερον συμπεσόντων, ἤδη τοῖς πάλαι σοφοῖς ἐν ἱστορίας
C διεκπεπόνηται τρόπῳ· ὃ δὲ τοῖς μὲν προτέροις παρεῖται,
ἄξιον δὲ οἶμαι γινώσκειν καὶ ἐπισημήνασθαι, καλὸν ἂν εἴη
προσθεῖναι. θαυμάσειε γὰρ ἄν τις, ὅτι δὴ κατ' ἐκεῖνο τοῦ και-
V. 98 ροῦ παρά τε Ῥωμαίοις καὶ Πέρσαις παραπλήσια ἄττα συν-
ελθεῖν ξυνέβη, ὥσπερ αὐτομάτως ἐν ἑκατέρᾳ πολιτείᾳ κατὰ
τῶν κρατούντων ἐναντίας τινὸς περιφορᾶς ἐνσκηψάσης. ἐλα-
χίστου γὰρ ἔμπροσθεν χρόνου καὶ Ζήνων ὁ Ῥωμαίων βασι-
λεὺς ὁ Ἴσαυρος, ὃς δὴ πρώην Ταρασισκωδίσαιος ἐπωνομάζετο,
ὑπὸ Ἴλλου τε καὶ Βασιλίσκου καὶ Κόνωνος ἐπιβουλευθεὶς,
συνεργούσης ἐς τὰ μάλιστα καὶ Βηρίνης, ἐκπέπτωκε τῆς ἀρχῆς
D καὶ ἐξελήλαται, καὶ μόλις ἐς τὴν Ἰσαυρίαν ἀπεσώθη· πλὴν
ἀλλ' ἐπανῆκεν αὖθις ἐς τὰ βασίλεια, καὶ Βασιλίσκον τὸν τυ-
ραννήσαντα οὐ πλέον ἢ ἔτεσι δύο καθελὼν, καὶ τοῦ σχήμα-
τος ἀφελόμενος, διετέλει πάλιν ἐχόμενος τῆς ἀρχῆς καὶ πάντα
διατάττων, οὐκ ἐπὶ πλεῖστον μὲν χρόνον, ἐν αὐτῇ δὲ ὅμως
ἀπεβίω. κατ' αὐτὸν δὲ καὶ Νέπως ὁ τῆς Ἑσπέρας βασιλεὺς

5. ἱστορίαις R. 10. συνέβη R. 13. πρώτη R. Ταρασισκωδίσεος vulg., Τάρασις Κωδιαῖος R., *Tharasis Codicus* Intpr., Τρασχαλλισαῖος apud Theophanem. Satis probabile est, Agathiam scripsisse Ταρασισχαλισαῖος. 15. εἰς vulg. 18. δύο R., δύω vulg.

Cavades vero multo quam antea potentior factus, alios triginta annos ultra undecim priores monarchicum imperium obtinuit, ut unum et quadraginta annos cum regia potestate vixerit.

29. Quae itaque eo antea et postmodum regnante acciderunt, veteres illi docti scriptores in modum historiae accurate pertractarunt. Quod autem a veteribus illis praeteritum est, quodque dignum cognitu ac memoratu crediderim, non abs re fuerit adiicere. Mirari enim quispiam possit, quod per id tempus Romanis et Persis nonnulli similes sibi mutuo casus acciderint, tanquam sponte in utraque re publica contraria quadam revolutione fortunae adversus Imperatores ingruente. Paulo enim ante etiam Zeno ille Isaurus, Romanorum Imperator, qui antea Tarasiscodisaeus cognominabatur, insidiis ei per Illum et Basiliscum et Cononem structis, coadiuvante praecipue Berine, imperio excidit eiectusque est, atque aegre in Isauriam salvus evasit, rediit tamen rursus in regiam, et Basilisco, qui non diutius quam duobus annis tyrannidem exercuerat, interfecto, regioque insigni ei adempto, rursus imperium recuperavit, omniaque moderatus est, non quidem multo tempore, regnans tamen e vita excessit. Haud secus et Nepos, Occidentis Imperator,

ὁμοίαις ἢ καὶ μείζοσιν ὡμίλησε συμφοραῖς. ὑπὸ γὰρ Ὀρέστου A. C. 556 φενακισθεὶς, πέφευγεν ἐκ τῆς Ἰταλίας, ἀποβεβληκὼς μὲν τὴν L. I. 30 ἁλουργίδα, οὐκέτι δὲ αὐτὴν ἀντανείλετο, ἀλλ' ἐν ἰδιώταις τελῶν διεφθάρη. οὕτως ἄρα ἐν τῷ τότε μεταβολὰς παραλόγους κατὰ τῶν κρατίστων δυνάμεων συνελθεῖν ξυνηνέχθη. ζητούντων μὲν οὖν τὴν τούτων αἰτίαν οἱ τὰς τῶν ἀδήλων ἀνιχνεύειν ἀρχὰς εἰθισμένοι, καὶ λεγέτωσαν ὁποίας καὶ βούλοιντο, ἐμοὶ δὲ τῆς προτέρας ἐκδρομῆς καὶ αὖθις μεταληπτέον. τεθνηκότος γὰρ τοῦ Καβάδου κατὰ τὸ πέμπτον ἔτος τῆς Ἰουστινιανοῦ παρὰ Ῥωμαίοις βασιλείας, Χοσρόης ὁ πάνυ ὁ καθ' ἡμᾶς διαδέχεται P. 140 τὴν πατρῴαν ἀρχὴν, καὶ πέπραχε πλεῖστα ὅσα καὶ μέγιστα, ὧν ἔνια μὲν Προκοπίῳ τῷ ῥήτορι προαναγέγραπται, τῶν δὲ λοιπῶν ἐμοί γε τὰ μὲν εἴρηται ἤδη, τὰ δὲ ἀκολούθως εἰρήσεται. ὡς ἂν δὲ τὸ συνεχὲς τῶν χρόνων τελεώτατα διαφυλαχθείη, τοσοῦτον ἐρῶ πρὸς τὸ παρὸν, ὡς ἐς ὀκτώ τε καὶ τεσσαράκοντα ἐνιαυτοὺς τοῦ κράτους ἐχόμενος, πολλὰς ἀνεδήσατο νίκας· καὶ γέγονεν ὁποῖος οὔπω πρότερον ἄλλος τῶν παρὰ Πέρσαις βεβασιλευκότων ἀναδέδεικται, εἴγε τῷ παντὶ ἑκάστῳ συγκρίνοιτο, οὐδὲ εἰ Κῦρον εἴποι τις ἂν τὸν Καμβύσου, οὐδὲ Δαρεῖον Ὑστάσπεω, οὐδὲ μὴν Ξέρξην ἐκεῖνον, τὸν ἱππήλατον B μὲν δεικνύντα τὴν θάλατταν, ἐν δὲ τοῖς ὄρεσι ναυτιλλόμενον. πλὴν ἀλλὰ τοιοῦτός γε ὢν, ἀκλεής γε αὐτῷ ἡ τοῦ βίου καταστροφὴ γέγονεν, καὶ οἰκτρὰ καὶ τῶν φθασάντων ἀλλοτριω-

1. *καὶ* ins. ex R. 5. *συνηνέχθη* R. 18. *εἴτε* R., Intpr. *vel si*. 19. *εἴπῃ* R.

similibus aut maioribus calamitatibus fuit immersus. Nam ab Oreste circumventus, fugit ex Italia, purpura exutus, quam nunquam recuperavit, sed inter privatos degens interiit. Adeo inopinatae mutationes tum temporis potentissimis regibus acciderunt. Causas vero harum mutationum quaerant, qui abditarum rerum occulta principia investigare consueverunt, et quascunque voluerint proferant, mihi vero, unde digressus sum, est redeundum. Mortuo enim Cavade quinto anno, ex quo Iustinianus Romanis imperarat, Chosroës ille, maximi apud nos nominis, paternum suscepit imperium, et plurimas maximasque res gessit; quarum nonnullae a Procopio rhetore sunt conscriptae; reliquae vero partim iam a me dictae sunt, aliae consequenter dicentur. Ut autem continuata temporum series exactissime observetur, in praesentia duntaxat dicam, quod per octo et quadraginta annos, quibus imperio potitus est, multis decoratus fuerit victoriis, talisque evaserit, qualis ante eum ex Persarum regibus nemo, si cum singulis eorum compararetur; ne si Cyrum quidem Cambysae filium aliquis nominaverit, aut Darium Hystaspis, sed neque Xerxem illum, qui mare equis, montes navibus reddidit pervios. Ceterum talis ac tantus cum fuerit, inglorium et miseran-

A. C. 556 I. I. 30 τάτη. ἐτύγχανε μὲν γὰρ ἐν τῷ τότε ἀμφὶ τὰ Καρδούχια ὄρη ἐς κώμην Θαμανῶν διὰ τὴν τοῦ θέρους ὥραν καὶ τὴν τῶν τόπων εὐκρασίαν μεταβάς τε καὶ ἐνδιαιτώμενος. Μαυρίκιος δὲ ὁ Παύλου, ὑπὸ Τιβερίου Κωνσταντίνου τοῦ Ῥωμαίων αὐτοκράτορος ἄρχειν τῶν κατὰ τὴν ἕω ταγμάτων προστεταγμένος, εἰσέβαλεν ἀθρόον ἐς τὴν Ἀραξιανηνὴν χώραν, πρόσοικον οὖσαν τῇ τῆς κώμης περιοικίδι καὶ ἀγχιτέρμονα· καὶ δῆτα οὐκ ἀνίει δῄων ἅπασαν ἀφειδῶς καὶ ληϊζόμενος. περαιωθεὶς δὲ τὰ C ῥεῖθρα τοῦ Ζίρμα ποταμοῦ, ἀνὰ τὰ πρόσω ἔτι ἐχώρει, καὶ τὰ ἐν ποσὶν ἐλεηλάτει καὶ ἐνεπίμπρα. οὕτω δὲ αὐτοῦ ἄρδην ἅπαντα καταστρεφομένου καὶ ξυγκυκῶντος, ὁ Χοσρόης, (οὐ πόῤῥω γὰρ ἦν, ἀλλ' ὅσον ἀρθεῖσαν ἤδη θεᾶσθαι τὴν φλόγα,) οὐκ ἤνεγκεν τὴν ὄψιν τοῦ πολεμίου πυρός, ἐπεὶ μήπω πρότερον ἑωράκει. τοιγάρτοι αἰδοῖ τε καὶ δέει καταπεπληγμένος, οὔτε ἀντεξῄει, οὔτε ἠμύνετο· ἀλλὰ τοῖς προσπεσοῦσι πέρα τοῦ μετρίου περιαλγήσας, καὶ οἷον ἀπειρηκὼς ταῖς ἐλπίσιν, αὐτίκα νόσῳ ἥλω ὑπὸ δυσθυμίας δεινῇ τε καὶ ἀνηκέστῳ. καὶ τοίνυν D φοράδην ἀχθεὶς μετὰ τάχους πολλοῦ εἰς τὰ ἐν Σελευκείᾳ καὶ Κτησιφῶντι βασίλεια, καὶ φυγὴν τὴν ἀναχώρησιν ποιησάμενος, οὐκ ἐς μακρὰν καταλύει τὸν βίον.

3. ἐνδιαιτώμενος R., διαιτώμενος vulg. 4. αὐτοκράτορος R., βασιλέως vulg. 6. ἀθρόως R. Ἀρξιανὴν R. et in mg. Ἀραξιανὴν, Intpr. *Arxianum agrum.* 7. κώμης R. et Intpr. *contiguus circumiectis vico.* χώρας vulg. 8. ἀνήει R. δῄων R., δηΐων vulg. 12. Pro ἀρθεῖσαν ἤδη R. ἂν ἤδηθείαν.

dum, et ab ante actis ipsius rebus gestis alienissimum habuit vitae exitum. Cum enim per id tempus circa Carduchios montes versans in vicum Thamanorum propter aestivum tempus et illorum locorum temperiem transisset, ibique commoraretur, Mauritius Pauli F. a Tiberio, Constantini Romanorum regis filio, legionibus Orientalibus praeesse iussus, repente in agrum Araxianum irruit, qui finitimus conterminusque erat ditioni, qui vico illi erat circumiectus, neque ullum vastandi universam ac depraedandi finem faciebat: traiecto vero Zirma flumine in anteriora procedebat, cuncta vero flamma rapinisque miscens. Omnia itaque funditus evertente ac devastante Mauritio, Chosroës (neque enim longe aberat, sed tantum, ut in altum elatam flammam prospicere posset) hostilis ignis adspectum nequaquam tulit, siquidem nunquam antea eum viderat. Quocirca pudore simul ac metu perculsus, neque obviam ivit, neque sua tuebatur; sed ingenti quodam atque immoderato dolore in animo suo ex ea strage concepto, et quodammodo in desperationem adductus, confestim gravi incurabilique morbo prae moerore est correptus. Quapropter lectica elatus quam celerrime in Seleuciae et Ctesiphontis regia palatia, recessu fugae simili facto, non multo post excessit e vita.

λ΄. Ἀλλὰ γὰρ οὐκ οἶδα ὅντινά με τρόπον ἡ τοῦ λόγου A. C. 556
φορὰ παραλαβοῦσα, καὶ τῷ ἀξιαγάστῳ, οἶμαι, τῶν πράξεων I. I. 30
ἡδομένη, ἐς τόδε ἤγαγε προπετείας, ὡς τὰ ἐν μέσῳ ὑπερβάντα
τῶν πορρωτάτω ἐπιμνησθῆναι. οὐκοῦν ἐπειδὴ νῦν γοῦν ἐπέ-
γνων ὅποι ἀφῖγμαι, καὶ ὅθεν ἐξέβην, ἐκεῖνα μὲν ἐατέον πρὸς
τὸ παρὸν, ἐν τοῖς οἰκείοις ἀναγραφησόμενα χωρίοις· ἐπανήξω δὲ
αὖθις ἐς τὸ ξυνεχὲς καὶ ἀκόλουθον τῶν προτέρων. ἥ τε γὰρ τῶν
Περσικῶν βασιλέων διαδοχὴ καὶ ὁ τῶν ἐνιαυτῶν κατάλογος,
καὶ, συλλήβδην φάναι, ἅπαν μοι τὸ ἐπηγγελμένον ξυνετελέσθη. P. 141
οἶμαι δὲ ἄγαν ἀληθῆ ταῦτα καθεστάναι καὶ ἐς τὸ ἀκριβὲς ἐκ- V. 99
πεπονημένα, ὡς δὴ ἐκ τῶν Περσικῶν βίβλων μεταληφθέντα.
Σεργίου γὰρ τοῦ ἑρμηνέως ἐκεῖσε γενομένου, καὶ τοὺς τῶν
βασιλικῶν ἀπομνημονευμάτων φρουρούς τε καὶ ἐπιστάτας με-
ταδοῦναί οἱ τῆς περὶ ταῦτα γραφῆς ἐκλιπαρήσαντος, (πολλά-
κις γὰρ αὐτὸν ἐς τοῦτο προτρέψας ἐτύγχανον,) προσθέντος δὲ
καὶ τὴν αἰτίαν, ὡς οὐκ ἄλλου του χάριν ζητοίη τῶνδε τυχεῖν,
ἢ ὥστε καὶ παρ' ἡμῖν ἀνάγραπτα ἔσεσθαι τὰ σφίσιν ἐγνωσμέ-
να καὶ τίμια, παρέσχον εὐθὺς εὖ γε ποιοῦντες ἐκεῖνοι, οὐκ
ἄχαρι τὸ χρῆμα ἡγούμενοι εἶναι, ἀλλὰ καὶ πρὸς εὐκλείας τοῖς
σφῶν βασιλεῦσιν ἐσόμενον, εἰ μέλλοιεν καὶ παρὰ Ῥωμαίοις B

3. *ἀδομένη* R. pro *ἡδομένη*. 4. *πορρωτάτω* R., *πορρωτέρω* vulg. 6. *ἀναγραφησόμενα* R. Lugd. 2. m. et Intpr. *ut — describendis*. Vulg. ex pr. m. Lugd. *ἃ ἐν τοῖς οἰκ. ἀναγραφησόμεθα*. *χωρίοις* R. et Intpr. *suis locis*, *χρόνοις* vulg. 10. *ἀληθῆ ἄγαν* R. *καθεστάντα* R. 11. *βίβλων* R., *βιβλίων* vulg. 15. *προσθέντος* R., *προθέντος* vulg. 19. *ἡγούμενοι εἶναι* R., *εἶν. ἡγούμ.*. vulg.

30. Sed nescio quo pacto me orationis decursus abreptum, rerumque memoratu dignarum voluptate delinitum, eo praecipitantiae adduxerit, ut omissa rerum praesentium tractatione, remotiora sim persecutus. Quocirca cum nunc sciam quo pervenerim et unde fuerim digressus, illa quidem iam sunt omittenda, quae suis temporibus conscribemus: ad praecedentium autem rerum continuatam congruentemque narrationem revertar. Persicorum enim regum successionem et annorum numerum, et, ut uno verbo dicam, universum id, quod promiseram, iam absolvi. Et quidem vera esse quae dixi, puto, accurateque elaborata, utpote e Persicis libris desumta. Cum enim Sergius ille interpres illic ageret, et regiorum annalium custodes ac praefectos obnixe rogasset, ut secum illa scripta communicarent, (frequenter enim ego illum ad hoc eram hortatus,) causam vero etiam adiecisset, quam non aliam esse declarabat, quam ut etiam apud nos litterarum monumentis commendarentur ipsorum instituta, quaeque in pretio haberent; statim illi recte facientes, eius petitioni annuerunt, rem non ingratam fore rati, immo vero ad regum suorum gloriam pertinentem, si etiam

A. C. 556 I. I. 30 γινώσκεσθαι, ὁποῖοί τε γεγόνασι καὶ ὁπόσοι, καὶ ὅπως ἡ τοῦ γένους αὐτοῖς ἀποσέσωσται τάξις. λαβὼν οὖν ὁ Σέργιος τά τε ὀνόματα καὶ τοὺς χρόνους, καὶ τῶν ἐπ' αὐτοῖς γεγενημένων τὰ καιριώτατα, καὶ μεταβαλὼν εὐκόσμως εἰς τὴν Ἑλλάδα φωνήν, (ἦν γὰρ δὴ ἑρμηνέων ἄριστος ἁπάντων, καὶ οἷος ὑπ' αὐτοῦ Χοσρόου θαυμάζεσθαι, ὡς ἐν ἑκατέρᾳ πολιτείᾳ τὰ πρωτεῖα λαχὼν τῆς ἐπιστήμης,) εἰκότως οὖν ἀκριβεστάτην ποιησάμενος τὴν μετάφρασιν, ἀπεκόμισέ τέ μοι ἅπαντα μάλα πιστῶς καὶ φιλίως, καὶ προὔτρεψε διανύειν τὴν αἰτίαν, ἐφ' ἧπερ αὐτὰ καὶ παρείληφε. καὶ τοίνυν διήνυσται. ὥστε εἰ καὶ Προκοπίῳ C τῷ ῥήτορι ἔνια τῶν ἐπὶ Καβάδῃ ἀφηγηθέντων ἑτέρως ἀπήγγελται, ἀλλ' ἡμῖν ἀκολουθητέον τοῖς Περσικοῖς χρονογράφοις, καὶ τῶν ἐν αὐτοῖς φερομένων ὡς ἀληθεστέρων ἀντιληπτέον. τοσούτου δὴ οὖν ἡμῖν τοῦ πόνου τελεώτατα ἐξειργασμένου, φέρε πρὸς αὐτὴν αὖθις ἐπανίωμεν τὴν τῆς ἱστορίας ξυνέχειαν, ἣν ἐκ τῶν ἀμφὶ τὴν Λαζικὴν γεγενημένων διατεμόντες, ἐς τάδε ἀφίγμεθα. οὕτω μὲν δὴ οὖν ὁ Ναχοραγὰν διὰ τὸ ἀγεννὲς τοῦ τρόπου, καὶ τὸ νενικῆσθαι ἀνὰ κράτος ὑπὸ Μαρτίνου τε καὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων, καὶ τὴν ἐς Ἰβηρίαν αἰσχρὰν ἀναχώρησιν, ὠμότατα διεφθάρη καθ' ὃν ἤδη μοι πρότερον

4. καιριώτατα R., καιριώτερα vulg. 9. φιλίως R., φίλως vulg. 11. ἀφηγηθέντων R., ἀφηγημένων vulg. 12. χειραγράφοις (sic) R., Intpr. *scripta*. 14. τοσούτου R. et Intpr. *tantum laboris*, τούτου vulg. ἐξηργασμένου R., ἐξεργ. edd. 16. διατεμόντες R. et Intpr. *quam — occoeptam intercidimus*, διατελοῦντες vulg. 20. πρότερον εἶρ. τρ. R., τρόπ. εἶρ. πρ. vulg.

Romanis innotesceret, quales et quot fuerint, et quo pacto generis series ipsis sit conservata. Sergius itaque, acceptis eorum nominibus et temporibus et praecipuis insignioribusque ipsorum rebus gestis, iisque scite in linguam Graecam conversis, (erat enim interpretum omnium optimus, quemque Chosroës ipse admirabatur ut in utraque re publica eruditorum interpretum principem,) perfectissimaque, uti verisimile est, interpretatione a se confecta, ad me omnia fideliter amiceque detulit hortatusque est, ut causae, ob quam haec monumenta a Persis acceperat, satisfacerem effectuique darem; quod et nunc a me praestitum perfectumque est. Quocirca tametsi nonnulla eorum, quae de Cavade commemorata sunt, aliter a Procopio rhetore narrantur, nobis Persici annalium scriptores potius sunt sequendi, quaeque ii scribunt, ut veriora tenenda. Hoc itaque labore nobis perfectissime absoluto, age ad continuandam historiam redeamus, quam interrupta narratione rerum in Lazico gestarum, huc usque perduximus. Hoc itaque pacto Nachoragan ob suam vecordiam, et quod per vim esset victus a Martino et Romanis copiis, et ob turpem in Iberiam fugam, crudelissima morte

εἴρηται τρόπον. λογιζόμενος δὲ ὁ Χοσρόης, ὡς οὐχ οἷόντε αὐτῷ A. C. 556 ἀνὰ τὴν Κολχίδα γῆν πρὸς Ῥωμαίους παρατάττεσθαι, τῶν I. I. 30 μὲν τῆς θαλάττης κρατούντων, καὶ ἅπαντα, ὧν ἂν δέοιντο, ῥᾳ- D δίως ἐνθένδε μεταπεμπομένων, αὐτοῦ δὲ διὰ μακρᾶς ὁδοῦ καὶ ἐρήμου μόλις τοῖς στρατοπεδεύουσιν ἐλάχιστα γοῦν τῶν ἐδωδίμων ὑπὸ ἀχθοφόροις ἀνδράσι τε καὶ ὑποζυγίοις χαλεπώτατα στέλλειν ἀναγκαζομένου· ταῦτα δὴ οὖν ἐπισκοπῶν, ἔγνω τὸν ὅλον πόλεμον καταθέσθαι, ὡς ἂν μὴ ἐπιπλεῖστον αὐτοῖς ἡ εἰρήνη χωρίοις τισὶ περιοριζομένη, ἀτελὴς καὶ οἷον σκάζουσα διαμένοι, ἀλλ' ὁμοίως ἁπανταχοῦ ἐπιῤῥωσθείη. καὶ τοίνυν ἐκπέμπει ἐπὶ τῇ πρεσβείᾳ ἐς τὸ Βυζάντιον ἄνδρα Πέρσην τῶν σφόδρα παρ' αὐτοῖς λογιμωτάτων, ὄνομα δὲ ἦν αὐτῷ Ζίχ. P. 142 οὗτος δὲ ὁ Ζὶχ ἀφικόμενος καὶ παρελθὼν ὡς Ἰουστινιανὸν βασιλέα, πολλὰ μὲν ἔφη τῶν παρόντων πέρι, πολλὰ δὲ ἀκήκοε· καὶ πέρας ἐς τόδε ξυνηλθέτην, ἐφ' ᾧ Ῥωμαίους τε καὶ Πέρσας κατέχειν μὲν ἅπαντα, ὧν ἤδη ἐτύγχανον κατὰ τὴν Λαζῶν χώραν πολέμου θεσμῷ ἐπειλημμένοι, εἴτε πολίσματά γε εἴτε φρούρια εἶεν, ἡσυχίαν δὲ ἄγειν ἐφ' ἑαυτῶν, καὶ ἥκιστα κατ' ἀλλήλων παρατάττεσθαι, ἕως ἐς ἕτερόν τι μεῖζον B καὶ τελεώτερον τὸ ἑκατέρωθεν ἄρχον συμβαίη. ὁ μὲν οὖν Ζὶχ οὕτω τὰ τῆς πρεσβείας διαπραξάμενος, ἀπενόστησεν ἐς τὰ

1. Quae sequuntur, sine ulla varietate leguntur in Cod. Bavar. Excerptorum de legationibus. 3. θαλάσσης R. 9. σκάζουσθαι R. 10. ἐπιρωσθείη R. 12. λογισμωτάτων R. 17. χώραν add. ex R. et Intpr., abest vulg. et Exc. 19. ἐς om. R.

affectus fuit, quemadmodum supra a me est dictum. Chosroës vero considerans, se non posse in Colchica regione adversus Romanos exercitum ducere, quod illi quidem mari potirentur, ac per id facile necessaria omnia eis subveherentur, ipse vero longis desertisque itineribus in castra sua etiam exiguum commeatum non nisi per baiulos et iumenta oneraria difficillime mittere cogeretur, totum bellum deponendum censuit, ne ipsis pax, certis quibusdam ut plurimum locis circumscripta, mutila imperfectaque et quodammodo claudicans permaneret, sed ex aequo ubique valeret atque confirmaretur. Byzantium ergo cum legatione mittit virum quendam Persam maximae auctoritatis, cui nomen erat Zich. Is cum ad Iustinianum Impe peratorem venisset, multique ultro citroque sermones de praesenti rerum statu essent habiti, tandem ita inter eos convenit, ut Romani et Persae in Lazica regione omnia retinerent, quaecunque belli iure obtinuissent, sive castella sive propugnacula ea essent; ipsi vero inter se quietem agerent, belloque abstinerent, donec arctius aliquod perfectiusque foedus principes utrimque inirent. Zich itaque legatione sua ita perfunctus, ad suos rediit. Quae ubi praefectis

A. C. 556 L. I. 30 φειδοῖ τοῦ παιδὸς, καὶ τῶν κοινῶν τῆς κηδεμονίας νομίμων.

κζ΄. Ἐκείνου δὲ τεθνηκότος, Οὐαραράνης ὁ υἱὸς προστὰς τῆς ἀρχῆς, εἰσβολὴν μὲν κατὰ Ῥωμαίων πεποίηται· φιλίως δὲ αὐτὸν καὶ ὑφειμένως τῶν ἐν τοῖς ὁρίοις ἱδρυμένων C στρατηγῶν προσδεξαμένων, ὁ δὲ θᾶττον ἀπηλλάγη, καὶ εἰς τὴν ὑπήκοον ἐπανῆκεν, οὔτε προσπολεμήσας τοῖς πέλας, οὔτε ἄλλως τὴν χώραν σινάμενος. εἴκοσι δὲ κρατήσας ἐνιαυτοὺς, παραδίδωσι τὴν βασιλείαν Ἰσδιγέρδῃ θατέρῳ τῷ οἰκείῳ παιδὶ, ᾧ δὴ χρόνος ἐν τῇ βασιλείᾳ διηνύσθη ἐτῶν ἑπτακαίδεκα, καὶ μηνῶν δήπου τεττάρων. Περόζης δὲ μετ᾽ ἐκεῖνον ἀναδείκνυται βασιλεὺς, ἀνὴρ τολμητίας μὲν ἄγαν καὶ φιλοπόλεμος, καὶ πρὸς τὸ μεγαλουργὸν τῆς γνώμης ἀεὶ τετραμμένος· λογισμῷ δὲ στεῤῥῷ καὶ βεβηκότι οὐ μάλα ἐχρῆτο· ἀλλὰ πλέον ἦν αὐτῷ τοῦ βουλευομένου τὸ θρασῦνον. ἀπόλωλε δὴ οὖν, D κατὰ τῶν Νεφθαλιτῶν ἐπιστρατεύσας, οὐ τοσοῦτον, οἶμαι, τῇ ῥώμῃ τῶν δυσμενῶν ὁπόσον τῇ οἴκοθεν ἀκοσμίᾳ· δέον γὰρ αὐτὸν σὺν τῷ ἀσφαλεῖ κατὰ τὴν πολεμίαν πορεύεσθαι, τὰς ἀδήλους ἐπιβουλὰς προδιασκοποῦντα καὶ φυλαττόμενον, ὁ δὲ λέληθεν ἑαυτὸν ἐνέδραις ἀθρόον περιπεσὼν καὶ βόθροις καὶ διώρυξιν, ἐπὶ μήκιστον τοῦ πεδίου πρὸς τὸ ἀπατηλὸν μεμηχανημέναις, αὐτοῦ τε σὺν τῇ στρατιᾷ διεφθάρη τετάρτῳ καὶ εἰκοστῷ τῆς βασιλείας ἐνιαυτῷ, καὶ καταλύει τὸν βίον ἀκλεῶς,

1. Pro κηδεμονίας R. παιδοποιΐας (scil. *adoptionis*), Intpr. *communibusve liberis procreandis et legibus.* 5. ὁρίοις R., ὅροις vulg. 7. προπολεμήσας R. et Lugd., sed hic in mg. ἴσ. προσπολεμήσας. 15. βουλευομένου R. Lugd. mg. et Intpr., βουλομένου vulg. 20. ἀθρόως R.

nevolus et pacificus, sive ita casu acciderit, sive revera etiam respectu pueri, et communium curationis pupillaris legum.

27. Illo vero mortuo, Vararanes filius cum praeesset imperio, expeditionem quidem in Romanos fecit, sed cum illum praefecti, qui in finibus erant, amice placideque suscepissent, ipse statim recessit, et ad sua se recipit, neque bello finitimis, neque praeterea damno ullo agris eorum illato. Cumque annos viginti regnasset, Isdigerdi alteri suo filio regnum tradit; qui cum eo annis septendecim et mensibus circiter quatuor esset potitus: Perozes post illum rex declaratur, vir temerarie audax et bellorum cupidus, et magnificentiam semper prae se ferebat, solidis autem tutisque consiliis non admodum utebatur; sed plus in eo erat audaciae quam consilii. Periit itaque in expeditione adversus Nephtalitas non tam, arbitror, robore hostium quam sua temeritate. Cum enim oporteret ipsum tuto per hostilem regionem procedere, occultas insidias praevidentem et praecaventem, horum cura neglecta confestim in insidias incidit; inque scro-

ἅτε δὴ ὑπὸ τῶν Οὔννων κατεστρατηγημένος· Οὐννικὸν γὰρ A. C. 556
γένος οἱ Νεφθαλῖται. Βάλας δὲ ὁ τούτου ἀδελφὸς ἐπὶ τὴν I. I. 30
ἀρχὴν ἀναβὰς, οὐδέν τι φαίνεται ἀξιαφήγητον δράσας πολέ-
μων ἕνεκα καὶ παρατάξεων, οὐ μόνον τῷ πρᾶος εἶναι τοὺς
τρόπους καὶ ἤπιος, καὶ πρὸς ὁρμὰς ἀλόγους καὶ δυσμε- P. 138
νείας οὐ μάλα διανιστάμενος, ἀλλ' ὅτι καὶ βραχὺν ἐπε-
βίω χρόνον· τέτταρα γὰρ αὐτῷ μόνον ἔτη κατὰ τὴν βασι-
λείαν διέδραμεν. ἐπὶ τούτῳ δὲ Καβάδης ὁ Περόζου, τῶν Περ- V. 97
σικῶν πραγμάτων κρατήσας, πολλοὺς μὲν κατὰ Ῥωμαίων
πολέμους διήνεγκε, πολλὰ δὲ κατὰ βαρβάρων τῶν προσοικούν-
των ἔστησε τρόπαια, καὶ χρόνον οὐδένα παρῆκε ταραχαῖς
τε καὶ κινδύνοις ἐγκαλινδούμενος. ἦν δὲ ἄρα καὶ πρὸς τὸ ὑπή-
κοον ἀπηνής τε καὶ δυστιθάσσευτος, καὶ οἷος ἀνακινεῖν τὰ κα- B
θεστῶτα, ἔς τε τὴν πολιτικὴν δίαιταν καινουργεῖν, καὶ παρα-
τρέπειν τὰ πάλαι συνειθισμένα. λέγεται δὲ ὡς καὶ νόμον ἔθε-
το, κοινὰ τοῖς ἀνδράσι προκεῖσθαι τὰ γύναια, οὐ κατὰ τὸν
Σωκράτους, οἶμαι, καὶ Πλάτωνος λόγον, καὶ τὴν ἐν τῷ λόγῳ
κεκρυμμένην ὠφέλειαν, ἀλλ' ὥστε τῷ προστυχόντι ἐξεῖναι
πρὸς ἣν ἂν ἐθέλοι χωρεῖν καὶ τῆς εὐνῆς μεταλαγχάνειν, εἰ
καὶ ἑτέρῳ τῳ συνοικοῦσα καὶ ἀποκεκριμένη ἐτύγχανε.

2. *Βάλας* Lugd. in mg., in ordine autem *Ὀβάλας*, *Οὐάλας* R., *Valens* Intpr. Incorruptum nomen Persicum est *Palasch*. Hunc Procopius, qui de horum regum successione parum comperta congessit, paulo rectius *Blasin* vocat, sed in eo errat, quod in locum Cabadis suffectum esse tradit. 8. *δὲ Καβ.* R., *δὲ καὶ Κ.* vulg. 15. *πάλαι* om. R.

bes et fossas, quae ad longissimum in campo tractum ad fallendum erant confectae, atque ibi cum exercitu interiit quarto et vigesimo regni sui anno, vitamque finivit inglorius, utpote ab Hunnis debellatus. Hunnica enim gens Nephtalitae. Balas autem huius frater ad regnum evectus, nihil memoratu dignum bellorum aut proeliorum causa gessit; non solum quia placidis esset moribus et mitis, et ad irruptiones violentas faciendas hostilitatesque exercendas non admodum promptus, sed etiam quod ad exiguum tempus supervixerit. Quatuor enim duntaxat anni ei in regno sunt decursi. Post hunc etiam Cavades, Perosi F., Persico imperio potitus, multa quidem adversus Romanos bella gessit, multa etiam a finitimis barbaris trophaea retulit, neque ullum tempus praetermisit, quo non esset turbis periculisque involutus: erat vero etiam in subditos saevus et intractabilis, aptusque ad ea, quae bene constituta erant, turbandum, et ad civile vivendi genus innovandum veteresque consuetudines subvertendas. Dicitur vero etiam hic legem tulisse, qua feminae viris communes prostituerentur, non ex Socratis, arbitror, et Platonis instituto, aut utilitatis in ea reconditae respectu, sed ut cuivis liceret, cum qua liberet rem habere, etiam si alteri alicui nupta esset, eique addicta conviveret.

A. C. 556 I. I. 30 κή. Καὶ τοίνυν θαμὰ τοῦτο ἐννόμως ἐξημαρτάνετο, χαλεπαινόντων περιφανῶς τῶν δυνατῶν, καὶ οὐκ ἀνεκτὸν ἡγουμένων τὴν ἀτιμίαν. ἀλλ' οὗτος γὰρ αὐτῷ ὁ θεσμὸς ἐπιβουλῆς C τε καὶ καταλύσεως αἰτιώτατος γέγονε. τοιγάρτοι συμφραξάμενοι ἅπαντες καὶ διαναστάντες, καθαιροῦσί γε αὐτὸν τῆς ἀρχῆς τῷ ἑνδεκάτῳ ταύτης ἐνιαυτῷ, καὶ εἰς τὸ τῆς Λήθης ἐμβάλλουσι φρούριον. τὸ δὲ τῆς βασιλείας κράτος μετάγουσιν ἐπὶ Ζαμάσφην, Περόζου καὶ αὐτὸν παῖδα γεγενημένον, καὶ ἄλλως πραότητός τε καὶ δικαιοσύνης ἄριστα ἔχειν δοκοῦντα. οὕτω τε ᾤοντο καλῶς αὐτοῖς ἅπαντα κατειργάσθαι, ὡς ἐξὸν τολοιπὸν ἐν εὐκολίᾳ τε καὶ ῥᾳστώνῃ πολιτεύεσθαι καὶ βιοτεύειν. ἀλλ' ὁ Καβάδης οὐκ ἐς μακρὰν ἀποδράσας, εἴτε τῆς γαμετῆς αὐτῷ συλλαβομένης τοῦ δόλου, ὡς Προκόπιός φησι, καὶ τὸν ὑπὲρ ἐκείνου θάνατον ὑπελθεῖν ἑλομένης, εἴτε καὶ ἄλλῳ τρόπῳ χρησάμενος, ἀποδράσας δὲ οὖν ὅμως, καὶ ὑπεκβὰς D τοῦ δεσμωτηρίου, ᾤχετο παρὰ τοὺς Νεφθαλίτας, καὶ γίνεται τοῦ ἐκείνων βασιλέως ἱκέτης. ὁ δὲ τὰς ἀτάκτους τροπὰς τῆς τύχης διανοησάμενος, προσίετό γε αὐτὸν μάλα εὐμενῶς, καὶ διετέλει παρηγορῶν καὶ παραιρούμενος τῆς γνώμης τὸ ἀνιώμενον, τὰ μὲν πρῶτα θωπείᾳ τε ἀγαθῇ καὶ παραινέσει πρὸς τὰ ἀμείνονα τὸ φρονοῦν ἀναῤῥωννύσῃ, καὶ πρός γε τραπέζῃ

3. αὐτ. ὁ θεσμ. R., ὁ. θ. α. vulg. 4. αἰτιώτατος R. et Intpr. *praecipua causa*, αἴτιος vulg. συμφραζάμενοι R., συμφρασάμενοι coni. Cl. 5. γὰρ pro γε R. 8. Recte Ζαμάσφην: est *Djamasp* Persarum, Ζαμβασφῆν R., sed infra Ζαμάσφης, *Zambazes* Intpr. 15. τρόπῳ χρ. R., χρ. τρ. vulg. 17. ῥοπὰς Par. 18. ἑαυτὸν R. 21. πρός τε R.

28. Frequenter itaque hac in parte permittente lege peccabatur, satrapis aperte indignantibus, neque tolerandum esse dedecus censentibus. Sed ea lex ipsi et insidiarum et submotionis ab imperio causa fuit. Conspiratione enim facta omnibusque insurgentibus, imperio eum abdicant, undecimo, ex quo regnaret, anno, et in Lethes castellum coniiciunt; regni vero potestatem in Zamasphem transferunt, qui et ipse Perosi filius erat, et alioqui lenitatis et iustitiae nomine optime audiebat. Atque ita putabant, omnia sibi recte curata; sperantes, se deinceps placide quieteque victuros. Cavades vero non multo post e custodia elapsus, sive uxore ad fraudem opitulante, ut Procopius scribit, et mortem etiam pro illo subire cupiente, sive alio quopiam modo usus, aufugit tamen, et e carcere evasit, atque ad Nephtalitas se recepit, eorumque regi supplex est factus: qui cum varias incertasque fortunae mutationes ac vicissitudines cum animo suo perpenderet, perhumaniter eum excepit, neque desinebat eum solari, animique aegritudinem sublevare; primum quidem blanditiis verborum commodaque exhortatione ad meliora ipsius mentem corrobo-

δαψιλεῖ καὶ φιλοτησίᾳ θαμὰ προτεινομένῃ, καὶ ἐφεστρίσι τι- A. C. 556
μίαις, καὶ τούτοις δὴ ἅπασι τοῖς εἰς φιλοξενίαν προχειροτά- I. I. 30
τοις· ὀλίγῳ δὲ ὕστερον καὶ τὴν θυγατέρα κατεγγυᾷ πρὸς γά-
μον τῷ ξένῳ, καὶ στρατιὰν αὐτῷ πρὸς τὴν κάθοδον ἀποχρῶ-
σαν παραδοὺς, ἔστειλεν αὖθις, τό τε ἀντιστατοῦν καθελοῦν-
τα, καὶ τὴν προτέραν εὐδαιμονίαν ἀνακτησόμενον. ἐπεὶ δὲ
πεφύκασι πρὸς τἀναντία πολλάκις συμφύρεσθαι τοῖς ἀνθρώ-
ποις αἱ τῶν δοκηθέντων ἐκβάσεις, τοιόνδε τι καὶ τότε ξυνέβη, P. 139
καὶ πρὸς τὴν ἐφ' ἑκάτερα ῥοπήν τε καὶ κίνησιν ἐπὶ πολλῷ τῷ
διαλλάττοντι ὁ τοῦ Καβάδου βίος ἐταλαντεύθη, καὶ ταῦτα ἐν
χρόνῳ μετρίῳ. ἐκ μὲν γὰρ βασιλέως πρότερον ὑπόδικος γέγονε
καὶ δεσμώτης· ἀπαλλαγεὶς δὲ τῆς εἱρκτῆς, φυγὰς καὶ μέτοι-
κος καὶ ἱκέτης· ἐκ δὲ ἱκέτου καὶ ξένου, κηδεστὴς βασιλέως
καὶ οἰκειότατος· εὐθὺς δὲ κατελθὼν εἰς τὰ πάτρια ἤθη, ἀνεί-
ληφε πάλιν τὴν ἀρχὴν πόνων ἐκτὸς καὶ κινδύνων, ὥσπερ οὐ-
δαμῶς αὐτὴν ἀφῃρημένος, ἀλλ' εὑρὼν ἔτι σχολάζουσαν, καὶ
οἷον ἐκδεχομένην. ὁ γὰρ Ζαμάσφης ἑκὼν ἀπέστη τοῦ θάκου,
καὶ μεθεῖναι μᾶλλον ἔγνω τὴν βασιλείαν, τέτταρας ἐνιαυτοὺς B
ἡσθεὶς ἐν αὐτῇ, καὶ ἀπαγορεῦσαι μὲν τῷ γαυρουμένῳ τῆς ψυ-
χῆς καὶ φιλοδοξοῦντι, τὸ δὲ ἄπραγμον σὺν τῷ ἀσφαλεῖ ἀν-
θελέσθαι· καὶ προὔλαβε τὴν ἀνάγκην ἡ εὐβουλία. ὁ δὲ Καβά-
δης ἐγκρατὴς γεγενημένος πλέον ἢ πρότερον, ἐς τριάκοντα ἐτέ-

5. Pro καθελοῦντα R. καθελεαυτοῖς. 7. συμφέρεσθαι Par. 8. τοιόν δή τι R. 10. ἐταλάντευσε R. 12. δεσμότης edd. 17. θάκου. H. l. non variat R., qui supra θῶκον praebuerat.

rans, ac praeterea lauta mensa amicaque propinatione frequenter excipiens, vestibus etiam pretiosis donans, omniaque hospitalitatis munia explens; paulo vero post etiam filiam hospiti nuptui despondet, datoque ei valido satis exercitu ad sua remisit, cum eorum, qui obstituri essent, clade pristinum suum regnum recuperaturum. Cum autem frequenter soleant hominibus res contrariis plane, quam animo destinarant, eventibus confundi, tale quid etiam tum usuvenit, variisque in utramque partem momentis, diversisque in contrarium mutationibus Cavadae vita fuit librata, idque brevi satis temporis spatio. Nam ex rege antea reus factus et captivus; ubi vero e carcere evasit, fugitivus et supplex; ex supplice autem et peregrino gener regis eique intimus; moxque ad sua reversus, imperium citra labores aut pericula recepit, perinde ac si nunquam eo exutus fuisset, vacans adhuc et quodam modo se opperiens. Zamasphes enim sua sponte regio solio excessit, regnumque relinquere potius censuit, quatuor annis eo gavisus, et renuntiare fastui ambitionique maluit, privatam vitam cum securitate coniunctam praeferens, atque ita necessitatem rectitudine consilii antevertit.

A. C. 556 ρους ἐνιαυτοὺς διέμεινε τῆς μοναρχικῆς δυναστείας, ἐχόμενος
I. I. 30 πρὸς τοῖς ἕνδεκα τοῖς προτέροις, ὡς τεσσαράκοντα πρὸς τῷ
ἑνὶ τοὺς σύμπαντας καθεστάναι ὁπόσους ἐν αὐτῇ ἐπεβίω.

κθ'. Τὸ μὲν οὖν ἀκριβὲς τῶν ἐπ' αὐτῷ πρότερόν τε καὶ
ὕστερον συμπεσόντων, ἤδη τοῖς πάλαι σοφοῖς ἐν ἱστορίας
C διεκπεπόνηται τρόπῳ· ὃ δὲ τοῖς μὲν προτέροις παρεῖται,
ἄξιον δὲ οἶμαι γινώσκειν καὶ ἐπισημήνασθαι, καλὸν ἂν εἴη
προσθεῖναι. θαυμάσειε γὰρ ἄν τις, ὅτι δὴ κατ' ἐκεῖνο τοῦ και-
V. 98 ροῦ παρά τε Ῥωμαίοις καὶ Πέρσαις παραπλήσια ἄττα συν-
ελθεῖν ξυνέβη, ὥσπερ αὐτομάτως ἐν ἑκατέρᾳ πολιτείᾳ κατὰ
τῶν κρατούντων ἐναντίας τινὸς περιφορᾶς ἐνσκηψάσης. ἐλα-
χίστου γὰρ ἔμπροσθεν χρόνου καὶ Ζήνων ὁ Ῥωμαίων βασι-
λεὺς ὁ Ἴσαυρος, ὃς δὴ πρώην Ταρασισκωδίσαιος ἐπωνομάζετο,
ὑπὸ Ἴλλου τε καὶ Βασιλίσκου καὶ Κόνωνος ἐπιβουλευθεὶς,
συνεργούσης ἐς τὰ μάλιστα καὶ Βηρίνης, ἐκπέπτωκε τῆς ἀρχῆς
D καὶ ἐξελήλαται, καὶ μόλις ἐς τὴν Ἰσαυρίαν ἀπεσώθη· πλὴν
ἀλλ' ἐπανῆκεν αὖθις ἐς τὰ βασίλεια, καὶ Βασιλίσκον τὸν τυ-
ραννήσαντα οὐ πλέον ἢ ἔτεσι δύο καθελὼν, καὶ τοῦ σχήμα-
τος ἀφελόμενος, διετέλει πάλιν ἐχόμενος τῆς ἀρχῆς καὶ πάντα
διατάττων, οὐκ ἐπὶ πλεῖστον μὲν χρόνον, ἐν αὐτῇ δὲ ὅμως
ἀπεβίω. κατ' αὐτὸν δὲ καὶ Νέπως ὁ τῆς Ἑσπέρας βασιλεὺς

5. ἱστορίαις R. 10. συνέβη R. 13. πρώτη R. Ταρασισκωδίσεος vulg., Τάρασις Κωδιαῖος R., *Tharasis Codicus* Intpr., Τρασκαλλισαῖος apud Theophanem. Satis probabile est, Agathiam scripsisse Ταρασισκαλισαῖος. 15. εἰς vulg. 18. δύο R., δύω vulg.

Cavades vero multo quam antea potentior factus, alios triginta annos ultra undecim priores monarchicum imperium obtinuit, ut unum et quadraginta annos cum regia potestate vixerit.

29. Quae itaque eo antea et postmodum regnante acciderunt, veteres illi docti scriptores in modum historiae accurate pertractarunt. Quod autem a veteribus illis praeteritum est, quodque dignum cognitu ac memoratu crediderim, non abs re fuerit adiicere. Mirari enim quispiam possit, quod per id tempus Romanis et Persis nonnulli similes sibi mutuo casus acciderint, tanquam sponte in utraque re publica contraria quadam revolutione fortunae adversus Imperatores ingruente. Paulo enim ante etiam Zeno ille Isaurus, Romanorum Imperator, qui antea Tarasiscodisaeus cognominabatur, insidiis ei per Illum et Basiliscum et Cononem structis, coadiuvante praecipue Berine, imperio excidit eiectusque est, atque aegre in Isauriam salvus evasit, rediit tamen rursus in regiam, et Basilisco, qui non diutius quam duobus annis tyrannidem exercuerat, interfecto, regioque insigni ei adempto, rursus imperium recuperavit, omniaque moderatus est, non quidem multo tempore, regnans tamen e vita excessit. Haud secus et Nepos, Occidentis Imperator,

ὁμοίαις ἢ καὶ μείζοσιν ὡμίλησε συμφοραῖς. ὑπὸ γὰρ Ὀρέστου A. C. 556
φενακισθεὶς, πέφευγεν ἐκ τῆς Ἰταλίας, ἀποβεβληκὼς μὲν τὴν L. I. 30
ἁλουργίδα, οὐκέτι δὲ αὐτὴν ἀνανείλετο, ἀλλ' ἐν ἰδιώταις τε-
λῶν διεφθάρη. οὕτως ἄρα ἐν τῷ τότε μεταβολὰς παραλόγους
κατὰ τῶν κρατίστων δυνάμεων συνελθεῖν ξυνηνέχθη. ζητούν-
των μὲν οὖν τὴν τούτων αἰτίαν οἱ τὰς τῶν ἀδήλων ἀνιχνεύειν
ἀρχὰς εἰθισμένοι, καὶ λεγέτωσαν ὁποίας καὶ βούλοιντο, ἐμοὶ
δὲ τῆς προτέρας ἐκδρομῆς καὶ αὖθις μεταληπτέον. τεθνηκότος
γὰρ τοῦ Καβάδου κατὰ τὸ πέμπτον ἔτος τῆς Ἰουστινιανοῦ
παρὰ Ῥωμαίοις βασιλείας, Χοσρόης ὁ πάνυ ὁ καθ' ἡμᾶς δια- P. 140
δέχεται τὴν πατρῴαν ἀρχὴν, καὶ πέπραχε πλεῖστα ὅσα καὶ
μέγιστα, ὧν ἔνια μὲν Προκοπίῳ τῷ ῥήτορι προαναγέγραπται,
τῶν δὲ λοιπῶν ἐμοί γε τὰ μὲν εἴρηται ἤδη, τὰ δὲ ἀκολούθως
εἰρήσεται. ὡς ἂν δὲ τὸ συνεχὲς τῶν χρόνων τελεώτατα δια-
φυλαχθείη, τοσοῦτον ἐρῶ πρὸς τὸ παρὸν, ὡς ἐς ὀκτώ τε καὶ
τεσσαράκοντα ἐνιαυτοὺς τοῦ κράτους ἐχόμενος, πολλὰς ἀνεδή-
σατο νίκας· καὶ γέγονεν ὁποῖος οὔπω πρότερον ἄλλος τῶν παρὰ
Πέρσαις βεβασιλευκότων ἀναδέδεικται, εἴγε τῷ παντὶ ἑκάστῳ
συγκρίνοιτο, οὐδὲ εἰ Κῦρον εἴποι τις ἂν τὸν Καμβύσου, οὐδὲ
Δαρεῖον Ὑστάσπεω, οὐδὲ μὴν Ξέρξην ἐκεῖνον, τὸν ἱππήλατον B
μὲν δεικνύντα τὴν θάλατταν, ἐν δὲ τοῖς ὄρεσι ναυτιλλόμενον.
πλὴν ἀλλὰ τοιοῦτός γε ὢν, ἀκλεής γε αὐτῷ ἡ τοῦ βίου κατα-
στροφὴ γέγονεν, καὶ οἰκτρὰ καὶ τῶν φθασάντων ἀλλοτριω-

1. *καὶ* ins. ex R. 5. *συνηνέχθη* R. 18. *εἴτε* R., Intpr. *vel si.* 19. *εἴπῃ* R.

similibus aut maioribus calamitatibus fuit immersus. Nam ab Oreste circumventus, fugit ex Italia, purpura exutus, quam nunquam recuperavit, sed inter privatos degens interiit. Adeo inopinatae mutationes tum temporis potentissimis regibus acciderunt. Causas vero harum mutationum quaerant, qui abditarum rerum occulta principia investigare consueverunt, et quascunque voluerint proferant, mihi vero, unde digressus sum, est redeundum. Mortuo enim Cavade quinto anno, ex quo Iustinianus Romanis imperarat, Chosroës ille, maximi apud nos nominis, paternum suscepit imperium, et plurimas maximasque res gessit; quarum nonnullae a Procopio rhetore sunt conscriptae; reliquae vero partim iam a me dictae sunt, aliae consequenter dicentur. Ut autem continuata temporum series exactissime observetur, in praesentia duntaxat dicam, quod per octo et quadraginta annos, quibus imperio potitus est, multis decoratus fuerit victoriis, talisque evaserit, qualis ante eum ex Persarum regibus nemo, si cum singulis eorum comparetur; ne si Cyrum quidem Cambysae filium aliquis nominaverit, aut Darium Hystaspis, sed neque Xerxem illum, qui mare equis, montes navibus reddidit pervios. Ceterum talis ac tantus cum fuerit, inglorium et miseran-

A. C. 556 τάτη. ἐτύγχανε μὲν γὰρ ἐν τῷ τότε ἀμφὶ τὰ Καρδούχια ὄρη
L. I. 30 ἐς κώμην Θαμανῶν διὰ τὴν τοῦ θέρους ὥραν καὶ τὴν τῶν τόπων εὐκρασίαν μεταβάς τε καὶ ἐνδιαιτώμενος. Μαυρίκιος δὲ ὁ Παύλου, ὑπὸ Τιβερίου Κωνσταντίνου τοῦ Ῥωμαίων αὐτοκράτορος ἄρχειν τῶν κατὰ τὴν ἕω ταγμάτων προστεταγμένος, εἰσέβαλεν ἀθρόον ἐς τὴν Ἀραξιανηνὴν χώραν, πρόσοικον οὖσαν τῇ τῆς κώμης περιοικίδι καὶ ἀγχιτέρμονα· καὶ δῆτα οὐκ ἀνίει δῄων ἅπασαν ἀφειδῶς καὶ ληϊζόμενος. περαιωθεὶς δὲ τὰ
C ῥεῖθρα τοῦ Ζίρμα ποταμοῦ, ἀνὰ τὰ πρόσω ἔτι ἐχώρει, καὶ τὰ ἐν ποσὶν ἐλεηλάτει καὶ ἐνεπίμπρα. οὕτω δὲ αὐτοῦ ἄρδην ἅπαντα καταστρεφομένου καὶ ξυγκυκῶντος, ὁ Χοσρόης, (οὐ πόῤῥω γὰρ ἦν, ἀλλ' ὅσον ἀρθεῖσαν ἤδη θεᾶσθαι τὴν φλόγα,) οὐκ ἤνεγκεν τὴν ὄψιν τοῦ πολεμίου πυρός, ἐπεὶ μήπω πρότερον ἑωράκει. τοιγάρτοι αἰδοῖ τε καὶ δέει καταπεπληγμένος, οὔτε ἀντεξῄει, οὔτε ἠμύνετο· ἀλλὰ τοῖς προσπεσοῦσι πέρα τοῦ μετρίου περιαλγήσας, καὶ οἷον ἀπειρηκὼς ταῖς ἐλπίσιν, αὐτίκα νόσῳ ἥλω ὑπὸ δυσθυμίας δεινῇ τε καὶ ἀνηκέστῳ. καὶ τοίνυν
D φοράδην ἀχθεὶς μετὰ τάχους πολλοῦ εἰς τὰ ἐν Σελευκείᾳ καὶ Κτησιφῶντι βασίλεια, καὶ φυγὴν τὴν ἀναχώρησιν ποιησάμενος, οὐκ ἐς μακρὰν καταλύει τὸν βίον.

3. ἐνδιαιτώμενος R., διαιτώμενος vulg. 4. αὐτοκράτορος R., βασιλέως vulg. 6. ἀθρόως R. Ἀρξιανὴν R. et in mg. Ἀραξιανὴν, Intpr. *Arxianum agrum.* 7. κώμης R. et Intpr. *contiguus circumiectis vico.* χώρας vulg. 8. ἀνήει R. δῄων R., δηΐων vulg. 12. Pro ἀρθεῖσαν ἤδη R. ἂν ἤδηθείαν.

dum, et ab ante actis ipsius rebus gestis alienissimum habuit vitae exitum. Cum enim per id tempus circa Carduchios montes versans in vicum Thamanorum propter aestivum tempus et illorum locorum temperiem transisset, ibique commoraretur, Mauritius Pauli F. a Tiberio, Constantini Romanorum regis filio, legionibus Orientalibus praeesse iussus, repente in agrum Araxianum irruit, qui finitimus conterminusque erat ditioni, qui vico illi erat circumiectus, neque ullum vastandi universam ac depraedandi finem faciebat: traiecto vero Zirma flumine in anteriora procedebat, cuncta vero flamma rapinisque miscens. Omnia itaque funditus evertente ac devastante Mauritio, Chosroës (neque enim longe aberat, sed tantum, ut in altum elatam flammam prospicere posset) hostilis ignis adspectum nequaquam tulit, siquidem nunquam antea eum viderat. Quocirca pudore simul ac metu perculsus, neque obviam ivit, neque sua tuebatur; sed ingenti quodam atque immoderato dolore in animo suo ex ea strage concepto, et quodammodo in desperationem adductus, confestim gravi incurabilique morbo prae moerore est correptus. Quapropter lectica elatus quam celerrime in Seleuciae et Ctesiphontis regia palatia, recessu fugae simili facto, non multo post excessit e vita.

λ'. Ἀλλὰ γὰρ οὐκ οἶδα ὅντινά με τρόπον ἡ τοῦ λόγου A. C. 556
φορὰ παραλαβοῦσα, καὶ τῷ ἀξιαγάστῳ, οἶμαι, τῶν πράξεων I. I. 30
ἡδομένη, ἐς τόδε ἤγαγε προπετείας, ὡς τὰ ἐν μέσῳ ὑπερβάντα
τῶν πορρωτάτω ἐπιμνησθῆναι. οὐκοῦν ἐπειδὴ νῦν γοῦν ἐπέ-
γνων ὅποι ἀφῖγμαι, καὶ ὅθεν ἐξέβην, ἐκεῖνα μὲν ἐατέον πρὸς
τὸ παρὸν, ἐν τοῖς οἰκείοις ἀναγραφησόμενα χωρίοις· ἐπανήξω δὲ
αὖθις ἐς τὸ ξυνεχὲς καὶ ἀκόλουθον τῶν προτέρων. ἥ τε γὰρ τῶν
Περσικῶν βασιλέων διαδοχὴ καὶ ὁ τῶν ἐνιαυτῶν κατάλογος,
καὶ, συλλήβδην φάναι, ἅπαν μοι τὸ ἐπηγγελμένον ξυνετελέσθη. P. 141
οἴομαι δὲ ἄγαν ἀληθῆ ταῦτα καθεστάναι καὶ ἐς τὸ ἀκριβὲς ἐκ- V. 99
πεπονημένα, ὡς δὴ ἐκ τῶν Περσικῶν βίβλων μεταληφθέντα.
Σεργίου γὰρ τοῦ ἑρμηνέως ἐκεῖσε γενομένου, καὶ τοὺς τῶν
βασιλικῶν ἀπομνημονευμάτων φρουρούς τε καὶ ἐπιστάτας με-
ταδοῦναί οἱ τῆς περὶ ταῦτα γραφῆς ἐκλιπαρήσαντος, (πολλά-
κις γὰρ αὐτὸν ἐς τοῦτο προτρέψας ἐτύγχανον,) προσθέντος δὲ
καὶ τὴν αἰτίαν, ὡς οὐκ ἄλλου του χάριν ζητοίη τῶνδε τυχεῖν,
ἢ ὥστε καὶ παρ' ἡμῖν ἀνάγραπτα ἔσεσθαι τὰ σφίσιν ἐγνωσμέ-
να καὶ τίμια, παρέσχον εὐθὺς εὖ γε ποιοῦντες ἐκεῖνοι, οὐκ
ἄχαρι τὸ χρῆμα ἡγούμενοι εἶναι, ἀλλὰ καὶ πρὸς εὐκλείας τοῖς
σφῶν βασιλεῦσιν ἐσόμενον, εἰ μέλλοιεν καὶ παρὰ Ῥωμαίοις B

3. ἀδομένη R. pro ἡδομένη. 4. πορρωτάτω R., πορρωτέρω vulg. 6. ἀναγραφησόμενα R. Lugd. 2. m. et Intpr. *ut — describendis.* Vulg. ex pr. m. Lugd. ἃ ἐν τοῖς οἰκ. ἀναγραφησόμεθα. χωρίοις R. et Intpr. *suis locis*, χρόνοις vulg. 10. ἀληθῆ ἄγαν R. καθεστάντα R. 11. βίβλων R., βιβλίων vulg. 15. προσθέντος R., προθέντος vulg. 19. ἡγούμενοι εἶναι R., εἶν. ἡγούμ.. vulg.

30. Sed nescio quo pacto me orationis decursus abreptum, rerumque memoratu dignarum voluptate delinitum, eo praecipitantiae adduxerit, ut omissa rerum praesentium tractatione, remotiora sim persecutus. Quocirca cum nunc sciam quo pervenerim et unde fuerim digressus, illa quidem iam sunt omittenda, quae suis temporibus conscribemus: ad praecedentium autem rerum continuatam congruentemque narrationem revertar. Persicorum enim regum successionem et annorum numerum, et, ut uno verbo dicam, universum id, quod promiseram, iam absolvi. Et quidem vera esse quae dixi, puto, accurateque elaborata, utpote e Persicis libris desumta. Cum enim Sergius ille interpres illic ageret, et regiorum annalium custodes ac praefectos obnixe rogasset, ut secum illa scripta communicarent, (frequenter enim ego illum ad hoc eram hortatus,) causam vero etiam adiecisset, quam non aliam esse declarabat, quam ut etiam apud nos litterarum monumentis commendarentur ipsorum instituta, quaeque in pretio haberent; statim illi recte facientes, eius petitioni annuerunt, rem non ingratam fore rati, immo vero ad regum suorum gloriam pertinentem, si etiam

A. C. 556 γινώσκεσθαι, ὁποῖοί τε γεγόνασι καὶ ὁπόσοι, καὶ ὅπως ἡ τοῦ
I. I. 30 γένους αὐτοῖς ἀποσέσωσται τάξις. λαβὼν οὖν ὁ Σέργιος τά τε ὀνόματα καὶ τοὺς χρόνους, καὶ τῶν ἐπ' αὐτοῖς γεγενημένων τὰ καιριώτατα, καὶ μεταβαλὼν εὐκόσμως εἰς τὴν Ἑλλάδα φωνήν, (ἦν γὰρ δὴ ἑρμηνέων ἄριστος ἁπάντων, καὶ οἷος ὑπ' αὐτοῦ Χοσρόου θαυμάζεσθαι, ὡς ἐν ἑκατέρᾳ πολιτείᾳ τὰ πρωτεῖα λαχὼν τῆς ἐπιστήμης,) εἰκότως οὖν ἀκριβεστάτην ποιησάμενος τὴν μετάφρασιν, ἀπεκόμισέ τέ μοι ἅπαντα μάλα πιστῶς καὶ φιλίως, καὶ προὔτρεψε διανύειν τὴν αἰτίαν, ἐφ' ἧπερ αὐτὰ
C καὶ παρείληφε. καὶ τοίνυν διήνυσται. ὥστε εἰ καὶ Προκοπίῳ τῷ ῥήτορι ἔνια τῶν ἐπὶ Καβάδῃ ἀφηγηθέντων ἑτέρως ἀπήγγελται, ἀλλ' ἡμῖν ἀκολουθητέον τοῖς Περσικοῖς χρονογράφοις, καὶ τῶν ἐν αὐτοῖς φερομένων ὡς ἀληθεστέρων ἀντιληπτέον. τοσούτου δὴ οὖν ἡμῖν τοῦ πόνου τελεώτατα ἐξειργασμένου, φέρε πρὸς αὐτὴν αὖθις ἐπανίωμεν τὴν τῆς ἱστορίας ξυνέχειαν, ἣν ἐκ τῶν ἀμφὶ τὴν Λαζικὴν γεγενημένων διατεμόντες, ἐς τάδε ἀφίγμεθα. οὕτω μὲν δὴ οὖν ὁ Ναχοραγὰν διὰ τὸ ἀγεννὲς τοῦ τρόπου, καὶ τὸ νενικῆσθαι ἀνὰ κράτος ὑπὸ Μαρτίνου τε καὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων, καὶ τὴν ἐς Ἰβηρίαν αἰσχρὰν ἀναχώρησιν, ὠμότατα διεφθάρη καθ' ὃν ἤδη μοι πρότερον

4. καιριώτατα R., καιριώτερα vulg. 9. φιλίως R., φίλως vulg. 11. ἀφηγηθέντων R., ἀφηγημένων vulg. 12. χειραγράφοις (sic) R., Intpr. *scripta*. 14. τοσούτου R. et Intpr. *tantum laboris*, τούτου vulg. ἐξηργασμένου R., ἐξειργ. edd. 16. διατεμόντες R. et Intpr. *quam — occoeptam intercidimus*, διατελοῦντες vulg. 20. πρότερον εἶρ. τρ. R., τρόπ. εἶρ. πρ. vulg.

Romanis innotesceret, quales et quot fuerint, et quo pacto generis series ipsis sit conservata. Sergius itaque, acceptis eorum nominibus et temporibus et praecipuis insignioribusque ipsorum rebus gestis, iisque scite in linguam Graecam conversis, (erat enim interpretum omnium optimus, quemque Chosroës ipse admirabatur ut in utraque re publica eruditorum interpretum principem,) perfectissimaque, uti verisimile est, interpretatione a se confecta, ad me omnia fideliter amiceque detulit hortatusque est, ut causae, ob quam haec monumenta a Persis acceperat, satisfacerem effectuique darem; quod et nunc a me praestitum perfectumque est. Quocirca tametsi nonnulla eorum, quae de Cavade commemorata sunt, aliter a Procopio rhetore narrantur, nobis Persici annalium scriptores potius sunt sequendi, quaeque ii scribunt, ut veriora tenenda. Hoc itaque labore nobis perfectissime absoluto, age ad continuandam historiam redeamus, quam interrupta narratione rerum in Lazico gestarum, huc usque perduximus. Hoc itaque pacto Nachoragan ob suam vecordiam, et quod per vim esset victus a Martino et Romanis copiis, et ob turpem in Iberiam fugam, crudelissima morte

εἴρηται τρόπον. λογιζόμενος δὲ ὁ Χοσρόης, ὡς οὐχ οἷόντε αὐτῷ A. C. 556 ἀνὰ τὴν Κολχίδα γῆν πρὸς Ῥωμαίους παρατάττεσθαι, τῶν I. I. 30 μὲν τῆς θαλάττης κρατούντων, καὶ ἅπαντα, ὧν ἂν δέοιντο, ῥα- D δίως ἐνθένδε μεταπεμπομένων, αὐτοῦ δὲ διὰ μακρᾶς ὁδοῦ καὶ ἐρήμου μόλις τοῖς στρατοπεδεύουσιν ἐλάχιστα γοῦν τῶν ἐδωδίμων ὑπὸ ἀχθοφόροις ἀνδράσι τε καὶ ὑποζυγίοις χαλεπώτατα στέλλειν ἀναγκαζομένου· ταῦτα δὴ οὖν ἐπισκοπῶν, ἔγνω τὸν ὅλον πόλεμον καταθέσθαι, ὡς ἂν μὴ ἐπιπλεῖστον αὐτοῖς ἡ εἰρήνη χωρίοις τισὶ περιοριζομένη, ἀτελὴς καὶ οἷον σκάζουσα διαμένοι, ἀλλ' ὁμοίως ἁπανταχοῦ ἐπιῤῥωσθείη. καὶ τοίνυν ἐκπέμπει ἐπὶ τῇ πρεσβείᾳ ἐς τὸ Βυζάντιον ἄνδρα Πέρσην τῶν σφόδρα παρ' αὐτοῖς λογιμωτάτων, ὄνομα δὲ ἦν αὐτῷ Ζίχ. P. 142 οὗτος δὲ ὁ Ζὶχ ἀφικόμενος καὶ παρελθὼν ὡς Ἰουστινιανὸν βασιλέα, πολλὰ μὲν ἔφη τῶν παρόντων πέρι, πολλὰ δὲ ἀκήκοε· καὶ πέρας ἐς τόδε ξυνηλθέτην, ἐφ' ᾧ Ῥωμαίους τε καὶ Πέρσας κατέχειν μὲν ἅπαντα, ὧν ἤδη ἐτύγχανον κατὰ τὴν Λαζῶν χώραν πολέμου θεσμῷ ἐπειλημμένοι, εἴτε πολίσματά γε εἴτε φρούρια εἶεν, ἡσυχίαν δὲ ἄγειν ἐφ' ἑαυτῶν, καὶ ἥκιστα κατ' ἀλλήλων παρατάττεσθαι, ἕως ἐς ἕτερόν τι μεῖζον B καὶ τελεώτερον τὸ ἑκατέρωθεν ἄρχον συμβαίη. ὁ μὲν οὖν Ζὶχ οὕτω τὰ τῆς πρεσβείας διαπραξάμενος, ἀπενόστησεν ἐς τὰ

1. Quae sequuntur, sine ulla varietate leguntur in Cod. Bavar. Excerptorum de legationibus. 3. θαλάσσης R. 9. σκάζουσθαι R. 10. ἐπιρωσθείη R. 12. λογισμωτάτων R. 17. χώραν add. ex R. et Intpr., abest vulg. et Exc. 19. ἐς om. R.

P 152 πητὴν καὶ ἐρίγδουπον, καὶ πρός γε Ποσειδῶνα τὸν ἐννοσί-
γαιον διαμάχεσθαι. καλὰ μὲν οὖν τῆσδε τῆς τέχνης καὶ αὐτὰ
δήπου τὰ ἀθύρματα· οὐ μὴν ἀνάγκη τὴν φύσιν ἕπεσθαι τού-
τοις καὶ ἐξισοῦσθαι. πλὴν ἀλλ' ἕκαστος μὲν ἐχέσθω καὶ τῶν-
δε πέρι ὁποίας ἂν καὶ βούλοιτο γνώμης· ἐμοὶ δὲ ἐς τὸν πρό-
τερον λόγον ἐπανιτέα.

4. ἀντερείδων add. ex R. et Intpr. *solis oppositum radiis.* 11. τὰ πόδε R. 17. Ποσειδῶνα om. R. et Intpr., qui vertit inepte: *et terram ipsam concutientem.* ἐννοσίγαιον R., ἐνοσίγ. vulg. 21. ὁποίαν — γνώμην R.

nonem machinatus est, sed et fulgura et tonitrua in domum torsit. Discum enim in speculi speciem comparatum modiceque excavatum radiisque solis oppositum splendore implebat; ac deinde aliorsum transferens, ingentem confestim in domum eiaculabatur splendorem, adeo ut omnium, in quos ferebatur, obtutum perstringeret atque obtunderet. Corporum etiam quorundam, quae valde essent sonora, collisiones complosionesque excogitans, immanes quosdam et tonitruo similes fragores edebat percellendo sensui aptos; adeo ut Zeno, cum aegre tandem intellexisset, unde singula fierent, palam ad pedes Imperatoris provolutus, vicinum accusarit ut improbum et sceleratum: adeo ut et gratiosum quoddam atque elegans dictum ira ipsi excusserit. Poëticis enim quibusdam verbis alludens coram senatu proclamabat, veluti per ironiam et cavillum: se, homo cum esset, non posse adversus utrumque pariter, Iovem fulminatorem et gravitonantem, et adversus Neptunum terrae concussorem pugnare. Pulchra quidem igitur sunt huiusce artis effecta, quantumvis ludicra; necesse tamen non est, naturam haec sequi iisque exaequari. Ceterum de his rebus quam quisque voluerit sententiam teneat; mihi vero ad priorem narrationem est redeundum.

9. Ἐκείνου μὲν γὰρ τοῦ χειμῶνος ἐν τοῖσδε ἡ πόλις A. C. 557 ἐτύγχανεν οὖσα, καὶ ἅπασιν ἐπὶ πλείστας ἡμέρας σείεσθαί πως I. I. 31 ἐδόκει τὸ ἔδαφος, καὶ ταῦτα ἀτρεμοῦν ἤδη καὶ πεπαυμένον. ἔναυλον γὰρ ταῖς ψυχαῖς ὑπῆρχε τὸ πάθος, καὶ ὑποψία ἐνέκειτο ὑποθολοῦσα τὸ λογιζόμενον. ὁ δὲ βασιλεὺς πολλὰ τῶν οἰκοδομημάτων τὰ μὲν σαθρὰ καὶ ἀσθενῆ γεγενημένα, ἔνια B δὲ ἤδη καὶ καταπεπτωκότα, ἐπανορθοῦν ἐπειρᾶτο. ἐπεφρόντιστο δέ οἱ ἐς τὰ μάλιστα ὁ μέγιστος τοῦ Θεοῦ νεώς· τοῦτον δὲ πρότερον ἐμπρησθέντα ὑπὸ τοῦ δήμου, σφόδρα περιοφανῆ καὶ θαυμάσιον ἡλίκον ἐκ βάθρων αὐτῶν καὶ κρηπίδων ἀνεδομήσατο, μεγέθους τε ὑπερβολῇ καὶ σχήματος εὐπρεπείᾳ καὶ ποικιλίᾳ μετάλλων ἐπικοσμήσας· ἤρειψε δὲ αὐτὸν ἐκ πλίνθου ὀπτῆς καὶ τιτάνου, πολλαχοῦ καὶ σιδήρῳ συνδήσας, ξύλοις τε ἥκιστα χρησάμενος, ὡς ἂν μηκέτι εὐχολώτατα πυρπολοῖτο. Ἀνθέμιος δὲ ἦν οὗτος ἐκεῖνος, οὗ δὴ ἀρτίως ἐπεμνήσθην, ὁ ἕκαστα μηχανησάμενος καὶ δημιουργήσας. τότε δὲ αὐτὸν ὑπὸ τοῦ κλόνου τὸ μεσαίτατον μέρος τῆς ὀροφῆς καὶ ἅπαντα ὑπερβάλλον ἀποβεβληκότα, ἐπεσκεύασέ τε αὖθις C ὁ βασιλεὺς βεβαιότερον, καὶ ἐπὶ μεῖζον ὕψος ἐξῆρε· καίτοι Ἀνθέμιος μὲν ἐκπλείστου ἐτεθνήκει, Ἰσίδωρος δὲ ὁ νέος καὶ οἱ ἄλλοι μηχανοποιοὶ τὸ πρότερον ἐν ἑαυτοῖς ἀναθεωρήσαντες σχῆμα, καὶ τῷ σωζομένῳ τὸ πεπονθὸς ὁποῖόν τε ἦν καὶ

7. ἤδη καὶ R., καὶ ἤδη vulg. ἐπέων φρόντιστο R. pro ἐπεφρ.
14. μηκέτι R. et Intpr. *ne de cetero* etc., μὴ vulg.

9. Per hanc enim hiemem hisce malis civitas premebatur, incolisque omnibus per multos dies concuti adhuc pavimentum videbatur, tametsi quietum iam sedatumque esset. Insederat enim hominum animis hoc malum, et suspicio in eis radices egerat, ratiocinationi tenebras offundens. Imperator vero multa aedificia, quae partim vitium fecerant, partim iam corruerant, instaurare adnitebatur. Praecipuae autem curae ipsi erat augustissimum illud Dei templum. Hoc vero antea a plebe succensum, valde conspicuum atque admirandum ab ipsis fundamentis iterato exstruxerat, magnitudinisque excellentia et formae decore et varietate metallorum ornatius reddens; cinxit vero id ipsum ex latere cocto et calce, quae passim ferro inter se colligarat, lignis nequaquam usus, ne facillime conflagraret. Anthemius vero hic ipse erat, cuius paulo ante mentionem feci, qui singula et artificiose excogitabat et exstruxerat. Tum vero mediam maxime ipsius tecti partem collapsam, quaeque altitudine omnia, quae corruerant, superabat, Imperator firmiorem reddidit, et in maiorem altitudinem sustulit. Atque Anthemius quidem iam dudum obierat. Isidorus autem iunior aliique fabricarum structores priorem in semetipsis formam contemplantes, et ex eo, quod integrum manserat, id quod affectum erat quale esset, quidque vitii habuisset cognoscentes,

A. C. 557 I. I. 31 ἐς ὅ, τι δήπου ἡμάρτητο ἐπιφρασάμενοι, τὴν μὲν ἑῴαν τε καὶ ἑσπερίαν ἁψῖδα οὕτω μένειν κατὰ χώραν ἐφῆκαν· τῆς δὲ ἀρκτῴας τε καὶ νοτίας τὴν ἐπὶ τοῦ κυρτώματος οἰκοδομίαν πρὸς τὰ ἔνδον παρατείναντες, καὶ εὐρυτέραν ἠρέμα ποιησάμενοι ὡς μᾶλλον ἁρμοδιώτατα ταῖς ἄλλαις συννενευκέναι, καὶ D ὁμολογεῖν τὴν ἰσόπλευρον ἁρμονίαν, περιστεῖλαι ταύτῃ δεδύνηνται τὴν τοῦ κενώματος ἀμετρίαν, καὶ ὑποκλέψαι βραχύ τι τῆς ἐκτάσεως μέρος, ὁπόσον ἑτερόμηκες ἀπετελεῖτο σχῆμα, οὕτω τε ἐπ' αὐτῶν ἥδρασαν πάλιν τὸν ἐν μέσῳ ὑπερανέχοντα, εἴτε κύκλον, εἴτε ἡμισφαίριον, εἴτε ὁτῳδηοῦν ὀνόματι παρ' αὐτοῖς ἐπικεκλημένον. καὶ γέγονεν ἐντεῦθεν εἰκότως ἰθύτερος μὲν καὶ εὐεπίστροφος, καὶ πανταχόθεν τῇ γραμμῇ ἐξισάζων, στενώτερος δὲ καὶ ὀξυτενής, καὶ οἷος οὐχ οὕτω λίαν ἐκπλήττειν τοὺς θεωμένους ὡς πάλαι, πολλῷ δὲ ὅμως πλέον ἐν τῷ ἀσφαλεῖ βεβηκέναι. ὧν μὲν οὖν ἔδει ἐν ξυγγραφῇ τοῦ νεὼ P. 153 πέρι ἐπιμνησθῆναι, καὶ ἐφ' ἃ ἡ τοῦ λόγου φορὰ ἵκετο ἀκολούθως περιαγομένη, ταῦτα ἔμοιγε ἀποχρώντως ἐκδεδιήγηται. ἐγκωμιάζειν γὰρ ἕκαστα τῶν τοῦδε θαυμάτων καὶ ἐπιδεικνύειν τῷ λόγῳ, περιττὸν ἂν εἴη καὶ οὐ τοῦ παρόντος ἴδιον ἔργου. εἰ δέ τις ἐθέλοι πόῤῥω που τυχὸν τῆς πόλεως ἀπῳκισμένος ἔπειτα γιγνώσκειν σαφῶς ἅπαντα, καθάπερ παρὼν καὶ θεώμενος, ἀναλεγέσθω τὰ Παύλῳ τοῦ Κύρου τοῦ Φλώρου

9. αὐτῶν R. et Intpr. *his — aedificatis desuper*, αὐτῷ vulg. ἥδρασαν emend. Cl., ἤδρασαν R. et vulg. 10. ὁτῳδηοῦν τῷ R. 13. στενότερος R. et vulg. δὲ om. R. 19. περισσομένη R. 22. τοῦ ante Κύρου add. ex R. Φλόρου R., Φόρου Lugd. et ed. pr.

fornicem orientalem et occidentalem suo ut erat loco reliquerunt, septentrionali vero et australi, quae super curvatûram erat structuram, introrsum porrigentes, pauloque latiorem efficientes, ut quam aptissime cum aliis quadraret, aequilateramque compagem prae se ferret, eaque ratione vacuitatis nimietatem coarctare possent, et exiguam aliquam extensionis partem detrahere, in quantum diversae longitudinis figura efficeretur. Atque ita desuper firmarunt, qui in medio est positus, sive orbem, sive hemisphaerium, sive alio quocunque nomine ab ipsis appellatur. Factusque inde est verisimiliter directior quidem facileque versatilis, omnique ex parte ad amussim quadrans; angustior vero et in acutum tendens, quique non ita valde percellat spectatores, ut olim, multo vero tutius obfirmatus. Quorum itaque oportebat in historia de templo meminisse, et ad quae ipsa narrationis series consectaneae circumacta pervenerit, ea mihi abunde satis sunt explicata. Laudare enim singula, quae in eo sunt admiranda, et oratione persequi, supervacaneum fuerit, neque huius operis proprium. Si quis autem voluerit procul fortassis ab urbe degens aperte cognoscere omnia, veluti praesens et spectans, perlegat quae Paulus Cyri

ἐν ἑξαμέτροις πεπονημένα, ὃς δὴ ταπρῶτα τελῶν ἐν τοῖς A. C. 557
ἀμφὶ τὸν βασιλέα σιγῆς ἐπιστάταις, γένους τε κοσμούμενος I. I. 31
δόξῃ καὶ πλοῦτον ἄφθονον ἐκ προγόνων διαδεξάμενος, ὅμως V. 107
παιδεία γε αὐτῷ καὶ λόγων ἄσκησις διεσπούδαστο· καὶ ἐπὶ
τοῖσδε μᾶλλον ηὔχει καὶ ἐσεμνύνετο. καὶ τοίνυν πεποίηταί οἱ
καὶ ἄλλα ὡς πλεῖστα ποιήματα μνήμης τε ἄξια καὶ ἐπαίνου, B
δοκεῖ δέ μοι τὰ ἐπὶ τῷ νεῷ εἰρημένα μείζονός τε πόνου
καὶ ἐπιστήμης ἀνάπλεα καθεστάναι, ὅσῳ καὶ ἡ ὑπόθεσις θαυ-
μασιωτέρα. εὑρήσεις γὰρ ἂν ἐν αὐτοῖς τὴν ὅλην τῆς θέσεως
εὐκοσμίαν, καὶ τὰς τῶν μετάλλων φύσεις λεπτότατα κατεξη-
τασμένας, τῶν τε προτεμενισμάτων τὸ εὐπρεπὲς ἅμα καὶ ἀναγ-
καῖον, μεγέθη τε καὶ ὑψώματα, καὶ ὅσα ἰθύγραμμα σχή-
ματα καὶ ὅσα κυκλικὰ, καὶ ὅσα ἐκκρεμῆ καὶ προτεταμένα.
γνοίης δὲ ἂν ἐκ τῶν ἐπῶν καὶ ὅπως ἀργύρῳ τε καὶ χρυσῷ
τὸ ἱερώτερον χωρίον καὶ τοῖς ἀποῤῥήτοις ἀποκεκριμένον, πο-
λυτελέστατα καταπεποίκιλται, καὶ εἴ τι ἄλλο πρόσεστι μέγα ἢ
ἐλάχιστον γνώρισμα, οὐ μεῖον ἢ οἱ θαμὰ ἐν αὐτῷ περιπάτους C
ποιούμενοι καὶ ἅπαντα διασκοποῦντες. ἀλλὰ γὰρ ἥδε μὲν ἡ
δευτέρα τοῦ νεὼ ἐπισκευὴ καὶ ἀνόρθωσις ὀλίγῳ ὕστερον
χρόνῳ ἀπείργασται καὶ ξυνετελέσθη.

ι. Ἐκείνου δὲ τοῦ ἔτους ἅμα ἦρι ἀρχομένῳ ἡ λοιμώ- A. C. 558
δης νόσος αὖθις τῇ πόλει ἐνέπεσε, καὶ μυρία διέφθειρε πλή- I. I. 32

1. τοῖς ἀμφὶ R., τοῖς τῆς ἀμφὶ vulg. 4. παιδίᾳ R. 7. δέ μοι R., μοι δὲ vulg.

Flori filius hexametris versibus conscripsit, qui quidem primicerius exsistens regiorum silentiariorum, et generis gloria clarus, amplissimasque a maioribus suis opes adeptus, doctrinae tamen eloquentiaeque magnam operam impenderat, quibus et magis gloriabatur et decorabatur. Scripsit itaque etiam alia quamplurima poëmata memoratu digna et laude. Videntur autem mihi quae de templo scripsit, tanto maiore et labore et scientia referta, quanto et argumentum ipsum est admirabilius. Comperies enim in iis universum situs concinnaeque dispositionis ordinem et metallorum naturas subtilissime exploratas; vestibulorum etiam templi elegantiam pariter et utilitatem, magnitudines quoque et altitudines, quotquot etiam sunt figurae in altum directae, et quotquot orbiculares, quotquot etiam pensiles et protensae. Cognoveris quoque e carminibus, quo pacto argento pariter atque auro sacratior locus et mysteriis separatim destinatus sumptuosissime sit exornatus, et si quod est aliud magnum aut minimum ornamentum, nihilo minus, quam qui crebro in eo obambulant omniaque inspectant. Atqui secunda haec templi refectio atque instauratio brevi post tempore instituta perfectaque est.

10. Eodem vero anno statim ineunte vere pestilentia iterum urbem invasit, et infinitam multitudinem sustulit; quae quidem nun-

A. C. 558 θη, λήξασα μὲν ἐς τὸ παντελὲς οὐδ' ὁπωστιοῦν, ἐξ οὗ δὴ I. I. 32 τὴν ἀρχήν, φημὶ δὴ κατὰ τὸ πέμπτον ἔτος τῆς Ἰουστινιανοῦ βασιλείας, ἐν τῇ καθ' ἡμᾶς εἰσήῤῥησεν οἰκουμένῃ. μεταβᾶσα δὲ πολλάκις μεταξὺ ἄλλοτε ἄλλοθι, καὶ τόπον ἐκ τόπου λυ- D μηναμένη, καὶ ταύτῃ τοῖς λειπομένοις ἀνακωχῆς τινος μεταδοῦσα, τότε δὴ οὖν πάλιν ἐς τὸ Βυζάντιον ἐπανῆκεν, ὥσπερ, οἶμαι, τὸ πρότερον ἐξηπατημένη, καὶ θᾶττον δήπου τοῦ δέοντος ἐνθένδε ἀπαλλαγεῖσα. ἔθνησκον τοιγαροῦν πολλοὶ ἐξαπιναίως καθάπερ ἀποπληξίᾳ ἰσχυρᾷ κάτοχοι γεγενημένοι· οἱ δέ γε πλεῖστον διαρκοῦντες μόλις πεμπταῖοι ἀπώλλυντο. ἡ δὲ τῆς νόσου ἰδέα παραπλησία τῇ πρεσβυτέρᾳ ἐτύγχανεν οὖσα. πυρετοὶ γὰρ ἐπὶ βουβῶσιν ἀνήπτοντο συνεχεῖς καὶ οὐκ ἐφήμεροι, οὐδὲ μετρίως γοῦν ὑποχαλῶντες, μόνῃ δὲ τῇ τελευτῇ τοῦ ἁλόντος ἀποπαυόμενοι. ἔνιοι δὲ μήτε θέρμης ἡγησαμένης, μήτε ἄλλου ἀλγήματος, ἀλλὰ δρῶντες ἔτι τὰ εἰθισμένα, οἴ- P. 154 κοι τε καὶ ἀνὰ τὰς λεωφόρους οὕτω παρασχὸν κατέπιπτον, καὶ ἀθρόον ἄπνοι ἐγίγνοντο, ὥσπερ τὸν θάνατον σχεδιάσαντες· καὶ ἅπασα μὲν ἡλικία χύδην ἐφθείρετο, μάλιστα δὲ τὸ ἀκμάζον τε καὶ ἡβάσκον, καὶ ἐν τούτῳ πλέον οἱ ἄῤῥενες· τὸ γὰρ δὴ θῆλυ οὐ μάλα ὅμοια ἔπασχε. τὰ μὲν οὖν παλαίτατα τῶν Αἰγυπτίων λόγια, καὶ οἱ παρὰ Πέρσαις ἔτι τῆς τῶν μετεώρων κινήσεως δαημονέστατοι, χρόνων τινῶν περιόδους ἐν

1. *δὴ* om. R. 6. *πάλιν ἐς τ. Β.* R., *ἐς τ. Β. πάλ.* vulg. 8. *πολλοὶ* add. ex R. et Intpr. *quam multi*. 9. *ἰσχυρᾷ* — *παραπλησία* om. R. 13. *τελευτῇ* excidit in Par.

quam penitus cessarat, ex quo primum, circa quintum, inquam, imperii Iustinianei annum, in nostrum orbem irrepserat; frequenter vero alio atque alio se transferens, et locum e loco infestans, atque ita reliquis veluti inducias quasdam concedens, tum rursus Byzantium rediit, veluti antea, uti crediderim, decepta, quaeque citius, quam oportebat, inde migrasset. Mortui itaque sunt repente veluti gravi quadam apoplexia correpti. Qui vero plurimum vim morbi sustinebant, ultra quintum diem non supervivebant. Morbi autem species veteri erat persimilis. Febres enim cum bubonibus accendebantur continuae, et non quotidianae, neque vel modicum remittentes, sed solo eius, quem corripuerant, interitu cessantes. Nonnulli vero neque aestu febrili, neque alio dolore praecedente, sed quae consueverant agentes et domi et in plateis, ita cogente necessitate corruebant, repente exanimes facti, veluti ex temporaria morte accersita. Cuiusvis itaque aetatis homines promiscue interibant, praecipue vero iuvenes ac puberes, atque ex his potissimum mares: feminae enim non perinde hisce malis erant obnoxiae. Vetustissima itaque Aegyptiorum oracula, et qui apud Persas coelestium motuum

τῷ ἀπείρῳ αἰῶνι συμφέρεσθαι λέγουσι· νῦν μὲν ἀγαθὰς καὶ A. C. 558
εὐδαίμονας, νῦν δὲ μοχθηρὰς καὶ ἀποφράδας, εἶναί τε τὴν I. I. 32
παροῦσαν περιφορὰν ἐκ τῶν κακίστων ἐκείνων καὶ ἀπαισίων·
ἐντεῦθεν τοιγαροῦν πολέμους τε ἁπανταχοῦ ξυνίστασθαι καὶ B
στάσεις ταῖς πόλεσι, καὶ τὰ λοιμώδη πάθη μόνιμά τε εἶναι καὶ συνημμένα. ἕτεροι δὲ ὀργὴν τοῦ κρείττονος αἰτίαν εἶναί φασι τῆς φθορᾶς, μετιοῦσαν ἀξίως τὰ τοῦ ἀνθρωπείου γένους ἀδικήματα, καὶ τὸ πλῆθος ὑποτεμνομένην. ἐμοὶ δὲ διαιτᾷν ἑκατέρᾳ δόξῃ καὶ ἀποφαίνεσθαι τὴν ἀληθεστάτην οὐκ ἐγχειρητέα, τυχὸν μὲν οὐδὲ ἐπισταμένῳ, τυχὸν δὲ, εἰ καὶ εἰδείην, ἀλλ' οὐκ ἀναγκαῖον τοῦτό γε εἶναι δοκοῦν, οὐδὲ τῷ παρόντι λόγῳ προσῆκον· μόνον γάρ μοι τοῦ συμβεβηκότος εἰ καὶ διὰ βραχέων ἐπιμνησθέντι, ὁ τῆς ἱστορίας ἐκτεθεράπευται νόμος.

ια'. Τούτων δὲ οὕτω ξυνενεχθέντων, ἐπεγένετο καὶ ἄλλα
ἄττα τῇ πόλει κατ' ἐκεῖνο τοῦ καιροῦ, ταραχῆς τε καὶ θορύ- C
βου ἀνάμεστα, καὶ οὐχ ἧσσον τῶν εἰρημένων ανιαρότατα. ὁποῖα δὲ ταῦτά ἐστιν, αὐτίκα ἐρῶ, βραχύ τι πρότερον διεξελθὼν τῶν ἀρχαιοτέρων. οἱ Οὖννοι τὸ γένος, τὸ μὲν παλαιὸν κατῴκουν τῆς Μαιώτιδος λίμνης τὰ πρὸς ἀπηλιώτην ἄνεμον,
καὶ ἦσαν τοῦ Ταναΐδος ποταμοῦ ἀρκτικώτεροι, καθάπερ καὶ V. 108
τὰ ἄλλα βάρβαρα ἔθνη, ὁπόσα ἐντὸς Ἰμαίου ὄρους ἀνὰ τὴν

1. ἀγαθὰς R., ἀγαθοὺς vulg. 2. μοχθηρὰς R., μοχθηροὺς vulg. 10. εἰ om. R. 11. οὐκ superscriptum in R. a rec. m. 17. ἀνιαρώτατα R. 22. Ἱμαίου R.

sunt peritissimi, temporum quorundam revolutiones in infinito aevo simul ferri asserunt, modo quidem bonas ac felices, modo autem pravas et infaustas: esse vero praesentem revolutionem ex pessimis illis atque infaustis. Hinc ergo et bella passim et seditiones urbibus oriri atque invalescere, et pestilentes morbos per multum tempus durare atque adhaerescere. Alii vero interitus causam ad divinam iram referunt, quae humani generis peccata puniat, multitudinemque succidat. Me vero de utraque opinione iudicare verioremque decernere nihil attinet, vel quod nesciam fortasse, vel, etiamsi forte sciam, parum tamen necessarium id censeam, neque praesenti tractationi consentaneum. Si enim breviter quae acciderunt commemoravi, historiae legi satisfeci.

11. Haec vero cum ita accidissent, alia etiam quaedam per id tempus in urbe evenerunt tumultus ac perturbationis plena, neque minus, quam quae diximus, acerba. Qualia autem haec fuerint, statim dicam, si prius breviter vetustiora quaedam commemoravero. Hunnorum gens olim quidem habitavit circa eam Maeotidis paludis partem, quae subsolanum ventum versus spectat, erantque Tanai flumine magis septentrionales; quemadmodum et aliae barbarae nationes, quotquot intra Imaum montem in Asia consederunt. Hi vero omnes

A. C. 558 Ἀσίαν ἐτύγχανον ἱδρυμένα. οὗτοι δὲ ἅπαντες κοινῇ μὲν Σκύ-
L. I. 32 θαι καὶ Οὖννοι ἐπωνομάζοντο· ἰδίᾳ δὲ κατὰ γένη, τὸ μέν τι
αὐτῶν Κοτρίγουροι, τὸ δὲ Οὐτίγουροι, ἄλλοι δὲ Οὐλτίζουροι,
D καὶ ἄλλοι Βουρούγουνδοι· καὶ ἄλλοι ὡς ἂν αὐτοῖς πάτριόν τε
ἦν καὶ εἰθισμένον. γενεαῖς δὲ πολλαῖς ὕστερον διέβησαν ἐς τὴν
Εὐρώπην, εἴτε ὡς ἀληθῶς ἐλάφου τινὸς κατὰ τοῦτο δὴ τὸ
θρυλλούμενον ταπρῶτα ἡγησαμένης, εἴτε καὶ ἀλλοίᾳ χρησά-
μενοι τύχῃ, καὶ τὴν ἐκροὴν τῆς λίμνης τὴν ἐς τὸν Εὔξεινον
Πόντον φερομένην, ἄπορον τέως δοκοῦσαν, τότε δὴ ὁτῳοῦν
τρόπῳ διαπεραιωθέντες, ἀλώμενοι δὲ ὅμως ἀνὰ τὴν ὀθνείαν,
πλεῖστα ὅσα τὸ ἰθαγενὲς ἐλυμήναντο, ἀπροσδόκητα προσπε-
σόντες, ὡς καὶ, τοὺς προτέρους οἰκήτορας ἀπελάσαντες, αὐτοὶ
τὴν ἐκείνων κατέχειν. ἤμελλον δὲ ἄρα οὐκ ἐπὶ μακρότατον
διαμένειν, ἀλλὰ πρόῤῥιζοι τὸ λεγόμενον ἀπολεῖσθαι. αὐτίκα
P. 155 γοῦν Οὐλτίζουροί τε καὶ Βουρούγουνδοι μέχρι μὲν Λέοντος
τοῦ αὐτοκράτορος καὶ τῶν ἐν τῷ τότε Ῥωμαίων γνώριμοί τε
ὑπῆρχον καὶ ἄλκιμοι εἶναι ἐδόκουν· ἡμεῖς δὲ οἱ νῦν οὔτε ἴσμεν
αὐτοὺς, οὔτε, οἶμαι, εἰσόμεθα, τυχὸν μὲν διαφθαρέντας, τυχὸν
δὲ ὡς πορρωτάτω μεταναστάντας. ἐκείνου γε μὴν τοῦ ἔτους,
ἐν ᾧ δὴ ἔφην τὴν λοιμώδη νόσον τῇ πόλει ἐνσκῆψαι, τὰ λοιπὰ
τῶν Οὔννων γένη ἐσώζετο, καὶ ἦσαν ἔτι ὀνομαστότατα. κα-

3. Κοτρίγουροι et Οὐτίγουροι R., Κοτρίγοροι et Οὐτίγοροι vulg. 8. τῆς om. R. 9. οὖν ins. R. post δὴ, fort. οὖν ὁτῳδή. 15. Οὐλτίνζουροι R. et vulg., *Ultizuri* Intpr. 18. οἶμαι add. ex R. διαφθαρέντες et μεταναστάντες R. 21. ἐσώζετο R., ἐσώζοντο vulg.

communiter quidem Scythae et Hunni vocabantur; privatim autem secundum nationes, nonnulli eorum Cotriguri, alii Utiguri, alii vero Ultizuri, alii etiam Burugundi dicebantur, alii aliter ex patria cuique atque usitata appellatione nominabantur. Multis autem postea seculis transierunt in Europam; sive revera a cervo quodam, ut fama percrebuit, primum ducti, sive alia quapiam fortuna usi, et Moeotidem paludem, qua parte in Euxinum pontum fertur, cum antea traiici nequaquam posse crederetur, tunc certe quocunque tandem modo traiicientes, et per aliena vagantes, innumeris damnis indigenas affecerunt, inopinato eos adorti; adeo ut, prioribus habitatoribus eiectis, ipsi illorum ditionem occuparint, in qua tamen non videbantur diutissime commoraturi, sed stirpitus, quod aiunt, perituri. Tunc itaque Ultizuri et Burugundi usque ad Leonem Imperatorem et qui per id tempus erant Romanos, celebres exstitere, fortesque sunt habiti: nos vero, qui hac aetate vivimus, neque eos novimus, neque noscemus, quod vel deleti fortasse sint, vel quam remotissime hinc sedes suas transtulerint. Illo utique anno, quo pestilentia urbem invasit, reliquae Hunnorum gentes salvae adhuc et maximi erant nominis. Cum itaque descendissent Hunni in loca ad austrum vergentia, non pro-

τιόντες δὲ ὅμως οἱ Οὖννοι ἐς τὰ πρὸς νότον ἄνεμον, οὐ πόῤ- A. C. 558 ῥω τῆς ὄχθης τοῦ Ἴστρου ποταμοῦ ηὐλίζοντο, ἡνίκα ἦν αὐ- I. I. 32 τοῖς βουλομένοις. τότε δὴ οὖν τοῦ χειμῶνος ἐπιλαβομένου, τὰ μὲν ῥεῖθρα τοῦδε τοῦ ποταμοῦ κατὰ τὸ εἰωθὸς ὑπὸ τοῦ κρύους ἐπήγνυτο ἐς βάθος, καὶ ἦσαν ἤδη σκληρὰ καὶ βάσιμα καὶ ἱππήλατα. Ζαβεργὰν δὲ ὁ τῶν Κοτριγούρων Οὔννων ἡγεμὼν B σὺν πλείστοις ὅσοις ἱππόταις ἐπιδραμὼν καθάπερ χέρσον τὰς δίνας, ἐς τὴν Ῥωμαίων ἐπικράτειαν εὐκολώτατα διαβαίνει· ἔρημά τε εὑρὼν τὰ ἐκείνῃ χωρία, καὶ μηδενὸς αὐτῷ κωλύματος γιγνομένου ἀνὰ τὰ πρόσω πορευομένῳ, αὐτίκα ὅγε Μυσίαν τε καὶ Σκυθίαν παραμειψάμενος, τῇ Θρᾴκῃ προσέβαλεν. ἐνταῦθα δὲ διελὼν τὸν οἰκεῖον στρατὸν, ἀπόμοιραν μέν τινα ἔστειλεν ἀνὰ τὴν Ἑλλάδα, καταδραμουμένους τὰ ἀφύλακτα τῶν τῇδε χωρίων καὶ ληλατήσοντας· ἑτέρους δὲ ἐς τὴν Χεῤῥόνησον τὴν Θρᾳκίαν.

ιβ'. Τῆσδε δὲ τῆς Χεῤῥονήσου τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον νενευκότα καὶ εὐρόνοτον ἄνεμον, καὶ μέχρι τοῦ με- C σημβρινοῦ κέντρου τῷ Ἑλλησπόντῳ παρατείνεται. περιῤῥεῖ γὰρ σχεδόν τι ἅπασαν, καὶ ταῖς καμπαῖς τῶν ἠϊόνων συμπεριάγεται βραχεῖ τινι μέρει τῆς ἠπείρου, καὶ μόνοις τεσσαράκοντά που σταδίοις εἰργόμενος τοῦ νῆσον αὐτὴν ἀπεργάσασθαι. ἐν τούτῳ δὲ τῷ ἰσθμῷ τεῖχος ἐκταδὸν ἵδρυται

4. τοῦδε add. ex R. et Intpr. *huius fluminis*. 6. Ζαβεργὰν R. in mg. et Intpr., Ζαβερνὰν R. in ord., Ζαμεργὰν vulg. 11. προσέβαλλεν R. 14. Pro χωρίων R. in mg. πεδίων. 15. Τραχίαν sph. Par. 16. τῆς del. R. 2. m.

cul a ripa Istri fluminis ex animi sui sententia consederunt. Tum itaque vigente hieme fluvius ex more vi frigoris congelatus, ad imum usque vadum ita obduruerat, ut et pedestribus et equestribus copiis transiri posset. Zabergan vero Hunnorum, qui Cotriguri dicuntur, dux, cum ingentem equitatum per flumen perinde atque per continentem traduxisset, facillime in Romanum imperium pervenit, cumque passim vacua ab habitatoribus loca invenisset, nihilque ipsi impedimento esset, quominus ad ulteriora progrederetur, statim Mysiam et Scythiam transgressus, in Thraciam irrupit. Ibi vero diviso exercitu, alteram eius partem in Graeciam misit, qui loca omnia nullis praesidiis munita percurreret atque vastaret: alteram vero exercitus partem in Chersonesum Thracicam misit.

12. Huius autem Chersonesi quae ad orientem solem et euronotum ventum vergunt, et ad meridianum usque punctum circa Hellespontum porrigitur; circumfluit enim totam propemodum, et flexibus littorum una circumagitur, exigua quadam continentis portione, hoc est solis quadraginta stadiis, exclusus, quominus insulam faciat. In hac vero isthmi angustia murus in longum continue

A.C. 558 ξυνεχὲς ἐφ' ἑκατέρᾳ θαλάττῃ προβεβλημένον· πόλεις τε ἔν- I. I. 32 δοθεν αὐτῷ προσπεπηγυῖαι τυγχάνουσιν, Ἀφροδισιάς τε καὶ Θῆσκος καὶ Κίβηρις. τούτων δὲ ὡς ἀπωτάτω ἀμφ' αὐτὸν δήπου τὸν πορθμὸν καὶ τοὺς παρακτίους ἀγκῶνας Σηστός γέ ἐστι πόλις ἡ περιλάλητος τῇ ποιήσει καὶ ὀνομαστο- D τάτη, οὐκ ἄλλου του ἕνεκα, οἶμαι, ἢ μόνον ἐπὶ τῷ λύχνῳ τῆς Ἡροῦς ἐκείνης τῆς Σηστίδος, καὶ τῷ Λεάνδρου ἔρωτι καὶ θανάτῳ. οὐ πόῤῥω δὲ αὐτῆς καὶ ἕτερόν τι κεῖται πολίχνιον, ἐλάχιστον μὲν καὶ ἀκαλλὲς, καὶ οὐδὲν ὁτιοῦν ἐπέραστον ἔχον, Καλλίπολις δὲ ὅμως ἐπονομαζόμενον· τάς γε μὴν περιοικίδας κοσμοῦσιν ἀγροί τε καὶ ἐπίνεια καὶ δένδρων ποικίλων ἐσμὸς καὶ ῥεῖθρων ποτίμων, γῆ τε εὐαρδὴς ἄγαν καὶ κάρπιμος, κἀν τοῖς ἀναγκαίοις διαρκεστάτη. τοσαῦτα ἄρα πολίσματα καὶ χώραν ὡς πλείστην ἔνδον ἐναπολαμβάνει τὸ ἔρυμα, ὡς μὴ πολεμίοις εὐέφοδα εἶναι. τότε δὴ οὖν ὁ Ζαβεργὰν εὐωχούμενος τῶν ἐλπίδων, διενοεῖτο καθ' αὑτὸν, ὡς P. 156 εἴγε τὸ τεῖχος καθέλοι, καὶ τοῖς ἔνδον ὁμιλήσει χωρίοις, δυνήσεται θᾶττον καὶ τῆς θαλάττης κρατῆσαι· ἐντεῦθέν τε ὠνειροπόλει νηῶν αὐτῷ παρέσεσθαι πλῆθος, καὶ ὅτι διαβήσεται κατὰ τὴν Ἀσίαν, τὸν μεταξὺ πόρον στενώτατον ὄντα καὶ

2. προσπεπηγεῖται R. Ἀφροδισιάς R. et Intpr. (cf. Procop. de aedif.), Ἀφροδισία vulg. 6. ἕνεκα, οἶμ. R., οἶμ. ἕν. vulg. 7. Ἡροῦς R., ἡροῦς vulg. (Intpr. *nisi ex illo heroum coetu*). Σηστίδος R. Σηστιάδος vulg. 8. αὐτῆς R., ταύτης vulg. 10. ἐπονομαζόμενον R., ὀνομαζ. vulg. 12. ποταμίων R. 15. ὁ om. R. 16. εὐωχούμενος corr. Cl., Intpr. *spe bona depastus.*, εὐεχούμενος R., ἐποχούμενος vulg. 17. ὁμιλήσειε Par. 20. στενότ. R. et vulg.

ductus est ad utrumque mare porrectus; urbesque interius ipsi affixae sunt Aphrodisias et Thescos et Ciberis. Ab his vero quam remotissime circa fretum ipsum et littorales flexus Sestus est, urbs celeberrima in poësi et nominatissima, non aliam credo ob causam, quam ob lucernam Herus illius Sestiadis, et ob Leandri amorem ac mortem. Non procul autem hinc etiam aliud oppidulum situm est, minimum quidem illud et nequaquam pulchrum, neque quicquam omnino habens amabile, Callipolis tamen vocatum. Circumiacentem porro regionem exornant et agri et navalia, arborumque variarum et fluentorum potabilium copia, terraque irrigua admodum et fertilis rebusque necessariis abundans. Talia igitur oppidula et agrum amplissimum murus ille intra se complectitur, ita ut non facilis sit hostibus ad ea aditus. Tum itaque Zabergan bona spe elatus, id secum reputabat, si muro diruto ad interiora loca penetrasset, facilius se etiam mare in potestatem redacturum. Illinc etiam veluti per somnium imaginabatur navium sibi copiam non defuturam; quodque traiiceret in Asiam, fretum intermedium angustissimum per se

οὐ μάλα τραχεῖ κύματι χαρασσόμενον εὐκολώτατα διαπλεύ- A. C. 558
σας, καὶ ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται, καὶ τὸ ἐν αὐ- I. I. 32
τῇ πορθήσει δεκατευτήριον. τούτοις δὴ οὖν μάτην τοῖς βου- V. 109
λεύμασιν ἐξηρεθισμένος, ἔστειλε δύναμιν ἀνὰ τὴν Χεῤῥόνη-
σον, ὁπόσην ἀποχρήσειν ἐς τόδε τὸ ἔργον ἡγεῖτο· αὐτὸς δὲ
σὺν ἑπτακισχιλίοις ἱππόταις ἰθὺ τῆς Κωνσταντινουπόλεως
πορευόμενος, τούς τε ἀγροὺς ἐδῄου, καὶ τῶν πολισμάτων
ἐπειρᾶτο, καὶ ἅπαντα ἐκίνει χύδην καὶ ξυνετάραττεν. αἰτία B
δὲ ἦν τῆς ἐφόδου τῷ μὲν ἀληθεστάτῳ λόγῳ ἀδικία βαρβαρι-
κὴ καὶ πλεονεξίας ἐπιθυμία. σκῆψιν δὲ ὅμως τινὰ καὶ προκά-
λυμμα ἐποιεῖτο τὴν πρὸς τοὺς Οὐτιγούρους δυσμένειαν· Σάν-
διχλος γάρ τις ὄνομα Οὖννος ἀνὴρ ἡγεῖτο μὲν ἐκείνου τοῦ
γένους, εὔνους δὲ ἐς τὰ μάλιστα καὶ ἔνσπονδος ὑπῆρχεν Ῥω-
μαίοις. τοιγάρτοι βασιλεὺς ἔστεργέ τε αὐτὸν καὶ ἐγέραιρε,
καὶ δώροις θαμὰ ἐφιλοφρονεῖτο. οἱ δὲ Κοτρίγουροι ἅτε δὴ
οὐ τῶν ὁμοίων μετέχοντες, ἀλλὰ παντάπασι περιπεφρονημέ-
νοι καὶ περιφανῶς προπηλακιζόμενοι, τήνδε ποιεῖσθαι τὴν
ἐκστρατείαν ᾠήθησαν χρῆναι, ὡς ἂν καὶ αὐτοὶ δῆθεν φοβε- C
ροί τε καὶ λόγου ἄξιοι ἀποδειχθεῖεν, καὶ οἷοι μὴ ἐφιέναι τῷ
ἀτιμάζοντι.

ιγ'. Καὶ τοίνυν, οὐδὲν γὰρ ὁτιοῦν αὐτοῖς ἀντίπαλον ἐμποδὼν εἱστήκει οὐδὲ ὑπηντίαζε, κατέτρεχον ἀφειδῶς καὶ ἐλεηλάτουν τὴν χώραν, λείαν τε ἄφθονον περιβαλλόμενοι,

6. *Κωνσταντίνου πόλεως* R. 11. *Σάνδικλος* Par.

exsistens, neque asperis fluctibus sulcatum facillime transnavigans; quodque statim Abydum infestaret, et quod in ea erat decimarium portorium vastaret. His igitur temerariis consiliis incitatus, exercitum in Chersonesum misit, quantum ei negotio conficiendo parem fore existimabat, ipse vero cum equitum millibus septem recta Constantinopolim pergens, et agros vastabat, et oppidula tentabat, omniaque passim movebat et perturbabat. Causa vero huius expeditionis atque insultus potissima verissimaque erat barbarica violentia, et plus habendi cupiditas, cui tamen praetextum hostilitatis adversus Utiguros obtendebat. Sandichlus enim quidam nomine, vir Hunnus, gentis illius dux erat, benevolus tamen inprimis et foederatus Romanis. Quocirca Imperator ipsum benevolentia et honore prosequebatur, et frequentia ad eum dona mittebat. Cotriguri vero, utpote similium expertes, sed omnino despecti et manifesto contemptu provocati, hanc sibi expeditionem suscipiendam censuerunt, ut et ipsi terribiles dignique, quorum ratio haberetur, viderentur, ac tales, qui contemtoribus non concederent.

13. Hi itaque, cum nemo ipsis obsisteret aut propulsaturus obviam iret, atrociter populabundi regionem vastarunt, ingenti praeda maximaque captivorum multitudine abducta, in quibus etiam muli-

A.C. 558 καὶ αἰχμαλώτων ἀθροίζοντες πλήθη· ἐν τοῖς καὶ γύναια πολ-
I. I. 32 λὰ τῶν εὖ γεγονότων καὶ σώφρονα δίαιταν ᾑρημένων ὠμότατα ἤγοντο, καὶ συμφορὰν πασῶν μείζονα ἐδυστύχουν, εἰς ἀκολασίας ἀμετρίαν ὑπηρετεῖν ἀναγκαζόμενα· ἔνιαι δὲ καὶ ἀπειρηκυῖαι ἤδη ἐκ παίδων γάμοις τε καὶ φιλοκοσμίᾳ καί ταύ-
D τῃ δὴ τῇ περὶ τὸν βίον ἀναστροφῇ καὶ ὁμιλίᾳ, ἐν ἀποκεκριμένῳ τινὶ καὶ τῇ πρὸς τὸ θεῖον ἱκετείᾳ προσήκοντι ὑπεκρύπτοντο δωματίῳ, τὸ ἀμιγές τε καὶ ἐλεύθερον καὶ παντάπασιν ἀκοινώνητον τῆς μετ' ἀνδρῶν συνουσίας περὶ πλείστου ποιούμεναι, καὶ μόνῳ τῷ ἠρεμεῖν ἀνειμέναι. οἱ δὲ καὶ ἐς ταύτας ἐξύβριζον ἀφαιρούμενοι τοῦ ἱεροῦ παρθενῶνος, καὶ ἀπρεπῶς αὐταῖς πρὸς βίαν ξυγκαλινδούμενοι· ἄλλαι δὲ πολλαὶ τῶν ἄρρεσιν ἐς ταὐτὸ ἰέναι οὐκ ἀνηναμένων, κύουσαι ἐν τῷ τότε οὕτω παρασχὸν εἵλκοντο, καὶ εἶτα, ἐπειδὴ παρῆν ἡ τοῦ τόκου ἀνάγκη, οὕτω δή τι ἐν μέσῃ τῇ πορείᾳ ἐμφανέστατα ἔτικτον, οὔτε τὰ αἰσχυντηλὰ τῶν ὠδίνων ἐπικαλύπτειν δυνάμεναι,
P. 157 οὔτε περιστεῖλαι, ὡς θέμις, καὶ ἀνελέσθαι τὰ βρέφη· ἀλλ' αἱ μὲν καὶ ὣς ἐσύροντο, μηδὲ ἀλγῆσαι αὐταῖς, εἰ οἷόν τε φάναι, ξυγκεχωρημένον, τὰ δὲ δείλαια ἐκεῖνα ἐπ' ἐρημίας ἐλείπετο κυσί τε καὶ οἰωνοῖς σπαραττόμενα, ὥσπερ τοῦδε ἕνεκα μόνου ἐς φῶς προαχθέντα, καὶ μάτην τοῦ φῦναι ἀπογευσάμενα. ἐς τοῦτο γὰρ τύχης τὰ Ῥωμαίων πράγματα ἠληλάκει,

4. ἀκολασίαν R. 6. ἀποκεκρυμμένῳ R. altera μ transfixa. 10. καὶ μόνῳ — ἀνειμέναι add. ex R. et Intpr. *quietique se solum permitterent.* 12. ξυγκυλινδούμενοι edd. 13. ἐν τῷ τότε οὕτ. παρ. R., οὕτ. παρ. ἐν τ. τ. vulg. 19. ἐρημίαν R.

eres multae nobiles et castam vitam degentes crudelissime rapiebantur, malo omnium gravissimo obnoxiae, quod immoderatae barbarorum libidini inservire cogebantur: nonnullas vero, quae iam inde a pueris et nuptiis et mundanis desideriis et curis occupationibusque huius vitae renuntiarant, et in remota aliqua divinoque cultui dicata domuncula delitescebant, liberam plane et immunem ab omni virorum contubernio consuetudineque vitam summo studio colentes: etiam hi sacris virginum coenobiis ereptas contumelia afficiebant, turpiter eas per vim constuprantes. Aliae vero multae, quae a consuetudine virorum nequaquam abhorruerant, et gravidae tum temporis rapiebantur, cum iam pariendi necessitas urgeret, ita in medio itinere in propatulo pariebant, cum nec verecundos partus dolores obtegere possent, neque complecti fasciisque involvere infantes, uti fas est, et sustollere; sed hae quidem etiam ita protrahebantur, et ne dolere quidem ipsis, immane dictu, permittebatur: miseri vero illi infantes in solitudine relinquebantur, a canibus pariter et carnivoris avibus discerpendi, perinde ac si eam tantum ob causam in lucem editi essent, et frustra ortus sui primordia degustassent. In

A. C. 558 I. I. 32 ὡς ἐν αὐτῇ δήπου τῇ περιοικίδι τῆς βασιλίδος πόλεως τοιαῦτα δεινὰ πάσχειν ὑπὸ βαρβάρων σφόδρα ὀλίγων. τοῖς δὲ οὐ μέχρι τούτων ἐτελεύτα τὸ θράσος, ἀλλ' ὁδῷ ἰόντες, εἴσω τῶν μακρῶν ὀνομαζομένων τειχῶν ῥᾳδίως παρῆλθον, καὶ τοῖς ἔνδον φρουρίοις ἐπέλαζον. πολλαχοῦ γὰρ ὑπὸ χρόνου καὶ ἀτημελείας ἐπεπτώκει καὶ διελέλυτο ἡ τοῦ μεγίστου ἐρύματος οἰ- B κοδομία· ἔνια δὲ μέρη καὶ αὐτοὶ καταβεβλήκασιν ἀδεῶς οὕτω καὶ ἀταλαιπώρως, ὥσπερ οἰκίας καταστρεφόμενοι. καὶ οὐδὲν ἦν τὸ ἀπεῖργον τῷ μηδὲ φρουρὰν στρατιωτικὴν ἐνθάδε ἱδρύεσθαι, μήτε ἀμυντήρια μηχανήματα, καὶ τοὺς ταῦτα κινεῖν ἐπισταμένους, ἀλλὰ μήτε κυνῶν ὑλακὴν ἀκούεσθαι, εἰ μὴ λίαν καταγέλαστον εἰπεῖν, ὡς γοῦν ἐν συφεῶσι καὶ μάνδραις. τὰ γὰρ τῶν Ῥωμαίων στρατεύματα, οὐ τοσαῦτα διαμεμενηκότα ὁπόσα τὴν ἀρχὴν ὑπὸ τῶν πάλαι βασιλέων ἐξεύρηται, ἐς ἐλαχίστην δέ τινα μοῖραν περιελθόντα, οὐκέτι τῷ μεγέθει τῆς πολιτείας ἐξήρκουν. δέον γὰρ ἐς πέντε καὶ τεσσαρά- C κοντα καὶ ἑξακοσίας χιλιάδας μαχίμων ἀνδρῶν τὴν ὅλην ἀγεί-

5. ἀτημελίας Suidas s. v. 6. μεγίστου add. ex R. et Intpr. *maioris castelli aedificium.* 8. οἰκείᾳ R. (fort. ἐν οἰκείᾳ), Intpr. οἰκεῖα legisse videtur: *haud secus ac sua — disturbabant*: idque coni. B. Vulc. 11. Post ἀκούεσθαι Intpr. addit: *non hominum fremitus.* 13. γὰρ om. R. et Suid. s. v. συφεύς, qui locum sic contraxit: ὥσπερ ἐν συφεῶσι καὶ μάνδραις τὰ τῶν Ῥωμαίων μεμενήκει στρατεύματα; inepte. Neque alia vertit Intpr. *tanquam porcorum in claustris Romanus exercitus interclusi manebant, tametsi vel eo numero essent, quo tunc primum et veterum Imperatorum tempore recensebantur, et non in minimam partem redacti* etc.

eam enim miseriam res Romanorum redactae erant, ut in ipso regiae urbi circumiecto agro adeo atrocia mala paterentur a barbaris iisque perpaucis. Sed neque his terminis eorum confidentia fuit circumscripta; sed ulterius progressi, longisque (ita dictis) muris facile superatis, munitionibus, quae intus erant, appropinquarunt. Multis enim in partibus prae vetustate et negligentia maximi castelli structura corruerat vitiumque fecerat, nonnullas vero partes etiam ipsi diruerant adeo intrepide ac facile, ac si domos subverterent, nihilque erat quod obstaret, cum neque ullum praesidium militare ibi collocatum esset, neque ullae ad propulsandum hostem machinae, neque qui illas movere ac tractare nosset, sed ne canum quidem latratus audiebatur, nisi admodum ridiculum dictu sit, veluti in suilibus aut ovilibus. Romanorum enim exercitus non tanti, atque olim sub veteribus Imperatoribus fuerant, permanserant, sed ad minimam quandam portionem redacti, non amplius magnitudini imperii pares erant. Cum enim universae Romanorum vires sexcentis quadraginta quinque bellatorum millibus constare deberent, aegre tum temporis centum quinquaginta millibus constabant, atque harum quidem

A. C. 558 ρεσθαι δύναμιν, μόλις ἐν τῷ τότε εἰς πεντήκοντα καὶ ἑκατὸν
I. I. 32 περιειστήκει. καὶ τούτων αἱ μὲν ἐν Ἰταλίᾳ ἐτετάχατο, αἱ δὲ
V. 110 κατὰ τὴν Λιβύην, ἕτεραι δὲ ἐν Ἱσπανίᾳ, καὶ ἄλλαι περὶ τοὺς
Κόλχους, καὶ ἄλλαι κατὰ τὴν Ἀλεξάνδρου καὶ Θήβην τὴν
Αἰγυπτίαν. ἐκάθηντο δὲ ὀλίγοι καὶ πρὸς τὰ ἑῷα τῶν Περσῶν
ὅρια· οὐ γὰρ δήπου ἔδει ἐκεῖσε πλειόνων διὰ τὰς σπονδὰς
καὶ τὸ βέβαιον τῆς ἐκεχειρίας. ὧδέ πως ἄρα ἐς βραχύτατον
μέρος περιέσταλτο τὰ πλήθη καὶ ὑπετέτμητο τῇ τῶν κρατούν-
των ὀλιγωρίᾳ.

D ιδ'. Ὁ γὰρ βασιλεὺς ἐπειδὴ πρότερον Ἰταλίαν ξύμπασαν
ἐχειρώσατο καὶ Λιβύην, καὶ τοὺς μεγίστους ἐκείνους πολέ-
μους διήνυσε, καὶ πρῶτος ὡς εἰπεῖν ἐν τοῖς κατὰ τὸ Βυζάν-
τιον βεβασιλευκόσι Ῥωμαίων αὐτοκράτωρ ὀνόματί τε καὶ πρά-
γματι ἀπεδέδεικτο· ἐπειδὴ οὖν αὐτῷ ταῦτά τε καὶ ἄλλα ὅμοια
τούτοις νεάζοντι ἔτι καὶ ἐῤῥωμένῳ ἐξείργαστο, τότε δὴ ἀμφὶ
τὴν ἐσχάτην τοῦ βίου πορείαν, (ἤδη γὰρ καὶ ἐγεγηράκει,) ἀπει-
ρηκέναι τοῖς πόνοις ἐδόκει, καὶ μᾶλλόν τι αὐτὸν ἤρεσκε ξυγ-
κρούειν ἐν σφίσι τοὺς πολεμίους, δώροις τε αὐτοὺς, εἴπη δεή-
σοι, καταθωπεύειν, καὶ ταύτῃ ἀμωσγέπως ἀποκρούεσθαι, ἢ
ἐφ' ἑαυτῷ πεποιθέναι καὶ μέχρι παντὸς διακινδυνεύειν. τοι-
P. 158 γάρτοι καὶ περιεώρα τὰς τάξεις διαφθειρομένας, ὡς δὴ τολοι-
πὸν ἥκιστά γε αὐτῶν προσδεησόμενος. καὶ τοίνυν ταύτης ἐπι-

3. Ἱσπανίᾳ R., Σπανίᾳ vulg. 9. ὀλιγορίᾳ Par. 14. ἀπεδέδεικτο R., ἀποδέδ. vulg. 15. ...εάζοντι R. 16. καὶ add. ex R. 18. εἴπη R., εἴ που vulg. 22. γε ins. ex R.

copiarum aliae in Italia erant collocatae, aliae in Africa, aliae in Hispania, aliae apud Colchos, aliae apud Alexandri urbem et circa Theben Aegyptiam. Consederant vero paucae etiam versus orientales Persarum fines. Neque enim illic pluribus opus erat, ob foedera inita induciasque firmiter pactas. Ita fere ad perquam exiguam portionem redactae erant copiae atque accisae principum negligentia.

14. Imperator enim posteaquam antea universam Italiam et Africam in potestatem redegerat, maximaque bella confecerat, et primus, ut ita dixerim, ex iis, qui Byzantii regnarunt, Romanorum Imperator nomine pariter et reipsa est declaratus; haec, inquam, aliaque his similia cum iuvenili vegetaque aetate perfecisset, tum vero sub extremum vitae curriculum, (iam enim consenuerat,) cessisse et renuntiasse laboribus visus est, magisque ei quodammodo placuit hostes inter se committere, et donis eos sicubi opus erat demulcere, eaque ratione quodammodo propulsare potius, quam sibi ipsi confidere et perpetuo belligerari. Quocirca et legiones imminui collabique facile patiebatur, perinde ac si deinceps nulli necessario usui sibi essent futurae. Quae quidem negligentia cum etiam eos, qui secundas in administratione imperii partes obtinebant, occupasset, quibus cogendi a subditis tributa et deinde exercitibus

λαβόμενοι τῆς ῥᾳθυμίας οἱ τὴν δευτέραν ἀρχὴν τῶν σκήπτρων A. C. 558
διέποντες, οἷς δὴ φορολογεῖν τὴν ὑπήκοον καὶ εἶτα διανέμειν I. I. 32
τοῖς στρατεύμασι τὰ ἐπιτήδεια ἐκπεφρόντισται, οὗτοι δὴ τὰ μὲν περιφανῶς ἀπεστέρουν, τὰ δὲ καὶ πολλῷ ὕστερον ἢ ὁπηνίκα ἐχρῆν ἀπεδίδοσαν· δοθέντος δὲ ὅμως ὀψὲ γοῦν τοῦ ὀφλήματος, εὐθὺς οἱ τὴν πανοῦργον ταύτην καὶ δημώδη λογιστικὴν ἠσκημένοι, ἐφίσταντο τοῖς καταλόγοις καὶ ἀνεκαλοῦντο τὰ πεπορισμένα. τοῦτο γὰρ αὐτοῖς γέρας τε ὑπῆρχε καὶ ἀξίω- B
μα, τὸ τοῖς στρατιώταις ἐπικλήματα ἐπάγειν ἄλλοτε ἄλλα, καὶ τῆς ἐδωδῆς αὐτοὺς ἀφαιρεῖσθαι· καὶ καθάπερ ἐν παλιῤῥοίᾳ ὑδάτων αὐτὸ δήπου τὸ μέτρον τῆς παρασχεθείσης τοῖς τάγμασι δασμοφορίας, οὐκ οἶδα ὅντινα τρόπον, ἐς τοὔμπαλιν μετωχετεύετο, καὶ ἐπανῄει ὅθεν ἐῤῥύη· καὶ οὕτω μὲν τὸ ὑπερμαχοῦν καὶ παραταττόμενον κατημέλητο, καὶ τροφῆς ἀπορίᾳ πιεζόμενοι κατελίμπανον τοὺς ἀγῶνας, οἷς ἐτύγχανον ἐντεθραμμένοι· καὶ ἄλλοι ἄλλοθι ἀπεχώρουν, ὡς ἕτερόν τινα μετελευσόμενοι βίον· εἰς δὲ γυναῖκας ἀκόσμους ὡς τὰ πολλὰ καὶ ἡνιόχους καὶ ἄνδρας ἀγεννεῖς μὲν ἐν τοῖς ἀναγκαίοις καὶ ἁβρο- C
διαίτους, μόνον δὲ πρὸς τὰς ἐμφύλους ταραχὰς καὶ τὴν περὶ τὰ χρώματα ἔριν ἐμμανεῖς καὶ θαῤῥαλέους, καὶ ἄλλους ἔτι τούτων ἀχρειοτέρους, τὰ στρατιωτικὰ ἐσκεδάννυντο χρήματα.

3. οὗτοι δὲ R. 5. ὅτε γοῦν R., Intpr. *utcunque.* 8. τούτω R. καὶ pro γὰρ sph. Par. 9. ἐκκλήματα R. 11. Pro τὸ lacuna in R. 17. ὡς τὰ πολλὰ om. R. et Intpr. 20. χρώματα — scil. in ludis Circensibus; χρήματα Par., Intpr. σώματα legere sibi videbatur: *civiles in seditiones intentos et corporum curam.*

necessaria suppeditandi cura imposita erat, hi partim aperte eos defraudabant, partim multo serius, quam oportebat, persolvebant. Persoluto vero iam, quamquam sero, debito, statim hi in fraudulenta illa et populari supputatoria arte exercitati, fraude eos, qui stipendia militaria cogebant, adoriebantur, et quae iam persoluta erant, reposcebant. Hic enim eorum honor ac dignitas erat, aliis atque aliis criminationibus milites lacessere cibariisque eos defraudare; ac quemadmodum in reciproco fluxu refluxuque undarum idem demensum, quod ex tributis ad legiones deferebatur, nescio quo pacto retrorsum derivabatur, redibatque eodem, unde fluxerat. Atque ita quidem propugnatores et proeliatores negligebantur, et cibariorum penuria pressi, militiam bellicosque labores, in quibus erant enutriti, deserebant, et alii alio dilabebantur, veluti aliud vitae genus amplexuri. In mulieres vero inhonestas maxima ex parte et aurigas et viros parum, ubi res postularet, fortes, sed delitiosos, quique ad civiles tantum turbas et circi factiones vesano quodam studio audaciaque ferebantur, et in alios his adhuc inutiliores militaria stipendia dissipa-

A. C. 558 I. I. 32 ταῦτά τοι ἥ τε ἄλλη Θρᾴκη καὶ τὰ πρὸς αὐτῇ τῇ βασιλίδι πόλει χωρία ἔρημά τε ἦν καὶ ἀφύλακτα, ἐς ὅσον καὶ τοῖς βαρβάροις βατὰ εἶναι καὶ εὐεπίδρομα· εἰς τοῦτο γὰρ ἐκεῖνοι ἤρθησαν ἀλαζονείας, ὡς καὶ ἀμφὶ Μελαντιάδα τὴν κώμην στρατοπεδεύσασθαι, οὐ πολλῷ τῆς πόλεως διεστηκυῖαν, ὅτι μὴ τεσσαράκοντα καὶ ἑκατόν που σταδίους. παραῤῥεῖ δὲ αὐτὴν Ἀθύρας ποταμὸς, ὃς δὴ ὀλίγον τι προελθὼν καὶ ἐπὶ ἄνεμον καικίαν ἠρέμα ἐκκλίνας, ἐς τὴν Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται· ὅθεν D δὴ καὶ τὸ πρὸς τῇ ἀκτῇ καὶ ταῖς ἐκβολαῖς παρατεταμένον ἐπίνειον, τὴν ἐκείνου φέρεται προσηγορίαν. οὕτω δὲ τῶν πολεμίων ὡς ἐγγύτατα αὐλιζομένων, εὐθὺς ἀνὰ τὸ Βυζάντιον τὰ πλήθη τῶν ἀστῶν ἐδεδίει καὶ κατεπέπληκτο, καὶ τὰ δεινὰ οὐ μόνον ὁποῖα παρῆν, ἀλλ' ἔτι μείζονα διενοοῦντο, πολιορκίας τε ὀνειροπολοῦντες καὶ ἐμπρήσεις καὶ σπάνιν τῶν ἀναγκαίων, καὶ διαῤῥήξεις τοῦ περιβόλου. τοιγάρτοι πολλάκις καὶ ἐν ταῖς ἐνδοτέρω λεωφόροις φυγαὶ ἀθρόοι τῶν ἐκ τοῦ ὁμίλου ἐγίγνοντο, καὶ ὠθισμοὶ καὶ πτοῖαι παράλογοι, ὥσπερ ἤδη τῶν βαρβάρων εἰσβεβληκότων. πάταγός τε πολὺς ἤρετο ἐν τοῖς πωλητηρίοις, τῶν θυρῶν βιαιότερον προσαρασσομένων. οὐ P. 159 μόνον δὲ τοῖς πολλοῖς καὶ ἠγνοημένοις τὸ ἀνιᾶσθαι προσῆν καὶ δειμαίνειν, ἀλλὰ γὰρ καὶ ἅπασι τοῖς ἐν τέλει· καὶ βασι-

1. ταῦτά τοι R., ταῦτά τε Lugd., ταῦτα τῇ ed. pr., ταύτῃ τῇ vulg. 5. δύο καὶ ἑκατὸν Suid. s. v. Μελαντίας. 6. παραῤῥεῖ R. et Suid., περιῤῥεῖ vulg. et Intpr. 9. καὶ ante τὸ ins. ex R. τῇ ἀκτῇ καὶ ταῖς ἐκβολαῖς R., τὴν ἐκβολὴν κ. τὰς ἀκτὰς vulg. 17. ὠθιασμοὶ R. 20. καὶ ἠγνοημένοις add. ex R. et Intpr. *et obscurae sortis homines.*

bantur, quo factum est, ut et reliqua Thraciae loca oppidaque regiae urbi circumiecta deserta essent omnique praesidio vacua, atque adeo barbarorum incursionibus opportuna ac pervia. Eo enim illi arrogantiae erant elati, ut et circa Melantiadem vicum castra locarint, non longius CL. stadiis ab urbe distantem. Circumfluit autem hunc Athyras fluvius, qui quidem ad exiguum quoddam spatium progressus, et ad Caeciam ventum, sensim se flectens in Propontidem fertur; unde, et quod ad littus eiusque fluminis fauces protensum est navale, ei est cognomine. Cum itaque adeo prope urbem hostes castra posuissent, statim Byzantinorum civium multitudo ingenti metu ac terrore est perculsa, et mala sua, non qualia iam prae oculis erant, sed longe maiora animo agitabant, obsidiones videlicet incendiaque imaginantes, et rerum necessariarum inopiam, moeniumque perfractiones. Quocirca frequenter etiam in interioribus plateis densa multitudinis fuga fiebat, impulsionesque mutuae, et pavores subitanei, perinde ac si barbari iam irrupissent. Ingens etiam fragor ac strepitus in tabernis apud forum excitabatur, foribus violentius collisis. Neque

λευς δὲ, οἶμαι, αὐτὸς οὐ μάλα τὰ ξυνενεχθέντα περιεφρόνει. A. C. 558
ἀπεκοσμοῦντο τοιγαροῦν, πρὸς αὐτοῦ ἐπιτετραμμένον, τὰ ἱερὰ I. I. 32
ὁπόσα ἐκτὸς τοῦ ἄστεος ἵδρυται κατὰ τὰ Εὐρωπαῖα μέρη V. 111
καὶ τὸν παράκτιον χῶρον, ὃς δὴ ἄρχεται μὲν ἐκ τῶν καλου-
μένων Βλαχερνῶν καὶ τοῦ Κέρως, μέχρι δὲ τοῦ Εὐξείνου
Πόντου παρατεινόμενος, τῷ Βοσπόρῳ συναπολήγει. τούτων
δὴ οὖν ἁπάντων τά τε ἔντιμα τῶν ἀναθημάτων καὶ τὴν ἄλλην
ἀφαιρούμενοι κατασκευὴν οἷς ταῦτα ἀνεῖτο, τὰ μὲν ἐφ' ἁμα-
ξῶν φέροντες, εἴσω τῆς πόλεως ἀπετίθεντο, τὰ δὲ ἀκάτοις
ἐμβάλλοντες καὶ τὸν μεταξὺ πορθμὸν διαπεραιούμενοι, ἐς
τὴν καταντικρὺ ἤπειρον ἀπεκόμιζον. καὶ ἦν ἐν τῷ τότε
θεάσασθαι τοὺς ἐκείνῃ νεὼς γυμνοὺς καὶ ἀπηγλαϊσμένους, B
ὥσπερ οὔπω τῆς ἁγιστείας μετειληχότας, ἀλλ' ἄρτι καθίστα-
σθαι ἀρχομένους.

ιέ. Οὕτω δὲ φοβεροί τε καὶ μέγιστοι κίνδυνοι ἐπίδοξοι ἦσαν ὡς πάντως ἐσόμενοι, ὥστε ἀμέλει τῷ τε ἐν Συκαῖς τείχει καὶ τῇ χρυσῇ καλουμένῃ πύλῃ λοχαγοί τινες καὶ ταξίαρχοι καὶ ὁπλῖται πολλοὶ ἐφειστήκεισαν, ὡς δὴ προθύμως ἀμυνόμενοι τοὺς δυσμενεῖς, εἴπου ἐπίοιεν. ἦσαν δὲ οὐ μάχιμοι ὡς ἀληθῶς, οὐδὲ μετρίως γοῦν τὰ τοιαῦτα πεπαιδευμένοι,

3. ἥδρυται R. 4. ἄρχεται R. Lugd. 2. m. et Intpr. *initium sumunt* (Cl.), ἔρχεται vulg. 5. καὶ τοῦ Κέρως om. Intpr. 8. Pro ἀφαιρούμενοι R. φερόμενοι. 9. ἀπετίθεντο R., ἀπετίθοντο vulg. 13. ἁγιστείας R. 15. ἐπιδόξοις R. et a 2. m. ἐπιδόξης. 17. *Chisea porta* Intpr. 18. ἀμυνούμενοι coni. Cl. 19. ἦσαν δὲ usque ad φυλάσσειν ἐδόκουν p. 311. ed. Bonn. v. 12. om. Intpr.

vero plebem tantum ac vulgus hominum dolor et pavor invaserat, sed etiam omnes urbis primores. Quin et Imperator ipse non parum eo rerum statu commovebatur. Nudabantur itaque suis ornamentis ipsius permissu atque auctoritate templa, quotquot extra urbem erant sita, ad Europaeum latus et loca littori adiacentia, quae quidem e Blachernis et Cornu ita dictis ad Euxinum usque pontum protensa in Bosporum desinunt. Ex his itaque omnibus pretiosa donaria reliquumque omnem apparatum auferentes ii, quibus id negotii erat datum, partim plaustris in urbem delata in tuto collocarunt, partim cymbis imposita, et freto intermedio traiecto, in adversam continentem detulerunt; eratque tum videre sacras iis in locis aedes nudas omnibusque suis ornamentis exutas, perinde ac nihil adhuc sanctimoniae nactas et recenter exstrui coeptas.

15. Adeo vero terribilia maximaque pericula ut omnino futura, animos occupabant, ut vix in muro a ficubus dicto et porta nuncupata aurea, duces quidam et tribuni militares multique armati constiterint, ut fortiter hostes, si forte impetum facerent, propulsarent. Erant vero neque bellicosi revera, sed ne mediocriter quidem in rebus

A. C. 558 ἀλλ' ἐκ τῶν ταγμάτων ἐκείνων, οἳ ἐς τὸ διημερεύειν τε καὶ
L. I. 32 διανυκτερεύειν ἐν τῇ αὐλῇ ἀπεκέκριντο, οὓς δὴ σχολαρίους ἀποκαλοῦσιν. οὗτοι δὲ στρατιῶται μὲν ὀνομάζονται, καὶ ἐγγε-
C γράφαται τοῖς τῶν καταλόγων βιβλίοις· εἰσὶ δὲ οἱ πολλοὶ ἀστικοί τε καὶ φαιδροείμονες, καὶ μόνον, οἶμαι, ὄγκου τοῦ βασιλείου ἕνεκα καὶ τῆς ἐν ταῖς προόδοις μεγαλαυχίας ἐξευρημένοι. καὶ τὸ μὲν παλαιὸν οὐκ ἄλλους τινὰς ἐν τοῖσδε θεμιτὸν ἦν κατατάττεσθαι, ἢ τοὺς αὐτουργεῖν τὰ πολέμια ἠσκημένους. καὶ τοίνυν οὐδὲ χρήματα εἰσῆγον ἐφ' ᾧ ἐνστρατεύσασθαι, ἀλλὰ χαριστηρίαν διαφανῶς καὶ ἀζήμιον ἐδέχοντο τὴν τιμήν, ἅτε δὴ ἄξιοι ἐκ τῶν προηγωνισμένων ἀναδειχθέντες. Ζήνων δὲ φαίνεται πρῶτος ὁ Ἴσαυρος μετὰ τὴν τῆς βασιλείας ἀνάκτησιν πολλοὺς τῶν ὁμοφύλων τοῖσδε τοῖς τάγμασιν ἐναριθμήσας, ἥκιστα μὲν ἐν συμπλοκαῖς ἀριστεύσαντας ἢ ὅλως ἐμ-
D πείρους γεγενημένους, ἄλλως δέ πως γνωρίμους αὐτῷ καὶ ξυνήθεις. εἶτα δοθέντος ἐν τῷ τότε καὶ παρειλημμένου τοῦ ἐξεῖναι οὐ μόνον ἀντὶ μόχθων τε καὶ ἀγώνων καὶ τῆς ἐν μάχαις ἀρετῆς, ὡς ἐν ἀμοιβῆς τρόπῳ καὶ γέρως ἐγκαταλέγεσθαι τοὺς ἀξίους, ἀλλὰ καὶ τοὺς παντάπασιν ἀπολέμους τῶν ὁμοίων μεταλαγχάνειν οὐ πρὸς ἀξίαν, ἀλλὰ πρὸς χάριν· δοθέντος δὴ οὖν τούτου τὴν ἀρχήν, παρῆλθεν εἰκότως εἰς μέσον ἐξ ἐκεί-

1. Pro οἳ R. τῶν. 2. ἀπεκέκρ. R., ἀποκ. vulg. δὴ R., δὲ vulg. 4. οἱ om. R. 6. μεγαλαυχίαις R. et Lugd. 1. m. 7. μὲν om. R. 9. χρώματα R. 12. φαίνηται edd. Pro μετὰ Par. κατά.

bellicis exercitati, sed ex illis legionibus, quae ad hoc sunt destinatae, ut interdiu et noctu in aula versentur; quos scholarios appellant. Hi vero milites quidem vocantur, et in catalogo stipendiatorum censentur; sunt autem plerique eorum urbani et splendide vestiti, sed tantum augendae dignitatis regiae causa et magnificentiae, quoties prodiret in publicum. Atque olim quidem non alios quosdam in hunc ordinem adsciscere licebat, quam qui tractandis rebus bellicis erant exercitati, ideoque neque pecuniam ullam pendebant, ut huic ordini adscriberentur, sed gratis citra ullos suos sumptus hoc honore donabantur, utpote digni ex anteactis proeliorum laboribus declarati. Zeno autem Isaurus videtur primus post recuperatum imperium multos tribules hisce legionibus accensuisse, quorum virtus nequaquam in proeliis emicuerat, aut alioquin exercitatos, sed notos sibi ac familiares. Postea cum eo tempore concessum receptumque esset, ut non solum pro laboribus et fortitudine in conflictibus declarata, veluti compensationis et praemii modo accenserentur digni, sed et illi, qui plane rudes atque inexpertes belli essent, non ex merito, sed ad gratiam: hoc, inquam, ubi initio concessum fuit, prodiit verisimiliter exinde in medium etiam acceptatio munerum, quae

νου καὶ ἐκ τῶν λημμάτων ἐπικουρία, ἡ πασῶν, ὡς ἔοικε, τῶν A. C. 558
ἄλλων ἐγκρατεστέρα, καὶ τολοιπὸν ἐς ἐμπορίαν μετέστη τὸ I. I. 32
χρῆμα, ὡς μηκέτι ἄλλως ἐν τοῖσδε τοῖς στρατεύμασι καταλέ- P. 160
γεσθαι τοὺς βουλομένους, πρὶν ἂν χρυσίου τι μέτρον κατα-
θεῖναι· τοῦτο δὲ ἀποτίσαντες, εὐθὺς ἐγχαράττονται ἀνεξετά-
στως, καὶ τῇ ἄλλῃ δυνάμει ἐναριθμοῦνται, εἰ καὶ παντάπασι
πολεμικῶν ἔργων ἀνεπιστήμονες τύχοιεν ὄντες. οὕτω τε τῆς
κρίσεως ἠμελημένης, εἰκότως ἄρα ἥκιστα διαπονεῖσθαι κατα-
ναγκάζονται, ὡς δὴ ὤνιον ἑλόντες τὸ γέρας, καὶ πλείστου
ὅσου πριάμενοι τὴν ἀργίαν. τοιοῦτοι δὴ οὖν ἄνδρες ἀπορίᾳ
τῶν ἐν πολέμοις ἀνατεθραμμένων τοῖς τείχεσιν ἐφεδρεύοντες,
φυλάσσειν ἐδόκουν. ὡς δὲ ἐπιπολὺ ἡ μὲν πόλις ἐν θορύβῳ
ὑπῆρχεν, οἱ δὲ βάρβαροι οὐκ ἀνίεσαν τὰ ἐν ποσὶ ληϊζόμενοι,
τότε δὴ Βελισάριος ὁ στρατηγὸς κεκμηκὼς ἤδη ὑπὸ τοῦ γή- B
ρως, στέλλεται ὅμως ἐπ' αὐτοὺς ἐκ βασιλέως. καὶ τοίνυν ὁ
πρεσβύτης διὰ μακροῦ αὖθις χρόνου θώρακά τε ἐνδὺς καὶ
κράνος ἀναδησάμενος, καὶ ἅπαν τὸ ἐκ παίδων αὐτῷ ξυνειθι-
σμένον περιβαλόμενος σχῆμα, ἀνενεοῦτο τῇ μνήμῃ τὰ φθά-
σαντα, καὶ ἐνέαζε τῇ προθυμίᾳ· τοῦτον γὰρ τὸν ἀγῶνα ὕστα-
τον ἐν τῷ οἰκείῳ βίῳ ἀπεργασάμενος, οὐχ ἧσσον ἀπηνέγκατο
κλέος, ἢ ὁπότε τὰ κατὰ Βανδίλων τε καὶ Γότθων ἀνεστήσατο
τρόπαια. ἡ γὰρ τῶν προσυμβεβηκότων ἀνάγκη καὶ ἡ περὶ

1. Post καὶ add. Par. ἡ. 2. Pro καὶ τολ. R. οὐ τολ. 4. πρὶν R., πλὴν vulg. καταθεῖναι R., καταθεῖεν vulg. 5. ἀπονίσαντες sph. Par. 13. ἀνίεσαν R., ἀνῄεσαν vulg. 20. ἀπεργασόμενος R.

omnibus, uti videtur, reliquis est potentior et deinceps in nundinationem res abiit, ut non amplius in has legiones accenserentur qui vellent, priusquam aliquam auri portionem deposuissent: quam ubi persolvissent, statim citra ullam inquisitionem inscribebantur reliquoque exercitui accensebantur, etiamsi plane operum bellicorum essent imperiti. Atque ita delectu neglecto, merito utique ad militiae labores non adigebantur, quippe qui venalem eum honorem essent adepti, ignaviamque magno emissent. Tales itaque viri inopia veteranorum militum muris insidentes, custodiam eorum agere videbantur. Cum vero iam per multos dies urbs in hoc tumultu versaretur, neque barbari obvia quaeque vastare desisterent, tum demum Belisarius dux iam fractus senio, mandato tamen Imperatoris in eos mittitur. Hic itaque senex loricam multo iam tempore desitam resumens galeamque capiti adaptans, et omnem, cui a puero assueverat, habitum capessens, praeteritorum memoriam redintegrabat, pristinamque animi alacritatem ac virtutem revocabat. Hoc enim ultimo in vita sua bello confecto non minorem gloriam consequebatur, quam cum de Vandalis et Gothis victis trophaea erexit.

A. C. 558 τοῦ μέλλοντος ἀμηχανία τήν τε ἐγχείρησιν μείζονα ἔδειξε
I. I. 32 καὶ γαυροτέραν καὶ τὴν νίκην ἀσμενεστάτην. εἰρήσεται δέ
C μοι αὐτίκα ἐς τὸ ἀκριβὲς, ὅπως ἕκαστα διηνύσθη.

V. 112 ιϛ'. Ὑπεξελθὼν γὰρ ὁ στρατηγὸς ὀλίγον τοῦ ἄστεος, καὶ ἐν Χέττου κώμῃ τῷ χωρίῳ στρατοπεδευσάμενος, ἐμπειρίαν τε ἐς τὰ μάλιστα ἐπεδείκνυτο καὶ τόλμαν πολλῷ κρείττονα τῆς ἡλικίας. γηραιὸς μὲν γὰρ ἦν ἤδη, καὶ ἀσθενείᾳ ὥσπερ εἰκὸς εἴχετο πολλῇ· οὔτε δὲ ἐνδιδοὺς τοῖς πόνοις ἐφαίνετο, οὔτε ἄλλως φιλοψυχήσας. εἵποντο δὲ ὁπλῖται μὲν ἄνδρες ἀγαθοὶ ἐς ἀλκὴν καὶ ξὺν αὐτῷ ἔνια τῶν ἀγώνων πεπονηκότες, ὁπόσα δὴ ἐν Ἑσπέρᾳ ἐτύγχανε διανύσας, οὐ πολλῷ πλείους τῶν τριακοσίων· τὸ δὲ λοιπὸν ἅπαν πλῆθος ἄνοπλόν τε ἦν περι-
D φανῶς καὶ ἀπόλεμον, καὶ μόνῳ τῷ ἀπείρως ἔχειν ἡδίστους ἡγούμενοι τοὺς κινδύνους, θέας τε ἕνεκα μᾶλλον ἢ παρατάξεως ἀφιγμένοι. συνέῤῥει δὲ ἀμφ' αὐτὸν καὶ ὁ τῶν πλησιοχώρων ἀγροίκων ὅμιλος. πεπορθημένων γὰρ αὐτοῖς ἤδη τῶν ἀγρῶν ὑπὸ τῶν βαρβάρων, οὐκ ἔχοντες ὅποι τραπεῖεν, ὡς Βελισάριον αὐτίκα ἠθροίζοντο. ὁ δὲ τῷ πλήθει τῶν ἀγροίκων ἐν δέοντι προσχρησάμενος, τάφρον εὐρεῖαν περιεβάλετο, καὶ κατασκόπους θαμὰ ἔστελλε, τὰς τῶν ἐναντίων δυνάμεις εἰκάσοντας ὡς οἷόν τε καὶ ἐξαριθμησομένους, καὶ εἴ τι ἕτερον

5. *Χέττου μήκῳ* R., *Chetumesum* Intpr. 7. *ἦν* add. ex R. 8. *δὲ* om. R. 11. *οὐ* in utroque codice a rec. m. superscriptum est. 11. *Ἑσπέρᾳ* Cl., *ὑστέρῳ* R. et vulg., Intpr. *antea.* 14. *τε* ins. ex R. 15. *ὁ* ins. ex R.

Nam et eorum, quae iam acciderant, immanitas et summa de futuro desperatio rem ipsam, quam aggrediebatur, maiorem illustrioremque efficiebant, et victoriam iucundissimam. Explicabitur vero a me statim accurate, quonam pacto singula peracta fuerint.

16. Dux itaque paululum extra urbem progressus, castrisque ad oppidum dictum Chettivicus locatis, summam suam et bellicae rei peritiam declaravit et audaciam longe maiorem aetate. Erat enim iam admodum senex, magnaque uti par erat virium imbecillitate laborabat; nullis tamen laboribus cedere, neque alioqui vitae cupidus esse videbatur. Sequebantur eum loricati praestanti robore viri, quique in nonnullis cum ipso proeliis decertarant, quae in occidentis terris confecerat, non multo plures trecentis; reliqua multitudo erat et plane inermis et imbellis, ideoque tantum, quod inexperti essent, dulce bellum existimantes, quique spectandi potius, quam in acie confligendi causa accesserant. Confluxerat etiam ad eum agrestium e vicinis locis turba. Cum enim iam ipsis agri a barbaris essent vastati, non habentes quo se verterent, ad Belisarium statim confugerant. Is vero turba agrestium suis copiis adiuncta commode opportuneque usus, amplam fossam circumduxit, exploratores crebro emisit, qui hostium copias observarent, quantum fieri

ἐλεῖν δυνηθεῖεν ἀπαγγελοῦντας. οὕτω τὲ διετέλει ἕκαστα γνω- A. C. 558
ματεύων καὶ διανοούμενος· νυκτὸς δὲ ἐπιγιγνομένης, φρυκτω- II. 32
ρίας ἀνῆπτε πολλὰς ἐπὶ μέγα τοῦ πεδίου σκεδαννυμένας, ἵνα P. 161
δὴ οἱ πολέμιοι ὁρῶντες οἰηθεῖεν μέγιστον εἶναι τὸ στράτευ-
μα, ταῖς πυραῖς ἀναμετροῦντες· καὶ τοίνυν οὕτω δὴ ᾤοντο,
καὶ δεδιότες ἠρέμουν. ἀτὰρ οὐκ ἐπιπλεῖστον ταῖς τοιαύταις
ἀπάταις καταστρατηγούμενοι, ἡσυχίαν ἦγον· ἠκηκόεσαν γὰρ
ἤδη ὡς ἐλάχιστος εἴη ὁ τῶν Ῥωμαίων στρατὸς, καὶ ἥκιστα
αὐτοῖς ἀξιόμαχος· πλὴν ἀλλ' οἱ στρατιῶται πολλῆς εἴχοντο
προθυμίας, περιφρονοῦντες μὲν τοὺς ἀντιπάλους, εἰ καὶ μυ-
ρίοι ὅσοι ἐπιφοιτήσαιεν, τῇ σφετέρᾳ δὲ ἀρετῇ μάλιστα πε-
ποιθότες, ἅτε δὴ Ῥωμαῖοί γε ὄντες, καὶ ἐμπειρίᾳ μεγάλων B
ἤδη κινδύνων τὰ πολέμια ἐκμελετήσαντες. συναισθόμενος δὲ
ὁ Βελισάριος τῆς τῶν ἀνδρῶν μεγαλοφροσύνης, καὶ ὅτι, μει-
ζόνως ἤπερ ἐχρῆν ἐπὶ τοῖς φθάσασι πόνοις βρενθυόμενοι,
τῶν ἐν ποσὶ κατολιγωροῦσιν, ἐδεδίει μήποτε ἄρα ἐντεῦθεν
μεγίστην εὐρυχωρίαν ταῖς ἐλπίσι παράσχοιεν, παρεισδῦναί
τε αὐτοὺς καὶ ἀπάγειν ὅποι καὶ βούλονται τῷ ῥᾳδίας καὶ
προσηνεῖς ὑποφαίνειν τὰς τῶν ἐγχειρημάτων ἐκβάσεις. ὡς ἂν
οὖν μὴ οὕτω ταῦτα συμβαῖεν, ἤθροισεν ἅπαντας ἐς ταὐτὸ, ὥσπερ
ἤδη τοῦ ἀγῶνος ἐφεστηκότος· καὶ φανεὶς ἐς μέσον, ἔλεξε τοιάδε. C

1. ἀπαγγελλοῦντας R. 12. Pro γε R. τε. 15. πόνοις om. Suid. s. v. βρενθύεσθαι. 17. παρεισδοῦναι R., παρεισδῆναι sph. Par. 20. οὖν om. R. συμβαῖνον R. 21. ἐφεστηκότος R. et Intpr. *imminente*, καθεστηκότος vulg.

posset, et dinumerarent, et si quid aliud rescire possent, renuntiarent: eoque in statu mansit, singula pensitans et cum animo suo revolvens, multosque in speculis longe lateque per agrum sparsis ignes accendit, ut hostes eos conspicati, maximum esse exercitum putarent, ex ignium accensorum multitudine eum metientes. Et quidem ita plane putabant, ideoque metuentes sibi, quieti substiterunt. Ceterum non dudum hoc militari astu elusi conquierunt. Audierant enim iam quam minimum esse Romanum exercitum, neque parem, qui cum ipsis proelio decernere posset. Belisarii milites interea valde erant alacres, hostemque contemnebant, etiamsi maximis copiis in se impetum faceret; virtute sua bellica praecipue freti, quippe quod Romani essent, et maximorum periculorum experientia in re bellica exercitatissimi. Belisarius vero, animadversa illa animorum elatione, quodque magis quam oporteret de praeteritis laboribus gloriantes, praesentia contemnerent, verebatur, ne nimis suis spebus habenas laxarent, quae ipsos transversos quocunque vellent abriperent, eo quod faciles admodum rerum, quas aggrediebantur, eventus sibi fingebant: quod quidem ne ita eveniret, omnibus in unum coactis, veluti proelio iam imminente, ipse in medium progressus, in hunc modum verba fecit.

A. C. 558 L. I. 32 ιζ. „Οὐχ ὡς ἐκ δέους ὑμᾶς, ὦ ἄνδρες, πρὸς τὸ θαῤῥεῖν ἀναστήσων, τοῦτο δὴ τὸ πρὸ τῶν κινδύνων γιγνόμενον, ἥκω τοῖς εἰωθόσι χρησόμενος λόγοις· ἦ γὰρ ἂν καὶ ἐπιλελῆσθαι τῶν πρότερόν μοι τῇ πείρᾳ γνωσθέντων δόξαιμι ἂν, εἴγε στρατιώταις Ῥωμαίοις, ἐν συμπλοκαῖς ἀεὶ τεθραμμένοις, καὶ πολιτείας ὡς εἰπεῖν μεγίστων ἐθνῶν καθελοῦσιν, εἶτα νῦν παραταττομένοις πρὸς βαρβάρους ἀλήτας, καὶ τούτους Οὔννους καὶ Κοτριγούρους, παραίνεσίν τινα πρὸς τὸ μὴ D δεδιέναι προθήσειν. ἀλλ᾽ ὁρῶν ἐν ὑμῖν πολὺ τὸ ὑπερφρονοῦν καὶ θρασυνόμενον, καὶ πέρα τοῦ καθεστῶτος ἠρμένον, οὐκ ἄλογον εἶναι τὸ δεῖν ἀναμνῆσαι τῆς ἀρχαίας ὑμῶν εὐκοσμίας ᾠήθην. τὸ γὰρ ἔκμετρον πανταχοῦ φυλακτέον τοῖς ἔμφροσιν, εἰ καὶ πρός τι τῶν ἐπαινουμένων φερόμενον τύχοι· καὶ τὸ μεγαλαυχεῖν ἐς τοσοῦτον τοῖς προϋπηργμένοις ἐς ὅσον τῶν ὁμοίων διὰ παντὸς τυγχάνειν πεπεῖσθαι, τὴν ἐκ τοῦ λογισμοῦ προμήθειαν ἀποβάλλειν φιλεῖ, καὶ πρὸς ἀλαζονείαν ἐξάγειν. τοῖς δὲ πρὸς τοῦτο παρανοίας ἐληλακόσιν, ὡς μηδὲν ὁτιοῦν ἐν νῷ τίθεσθαι τῶν μετρίων, κἂν αὐτὸ τὸ κρεῖττον ἀντιτάττεσθαι προαχθείη· καίτοι κἀκεῖνο σκοπεῖσθαι χρεὼν, ὡς εἰ καὶ πολλῷ τῆς ὑμετέρας ἀνδρείας ἡττώμενοι τύχοιεν, ἀλλὰ τῷ πλήθει κρατοῦσι. καὶ εἴπερ τὸ ἑκατέρω-

1. ὦ om. R. 5. εἶτε R. 8. *Κοτριγόρους* R. et vulg. 9. *προσθήσειν* R., *προθείην* coni. Cl. 11. *ὑμῶν* R. et Intpr. *veteris vestrae modestiae*, *ὑμᾶς* vulg. 13. *τύχῃ* R. 14. *προϋπηργαμένοις* R., Intpr. legebat *προϋπειργασμένοις*: *rebus olim egregie gestis.* 18. *κἂν* R., *καὶ* Lugd. et ed. pr., *κατ᾽* Par.

17. „Non tanquam e metu vos, o viri, ad audendum erecturus, (quod quidem ante proelia fieri solet,) venio, consuetis usurus verbis. Viderer enim profecto eorum, quae olim experientia ipsa mihi cognita sunt, oblitus, si apud milites Romanos in proeliis semper educatos, quique maximarum prope dixerim gentium res publicas everterunt, nunc vero adversus vagos barbaros, atque hos quidem Hunnos et Cotriguros, exhortatione quadam ad excutiendum metum accommodata uterer. Sed cum in vobis magnam animorum elationem confidentiamque animadvertam modum omnem excedentem, non abs re facturus mihi sum visus, si vos veteris vestrae modestiae commonefacerem. Omne enim immoderatum quacunque in re vitandum est viris cordatis, etiamsi ad laudabilem aliquem finem tendat, et nimia animi elatio gloriatioque de rebus antea bene gestis, qua similem perpetuo successum certo nobis pollicemur, prudentiam ex animis profligare consuevit, et ad superbiam arrogantiamque concitare. Qui vero eo vesaniae venerunt, ut nihil moderatum animo concipiant, ii vel ad Deum ipsum oppugnandum sunt evasuri. Adhaec considerare etiam oportet, quod tametsi barbari virtute bellica et fortitudine longe

θεν πλεονάζον ἀντεξετάσοιμεν, πρὸς ἰσότητα χωρήσει τὰ τῆς A.C.558
ἀμετρίας. πῶς οὖν οὐκ αἰσχρὸν ἡμᾶς ἐξ ἀγχωμάλου παρα- I. I. 32
σκευῆς ἀγωνιζομένους, οὕτω λίαν ἔχειν τὸ προπετὲς καὶ ἀκά- P.162
θεκτον, ὡς μηδὲ καιρὸν ἢ τάξιν ἢ τὰς ἀτάκτους τῆς τύχης V.113
ῥοπὰς ἐν λόγῳ ποιεῖσθαι; δυνάμει γὰρ χειρῶν οὐκ ἄν τις,
οἶμαι, περιέσοιτο πολεμίων, ἢν μὴ προσῇ τὸ κρῖνον ὀρθῶς
καὶ λογιζόμενον. ἐπεὶ πῶς ἂν οἷόν τε ἦν ἔμοιγε ἐς τόδε
πολιᾶς ἥκοντι, καὶ οἷον ἐξώρῳ τὰ πολέμια γεγενημένῳ, παρα-
τάξεσιν ὁμιλεῖν καὶ κινδύνοις, εἰ μὴ τοῖς τῆς εὐβουλίας ἀγα-
θοῖς ἐνῆν ἀμωσγέπως πεποιθέναι; εἰ τοίνυν καὶ γήρως ἀσθέ-
νειαν γνώμη στεῤῥὰ καὶ τῶν προσηκόντων ἐφιεμένη κρατύ-
νει καὶ διανίστησι πρὸς τὸ συνοῖσον, ἀναπληροῦσα τῇ προ- B
μηθείᾳ τὸ ἐκ τῆς ἡλικίας ἐνδέον, πῶς οὐ μᾶλλον ὑμᾶς ὀνή-
σει νεότητι συμπαροῦσα καὶ τῇ τοῦ σώματος ῥώμῃ; τὰς μὲν
γὰρ ἐκ τύχης τινὸς ἢ χειρὸς ἀγεννοῦς ἀποτεύξεις ἴσως ἂν
λογισμὸς ἀσφαλής, καὶ οἷος τοῖς προσπεσοῦσιν ἁρμόσασθαι,
μετασκευάσειε πρὸς τὸ συμφέρον, καὶ θεραπεύσειε τὸ ἡμαρ-
τημένον. ἔνθα δὲ γνώμης σφαλείσης, τῷ μὴ τὰ δέοντα δια-
νοηθῆναι, τῶν ἀβουλήτων τι συνενεχθείη, πόθεν ἂν ληπτέον
τὸ σῶζον καὶ ἀνακαλούμενον, εἴγε πρῶτον ἐκεῖνο τὸ ταῦτα
τίκτειν πεφυκὸς παρατραπείη; καίτοι θαυμάσειεν ἴσως ἄν τις

1. ἀντεξετάζοιμεν R. 3. ἀγωνισομένους Par. 4. τῆς τύχης om. R. 7. ἦν om. R. 10. ἐρῆν R. 12. τῇ προμηθείᾳ — συμπαροῦσα om. R. 15. γὰρ om. R.

nobis sunt inferiores, multitudine tamen superant: et si quae utrimque excedunt, inter se conferantur atque expendantur, excessus ad aequalitatem redigetur. Quo pacto igitur non turpe fuerit, nos, qui aequo apparatu sumus conflicturi, adeo praecipites atque effrenes ferri, ut neque temporis, neque ordinis, neque temerariorum fortunae momentorum rationem ullam habeamus? Neque enim quisquam, uti arbitror, manuum vi hostes superaverit, nisi adsit iudicii consiliique rectitudo. Quo enim pacto fieri posset, ut ego, qui ad tantam canitiem perveni, ut propemodum vietus belloque ineptus sim, in conflictibus proeliisque versarer, nisi me consiliorum bonitate prudentiaque sustentarem? Quocirca si etiam senectutis imbecillitatem mens recta ac firma et quae par est appetens corroborat, et ad res bene gerendas exsuscitat, aetatis defectum prudentia compensans; quomodo non multo amplius vobis utilis sit futura iuventuti corporisque robori coniuncta? Sinistros enim e fortuito aliquo casu vel manus vitio profectos eventus fortasse recta cogitatio, quaeque se casibus accommodare norit, in melius transferre erratumque corrigere possit: ubi vero mentis vitio, quod inconsultius, quam oportet, res aggrediamur, adversi aliquid evenerit, unde, quaeso, remedium ac salus petentur, si primum illud, quod haec gignere solet, sit depravatum atque subversum? Atqui mirabitur forsitan aliquis

A. C. 558 L. I. 32 ἐμοῦ τῆς ἐπὶ τῇ παραινέσει καινοτομίας. δέον γὰρ προσεξαίρειν καὶ διανιστᾷν τὸ πεποιθὸς ἐν ὑμῖν καὶ προθυμούμενον, C ἀλλ' ἔγωγε κοιλαίνω ταῦτα τοὐναντίον καὶ παραιροῦμαι, καὶ λογισμοὺς ἐμβάλλων καὶ ὄκνους, καὶ ἀμφιβόλους ποιῶν τὰς ἐλπίδας.

ιή. „Πλὴν ἀλλ' ἔμοιγε μὲν καὶ τοῦτο θυμῆρες εἶναι δοκεῖ, καὶ πρὸς τὸ εὔελπι φέρον, εἴγε τοιούτοις ἀνδράσιν ἥκω συμπολεμήσων, οὓς εἰ πείσαιμι βραχὺ γοῦν ὑφελεῖν τοῦ δραστηρίου, δεινὸς ἂν ἐν λόγοις, οἶμαι, κριθείην. ἴστω δὲ πᾶς τις ὑμῶν, ὡς ἀνδρείας ὁρμαῖς οὐκ ἀναθετέον τὰς ἄνευ φρονήσεως ἐγχειρήσεις, ἀλλὰ θρασύτητι καὶ προπετείᾳ καὶ παρατροπῇ τοῦ καθήκοντος τρόπου· ὥστε τὸ μὲν πρόθυμον τῆς D ψυχῆς μενέτω παρ' ὑμῖν, καὶ κατὰ τὸ μᾶλλον ἐνακμαζέτω· λογισμῷ δὲ σώφρονι καὶ τῶν προσηκόντων ἐχομένῳ τὸ ὑπερβάλλον τῆς τόλμης καὶ πρὸς αὐθάδειαν ἀνάγον ὑποτεμνέσθω. οὐ γὰρ ὄκνον ἐντίθησι καὶ δειλίαν τὸ λογίζεσθαι καὶ σκοπεῖν ὅπως τοῖς παροῦσι χρηστέον, ἀλλὰ σεμνότητα καὶ παῤῥησίαν. οὕτω γὰρ τῶν ὠφελίμων διαγνωσθέντων, ἕπεται πάντως τὸ δικαίως θαῤῥεῖν, ὡς οὐ πρὸς ἀδήλους τύχας εἰκῇ προηγμένον, ἀλλὰ τῇ κρίσει τὸ βέβαιον ἔχειν καταληφθὲν καὶ πεπιστευμένον. ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν, ὡς οὐχ οἷόν τε φύσιν

6. ἔμοιγε R., ἐμοὶ vulg. 9. Pro οἶμαι R. εἶναι. 10. ἡμῶν R. 11. ἐγχειρήσεις — πρόθυμον om. R. 15. ἀνάγον R., ἄγον vulg. 20. ἀλλὰ — πεπιστευμένον om. R. et Intpr. 21. ὡς οὐχ οἷόν τε add. ex R. et Intpr. *haudquaquam posse* etc.

admonitionis meae insolentiam. Cum enim excitare atque erigere confidentiam vestram animorumque alacritatem oporteret, ego haec e contrario enervo atque imminuo, et cogitationes vobis iniiciens et metus, et dubias spes faciens.

18. „Ceterum mihi quidem etiam hoc iucundum ac volupe esse videtur, bonamque spem mihi concitat, quod cum talibus viris ad proelium accedo, quibus si persuasero, ut tantillum de acrimonia animorum remittant, multum dicendo valuisse videar. Hoc vero sibi quisque vestrum persuadeat, conatus actionesque prudentia destitutas non esse adscribendas fortitudini, sed audaciae et temeritati et praevaricationi officii. Quocirca acrimonia quidem animorum in vobis maneat, immo et magis magisque vigeat; moderata vero castigataque cogitatione, atque intra officii limites se continente, nimia audacia arrogantiam secum trahens succidatur. Neque enim metum ac timiditatem infert cogitare et considerare, quo pacto rebus praesentibus sit utendum, immo vero dignitatem atque fidentiam. Ita enim rebus, quae ex usu sunt, perpensis, consectaneum est omnino, ut iustam audaciam concipiamus, quippe quae non ad incerta fortunae temere efferatur, iudicio sit confirmata et stabilita. Sed dicet forsitan aliquis ve-

γενναίαν εὐλόγως ὁρμῶσαν, καὶ τοῦ μοχθεῖν διαπαντὸς ἐφιεμένην, A. C. 558 εἶτα νῦν ἀθρόον ἐπέχειν καὶ βιάζεσθαι πρὸς τὸ ἠρεμοῦν L. I. 32 καὶ ὑφειμένον, καὶ πέρα τῆς ἀνάγκης μέλλον καὶ βουλευόμενον, P. 163 μάλιστα δυσανασχετοῦσαν ἐφ' οἷς καθ' ἡμῶν οἱ βάρβαροι παροινοῦσι, φέροντες ἀνέδην ἅπαντα, καὶ παρ' αὐτὴν δήπου τὴν βασιλίδα πόλιν τὰς ἐκδρομὰς ποιεῖσθαι τολμῶντες. ἔχει μὲν οὖν οὕτω ταῦτα, καὶ βεβαιοῦται τῇ πείρᾳ τὸ προσηκόντως ὑμᾶς τοῖς πολεμίοις ὀργίζεσθαι. οἷς γὰρ συνεκεχώρηντο πρότερον, οὐ μετρίως ἐχρήσαντο· πλὴν ἀλλὰ καὶ λίαν ἐφικτόν, οἶμαι, τοῖς ἔμφροσιν, περιελεῖν μὲν τοῦ θυμοῦ τὸ μεμηνὸς καὶ ταραχῶδες, καὶ τοῖς προστυχοῦσιν ἐγχειρεῖν ἀνεξετάστως ἱέμενον, κατέχειν δὲ μόνον αὐτοῦ τὸ μεγαλουργόν τε καὶ ἄτρεπτον, καὶ πρὸς τὰς ἐναντιώσεις ἀν- B τέχον. τῶν γὰρ τῆς ψυχῆς κινημάτων τὰ μὲν ὅσα πεφύκασι καθαρὸν ἔχειν καὶ ἀκραιφνὲς τὸ αἱρετὸν καὶ καθῆκον, τούτων ἐντελῶς καὶ δὴ ἀνθεκτέον. οἷς δὲ μέτεστι καὶ τῆς πρὸς τἀναντία τροπῆς καὶ ἐκνεύσεως, τούτοις οὐ διὰ πάντων χρηστέον, ἀλλ' ἐς ὅσον ἔχουσι τὸ συμφέρον. τὸ μὲν οὖν φρονοῦν ἀμιγὲς ἀγαθὸν καὶ ἀνόθευτον ἅπαντες εἶναι φήσοιτε ἄν. τῆς δὲ ὀργῆς τὸ μὲν δραστήριον εὐκλεές, τὸ δὲ θράσος φευκτὸν

1. ὀργῶσαν coni. Bon. Vulc. 5. Pro φέροντες R. ἐφῶντες 7. οὖν add. ex R. 8. τοῖς πολεμίοις — ἐφικτὸν οἶμαι om. R. 17. Pro ἐκνεύσεως R. et Intpr., ut videtur, ἐκβάσεως: *in contrarium eventum*. 20. Pro θράσος lacuna est in Lugd. et ed. pr.

strum, non posse naturam generosam et impetu rationi consentaneo concitatam, et laboris perpetuo appetentem, nunc confestim inhiberi, et cogi ad quietem et remissionem et moras ac deliberationes longiores, quam necessitas postulet, praecipue cum aegerrime ferat, barbaros adeo contumeliose nobis insultare, omniaque promiscue agere ac ferre, adeo ut ad ipsam usque regiam urbem excursiones facere audeant. Haec quidem ita se habent, et experientia ipsa comprobatur merito vos in hostes ira inflammatos. Lenitate enim patientiaque vestra nequaquam moderate usi sunt. Verumtamen valde etiam facile iudicarim, viris cordatis compescere et submovere ab ira furorem et perturbationem, et inconsultum ad res, quae nobis sese offerunt, impetum, tantumque ex ea animi magnitudinem constantiamque retinere, et adversantibus obsistere: nam ex animae motibus, quicunque pure atque sincere sunt cum honestate officioque congruentes et expetendi, ii utique absolute sunt amplectendi: qui vero etiam in contraria nutant ac vergunt, iis non perpetuo est utendum, nisi quatenus utilitatem adferunt. Prudentiam itaque purum minimeque adulterinum bonum esse, non negaveritis, credo. In ira vero acrimonia quidem et strenuitas est laudabilis: audacia vero fugienda, ut damno non vacans.

A. C. 558 καὶ ἀσύμφορον. οὐκοῦν τὸ μὲν ὅλον* τῆς δὲ τὸ βέλτιστον ἐξ-
I. I. 32 αιρούμενοι, καὶ φρονήσει τὸ κατορθοῦν ἀναμιγνύντες, ἴωμεν
C οὕτω σὺν παῤῥησίᾳ κατὰ τῶν δυσμενῶν, ὡς οὐδενὸς ἡμῖν
τῶν δεόντων περιοφθέντος. γινώσκειν γὰρ μόνον χρεὼν, ὡς
V. 114 ἀγωνιστέον πρὸς ἄνδρας βαρβάρους, ἐπιέναι μὲν ληστρικώ-
τερον εἰθισμένους, καὶ λαθραίας ἐφόδους ποιεῖσθαι, πρὸς δὲ
παρατάξεις ἐμφανεῖς οὐ μάλα γεγυμνασμένους, οὐδὲ ταῖς
συμπλοκαῖς ἐγκαρτερεῖν παιδευθέντας. ὁρῶντες δὲ νῦν σταδίαν
μαχὴν κατ' αὐτῶν παρεσκευασμένην, ἐρυμάτων τε καὶ περι-
βόλων ἐκτὸς τὸ ἀντιστατοῦν καὶ ἀμυνόμενον ἐπὶ στρατοπέδου
συντεταγμένον, ἀποβαλοῦσι μὲν κατὰ τὸ εἰκὸς τὰ συνειθι-
D σμένα· περιαχθήσονται δὲ πρὸς τὸ ἐμμῖξαι καὶ προσπελάσαι
καὶ συστάδην διαγωνίζεσθαι, διδασκούσης αὐτοὺς τῆς ἀνάγ-
κης· πλὴν ἀλλὰ σωφρονούντων ἡμῶν καὶ τῇ πατρίῳ τάξει
χρωμένων, καὶ μετ' εὐβουλίας ἐπὶ τὰ πρακτέα χωρούντων,
εἴσονται διὰ τῆς πείρας, ὡς τῷ παντὶ κρεῖττον ἀεὶ τὸ προη-
σκημένον καὶ τὸ αὐθαίρετον τοῦ αὐτοσχεδίου καὶ ἠναγκα-
σμένου."

ιθ'. Τοσαῦτα μὲν ὁ Βελισάριος εἶπεν. οἱ δὲ στρατιῶ-
ται μεταμαθόντες τὸ λῷον, εἴχοντο μὲν καὶ ὣς τῆς ἀνδρίας,
πλέον δέ τι ἦν ἐν αὐτοῖς τοῦ γαυρουμένου τὸ εὐλαβούμενον.

1. τὸ μὲν ὅλον τῆς δὲ R., Intpr. *quocirca ex ea ipsa quae potiora sunt deligendo*, οὐκοῦν τὸ μὲν (lac.) τὸ βέλ. Lugd. et ed. pr., οὐκοῦν τῆς μὲν ὀργῆς τὸ βέλ. Par. 5. ἀγωνιστέων sph. Par. 16. προσκείμενον R. 17. ἀναίρετον R. 20. ἀνδρείας R.

Quocirca id quod in ira est optimum deligentes, prudentiaque res gerendas temperantes, ita demum fidenter in hostem eamus, quippe qui nihil eorum, quae necessaria sunt, neglexerimus. Hoc tantum sciamus oportet, decertandum nobis esse cum hominibus barbaris, qui praedonum in morem adoriri occultosque insultus facere consueverunt, ad aperta vero proelia non admodum sunt exercitati, neque in conflictibus perdurare docti. Nunc autem cernentes statariam pugnam in se apparari, et extra vallum propugnacula et muros vim omnem obsistendi ac propulsandi in exercitu constitutam, deposituri sunt verisimiliter veterem suam consuetudinem, eoque adducentur, ut nobiscum misceantur et collato pede armis decernant, docente ipsos necessitate. Vobis vero prudenter rem gerentibus patrioque ordine ac disciplina utentibus actionesque nostras recto consilio moderantibus, cognoscent reipsa, quanto id, quod exercitatione nostraque voluntate et studio est acquisitum, ex temporario et coacto semper sit praestantius."

19. His dictis Belisarius finem fecit. Romani vero resipiscentes, retinuerunt quidem etiam ita fortitudinem, plusculum tamen quid eis inerat circumspectionis, quam iactantiae, et tali fere ani-

τοιούτου τε, οἶμαι, φρονήματος μετ' εὐκοσμίας ἐνεπίμπλαντο, A. C. 558 ὡς ἐλάχιστα μεγάλοις εἰκάσαι, ὁποίῳ δὴ πάλαι φασὶ τοὺς I. I. 32 ἀμφὶ Λεωνίδαν Λακεδαιμονίους ἐν Θερμοπύλαις, προσβάλλοντος P. 164 ἤδη τοῦ Ξέρξου, ἐγκαλλωπίσασθαι. ἀλλ' ἐκεῖνοι μὲν πανωλεθρίᾳ διεφθάρησαν, μόνῳ τούτῳ εὐδοκιμήσαντες τῷ μὴ ἀγεννῶς ἀπολέσθαι, ἀλλὰ πολλοὺς πρότερον τῶν Περσῶν ἀποκτείναντες· οἱ δὲ ἀμφὶ Βελισάριον Ῥωμαῖοι παῤῥησίᾳ μὲν ἐχρῶντο Λακωνικῇ· πάντας δὲ τοὺς πολεμίους ἐτρέψαντο ἀνὰ κράτος, καὶ πλείστους ὅσους διεχειρίσαντο, οὐδὲν αὐτοὶ ἄχαρι πρὸς αὐτῶν ὅ, τι καὶ λόγου ἄξιον πεπονθότες. ἐπειδὴ γὰρ ἀθρόον ἐκ τοῦ σφετέρου στρατοπέδου οἱ βάρβαροι ἐς δισχιλίους ἱππότας ἀποκεκριμένοι ἔθεον σὺν βοῇ, ὡς ῥᾷστα τοὺς ἐναντίους ἀναρπασόμενοι, αὐτίκα ὁ Βελισάριος, ὡς οἱ κατάσκοποι ἧκον ἐπιδεικνύντες αὐτοὺς μονονουχὶ, καὶ ὅσον οὔπω παρέσεσθαι διεξιόντες, ἀντεξῆγε τοὺς ἀμφ' αὐτὸν, σοφιζόμενος B ὡς οἷόν τε τὴν ὀλιγότητα καὶ ἐπικρύπτων. ἀπολεξάμενος γὰρ διακοσίους ἱππότας πελτοφόρους τε καὶ ἀκοντιστὰς, εἰς ἐνέδρας ἐμέριζεν ἑκατέρωθεν ὑπὸ τῇ νάπῃ, ὅθεν ᾤετο τὴν προσβολὴν ἔσεσθαι τῶν βαρβάρων· προειρημένον, ὥστε, ἐπειδὰν αὐτοῖς ἐγκελεύσηται καὶ σημήνῃ, τοὺς δὲ εὐθὺς ἐπιέναι ἀκοντίζοντας τὴν φάλαγγα τῶν πολεμίων, ὅπως δὴ πιεζομένη ὑποστέλλοιτο, ἄχρηστόν τε αὐτοῖς ἔοι τὸ πλῆθος, πα-

1. τοιούτου δὲ R. 2. ὁποίῳ R., ὁποῖα vulg. 3. προσβάλλοντος R., προσβαλόντος vulg. 4. Χέρξου et 5. πανωλετρίᾳ sph. Par. 15. διεξιόντος sph. Par. 18. εἰς ἐνέργειαν R. ὑπὸ τῇ R., ἐπὶ τῇ vulg. 20. αὐτοῖς R., αὐτὸς vulg.

morum strenuitate pariter et modestia erant praediti, (ut minima comparemus magnis,) quales olim qui circa Leonidam erant Lacedaemonii fuisse commemorant, cum ad Thermopylas Xerxes eis immineret. Sed illi quidem ad internecionem omnes caesi sunt, eo solo celebres, quod non turpiter periissent, sed multis antea Persis interfectis. Qui vero Belisario aderant Romani, audacia quidem usi sunt Laconica, universos autem hostes fortiter fugarunt, et quamplurimos eorum trucidarunt, ipsi nullo singulari incommodo ab illis affecti. Cum enim ex barbaris duo equitum millia a reliquo exercitu separata confestim cum clamore procurrerent, veluti facillime hostes deleturi, et speculatores ad Belisarium venissent eos indicantes, et iamiam adfuturos dicentes, suas contra copias duxit, simulans quantum fieri poterat paucitatem atque occultans. Selectos enim equites ducentos scutatos et iaculatores in silva utrimque in insidiis collocavit, qua parte barbaros impetum facturos putabat, praemonitos, ut simul atque ipse signo dato mandasset, confestim in hostile agmen iaculantes proruerent, ut nimirum iaculorum vi pressi in arctum se contraherent, et multitudo ipsis inutilis redderetur, neque laxare ac

A. C. 558 ρατείνεσθαι μὴ δυνάμενον, ἀλλ' εἰς ἑαυτὸ περιελιττόμενον. τοὺς
I. I. 32 δὲ ἀγροίκους ἐκέλευε καὶ τῶν ἀστῶν τοὺς [πολλοὺς τοῖς] πολε-
μίοις ἐπιβοῶντας τορόν τι καὶ ἐπικροτοῦντας, ἕπεσθαι αὐτῷ
C ἔνθα καὶ ἴοι. ἅμα γὰρ τοῖς λοιποῖς ἐς μέσον εἱστήκει, ὡς
τὴν ἐσβολὴν ἐκ τοῦ ἐμφανοῦς ἐκδεξόμενος. ὡς δὲ ἧκον ἤδη, καὶ
ἐς τὰ πρόσω χωροῦντες εἴσω τῶν λόχων οἱ πλεῖστοι ἐγίγνον-
το, αὐτίκα Βελισάριος ἅμα τοῖς ἀμφ' αὐτὸν ἀντιμέτωπος
ὑπαντιάσας συνέῤῥαξέ σφισιν ἐῤῥωμενέστατα· οἵ τε ἄγροικοι
καὶ τὸ λοιπὸν ἅπαν πλῆθος ἐμβοῶντες, καὶ ἐπικτυποῦντες
τοῖς ξύλοις, ἃ δὴ ἐς τοῦτο ἔφερον, παρεθάρσυνον τοὺς μα-
χομένους. δοθέντος δὲ τοῦ συνθήματος, καὶ δὴ οἱ ἄλλοι ἐκ
τῶν κρυπτίων ἀναθορόντες, τοὺς καθ' αὐτοὺς ἑκάτεροι κατὰ
τὸ ἐγκάρσιον ἔβαλλον· βοή τε ἐγίγνετο καὶ ταραχὴ μείζων ἢ
κατὰ τὸ μέγεθος τοῦ πολέμου. οἱ δὲ βάρβαροι πάντοθεν ἀ-
D κοντιζόμενοι, τοῦτο δὴ ὅπερ Βελισάριος διενοήθη, εἰς ἑαυτοὺς
ἀνεχώρουν, καὶ εἰς στενότητα συνεσπειραμένοι, ἀμύνασθαι
οὐκ ἠδύναντο· οὔτε γὰρ τοξεύειν αὐτοῖς εὐπετὲς ὑπῆρχε τῷ
μηδὲ χώραν εἶναι τοῖς βέλεσιν, ἀλλὰ γὰρ οὔτε ἐκδρομὰς τοῖς
ἵπποις καὶ ὑπερκερώσεις ποιεῖσθαι· κύκλῳ τε ἐδόκουν ἔχεσθαι
ὡς δὴ μεγίστῳ στρατεύματι ἀπειλημμένοι. οἵ τε γὰρ ὄπισθεν
σὺν ἀλαλαγμῷ ἐπιφερόμενοι καὶ πατάγῳ, ἔκπληξιν παρεῖχον·
ὅ τε κονιορτὸς εἰς ὕψος αἰρόμενος οὐ ξυνεχώρει διαγιγνώ-

2. ἀστῶν τοὺς [π. τ.] πολεμίοις. Sic emendavi; ἀστ. τοὺς πολεμίους R. et vulg. 9. ἐπιβοῶντες R. 16. συνεσπειραμένοι R., συνεπειρημένοι Lugd. et ed. pr., συνεπειλημμένοι Par. ἀμύνασθαι R., ἀμύνεσθαι vulg.

dilatare aciem possent, sed in seipsos convoluti implicatique essent. Agrestes vero et qui e civibus erant bello apti, iussit, ut ingenti clamore et fragore armorum edito, se, quo iret, sequerentur: cum reliquis enim in medio constiterat, tanquam hostium impetum aperte excepturus. Cum autem iam venirent barbari, ulteriusque progredientes intra insidias plerique pervenissent, Belisarius statim cum iis, qui ipsi aderant, adversa fronte occurrens, validissimum in eos impetum fecit, et agrestes omnisque reliqua multitudo clamore et lignorum, quae eum in usum gestabant, complosione ac fragore pugnantibus animos addebant. Dato vero signo, etiam alii ex insidiis prosilientes, utrimque transversim in hostes ruunt; clamorque et tumultus maior quam pro proelii magnitudine est excitatus. Tum barbari omni ex parte iaculis icti, (id quod Belisarius praecogitarat,) in se ipsos conglomerati et in arctum redacti ac compressi, tueri se bellando non poterant. Neque enim sagittare commode poterant, cum neque locus esset telis, neque excursiones equis et alarum circumductiones facere poterant; videbanturque veluti maximo exercitu circumventi et in orbem cincti. Nam et qui a tergo magno ulutatu et fragore eos urgebant, terrorem incutiebant, et pulvis in altum elatus

σκεσθαι τοὺς συμπλεκομένους, ὁπόσοι ἐτύγχανον ὄντες. πρῶτος A. C. 558 δὲ Βελισάριος πολλοὺς τῶν ἀντιπαραταττομένων διαφθείρας, I. I. 32 καὶ τὸ οἰκεῖον μέρος ἀπωσάμενος, φεύγειν ἠνάγκασεν. ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων ἐγκειμένων, στρέψαντες τὰ νῶτα P. 165 οἱ βάρβαροι ᾤχοντο ξὺν ἀκοσμίᾳ, σποράδην σκεδαννύμενοι V. 115 καὶ ἥκιστα ἀλλήλους ὀπισθοφυλακοῦντες, ἀλλ' ὡς ἂν αὐτῶν ἕκαστος ᾤετο ὠκύτατα ἀποδράσειν. ἐπισπόμενοι δὲ οἱ Ῥωμαῖοι ἐν τάξει, τοὺς ἐν χερσὶν εὐκολώτατα διεχρῶντο. φόνος τε ἐγίγνετο τῶν βαρβάρων πολὺς ἀμεταστρεπτὶ ἀπελαυνόντων· τά τε γὰρ ἡνία τοῖς ἵπποις ἅπαντα μεθίετο· καὶ πρός γε αἱ μάστιγες κατεπείγουσαι προανέστελλον τοῦ τάχους τὸ ἐνδόσιμον· ἐπελελοίπει δὲ αὐτοὺς ὑπὸ τοῦ δέους καὶ αὐτὸ δὴ ἐφ' ὅτῳ μέγα φρονοῦσι τὸ ἐπιτήδευμα· φεύγοντες γὰρ οἵδε οἱ βάρβαροι μᾶλλον ἀμύνονται τοὺς ἐς τὴν δίωξιν ἐγκειμένους, μεταστροφάδην ἐπιτοξεύοντες. τότε γὰρ καὶ βιαιότερον B κατὰ σκοποῦ φερόμενα τὰ βέλη ἐμπήγνυνται, ἡνίκα τὰ μὲν πολλῇ τῇ ῥύμῃ φέρεται ἰθὺ τῶν διωκόντων, οἱ δὲ, ἀντίξοι καταθέοντες, ἀντεμπίπτουσι καὶ ἀντεπιφέρονται, σφοδροτέραν τε τὴν πληγὴν σφίσιν αὐτοῖς ἐκτελοῦσι τῷ ὑπαντιάζειν καὶ ὡς πλησιαίτατα ὑποδέχεσθαι.

κ'. Ἀλλὰ τότε γε ἅπαντα τοῖς Οὔννοις ἀμήχανα εἶναι ἐδόκει, καὶ οὐδὲ ἐς πεῖραν ἐλθεῖν τέχνης τινὸς ἠβούλοντο

4. ἐγχειμ. sph. Par. 6. αὐτῶν ἕκαστος R., ἕκαστ. αὐτ. vulg. 12. καὶ αὐτοὺς R. 13. φεύγοντες δὲ οἱ βάρβ. R. 16. φερόμενα om. R. 17. ἐφέρεται R. ἀντίξοοι R.

obstabat, quominus de numero eorum, qui in conflictu erant, iudicare possent. Primus autem Belisarius, multis ex adversa acie caesis ac profligatis, in fugam eos compulit; deinde vero aliis etiam universis impressionem facientibus, barbari terga vertentes incomposite fugerunt sparsim dissipati, nullis sibi mutuo a tergo custodiis caventes, sed quo cuique visum erat, effusissimo cursu aufugientes. Romani vero acie instructa eos insectantes, extremos quosque facillime trucidant; magnaque barbarorum caedes est edita, citra ullam cum equis retroversionem fugientibus. Nam et habenas omnes equis laxarant, et praeterea flagella assidue urgentia praeripiebant celeritatis remissionem. Defecerat autem ipsos prae pavore etiam ars ipsa, qua magnopere gloriari solent. Fugientes enim hi barbari magis propulsant eos, qui sese acriter insectantur, retroversim sagittantes. Tunc enim etiam violentius sagittae scopo, quem petunt, infiguntur, quando illae quidem magno impetu recta feruntur in persequentes, et hi ex adverso occurrentes in sagittas proruunt contraque feruntur, gravioremque sibi ipsis plagam efficiunt occurrendo et sagittas e proximo excipiendo.

20. At tum temporis omnia Hunnis desperata esse videbantur, neque illis artem ullam propulsandi hostes attentare in mentem venie-

A. C. 558 I. L 32 ἀμυντηρίας. ἐτεθνήκεσαν δὲ αὐτῶν μὲν ἀμφὶ τοὺς τετρακοσίους, Ῥωμαίων δὲ ὅστις οὐδείς· μόνον δὲ τραυματίαι ὀλίγοι ἐγεγένηντο. μόλις δὴ οὖν Ζαβεργὰν τε ὁ ἡγεμὼν καὶ C οἱ ἐκφυγόντες ἄσμενοι ἐς τὸ στρατόπεδον ἵκοντο· οἱ γὰρ δὴ τῶν Ῥωμαίων ἵπποι πρὸς τὴν δίωξιν ἀπειρηκότες, αἰτιώτατοι αὐτοῖς τοῦ περιεῖναι γεγένηνται, ἐπεὶ ἂν αὐτοβοεὶ ἅπαντας κατειργάσαντο. νῦν δὲ οἱ μὲν τοῖς χαρακώμασι σὺν πλείστῳ θορύβῳ ἐμβαλόντες, συνεκύκησαν ἅπαν τὸ λοιπὸν στράτευμα, ὑποτοπήσαντας αὐτίκα μάλα διαφθερεῖσθαι. οἰμωγή τε ἠκούετο μακρὰ βαρβαρική· τοῖς γὰρ ξιφιδίοις τὰς παρειὰς καταξαίνοντες, ὠλοφύροντο κατὰ τὸν πάτριον νόμον. Ῥωμαῖοι δὲ σὺν Βελισαρίῳ ἀπεχώρουν ἐς τὰ ὀπίσω, κρείττονα μὲν ἐλπίδος ὡς ἐκ τῶν παρόντων διαπραξάμενοι, ἄξια D δὲ ὅμως τῆς τοῦ στρατηγοῦ προμηθείας. τούτου δὲ τοῦ πάθους τοῖς βαρβάροις ξυνενεχθέντος, αὐτίκα οἵγε ἄραντες ἐκ Μελαντιάδος, ᾤχοντο ἐς τὰ ὀπίσω πεφοβημένοι. Βελισάριος δὲ καίτοι κατὰ τὸ εἰκὸς οἷός τε ὢν αὐτοὺς πορευομένους μᾶλλόν τι διαχειρίσασθαι καὶ πημῆναι, ἐπισπόμενος ἀνθρώποις ἤδη κατεπτηχόσι, καὶ οἷον φυγὴν τὴν ἀναχώρησιν ποιουμένοις· ὁ δὲ εὐθὺς ὅμως ἀνὰ τὴν πόλιν ἐπανῄει οὐ μάλα ἑκών, ἀλλ' ἐκ βασιλέως αὐτῷ προστεταγμένον. ἐπειδὴ γὰρ ἅπας ὁ δῆμος, τοῦ ἔργου σφίσιν ἀπηγγελμένου, ᾖδόν τε αὐτὸν καὶ ἀνύμνουν κατὰ ξυλλόγους, ὡς ὑπ' ἐκείνου περιφανέστατα

2. Ῥωμαῖοι R. 4. ἥκοντο R. 6. Pro ἂν R. δὲ. αὐτ. ἅπαντ. R., ἅπαντ. αὐτ. vulg. 7. μὲν ἐν τοῖς vulg. 9. διαφθαρεῖσθαι R. 11. καταξαίνοντες R., καταξάνοντες vulg. 18. ἐπισπόμενος R. (Cl.), ἐπισπώμενος vulg.

bat. Caesi itaque sunt ex iis circiter quadringenti, e Romanis nemo desideratus; pauci tantum vulnerati: aegre vero et Zabergan Hunnorum praefectus, et qui cum eo effugerant, laeti in castra pervenerunt. Romanorum enim equi insectando defatigati, maxima eis causa salutis fuere: alioquin ad unum omnes eo die trucidassent. Nunc vero cum hi in vallum munitionesque suas magno cum tumultu proruissent, reliquum universum exercitum vehementer conturbarunt, veluti certissimo exitio iamiam imminente. Ingens itaque barbarorum eiulatus exaudiebatur: cultris enim genas lacerantes, patrio more lugebant. Romani autem cum Belisario ad sua redierunt, re melius quam sperarant gesta, digno tamen prudentia ducis eventu. Barbari vero hac clade accepta, motis statim e Melantiade castris, retrorsum trepidi cessere. Belisarius autem, tametsi verisimiliter eos abeuntes maiore strage ac damno afficere potuisset, utpote homines iam metu perculsos insectans, cum fugae similem discessionem facerent, nihilominus tamen statim in urbem rediit; idque non tam ex animi sui sententia, quam Imperatoris iussu. Cum

σεσωσμένοι, τοῦτο δὴ ἔδακε πολλοὺς τῶν ἐν τέλει καὶ ἠνίασε A. C. 558 φθόνῳ ληφθέντας καὶ βασκανίᾳ, πάθεσιν οὕτω δεινοῖς καὶ I. I. 32 ἀεὶ τὰ κάλλιστα λυμαινομένοις. τοιγάρτοι διέβαλλον τὸν ἄν- P. 166 δρα ὡς μεγαλαυχοῦντα καὶ διαθρυπτόμενον ἐπὶ τῇ τοῦ ὁμίλου εὐνοίᾳ καὶ ἐς ἄλλας ὁρῶντα ἐλπίδας. ὧν δὴ ἕνεκα τάχιστά τε ἀφῖκται, ὡς μὴ τελεώτατον ἄροιτο κλέος. καὶ οὐδὲ ἐπὶ τοῖς ἤδη πεπονημένοις τιμῆς ἀπώνατο τῆς προσηκούσης· ἀλλὰ διέρρει αὐτῷ τὰ τῆς νίκης, τόγε ἐπ' ἐκείνοις, φροῦδα καὶ ἄμισθα καὶ παντάπασι σεσιγημένα. ὡς μὲν οὖν τῶν ἀρίστων ψυχῶν ἀμβλύνεται τὸ δραστήριον, ἡνίκα μὴ ἐπαινοῖντο, μηδὲ τοῦ πρέποντος ἀπολαύοιεν, καὶ ὅπως ἐνθένδε τὰ κοινὰ καταδεέστερα γίγνεται τῷ μὴ ὀρθῶς ἀσκεῖσθαι τὰ ἀτιμαζόμενα, εἴτε πολέμων εἶεν ἀγῶνες εἴτε λόγων παιδεῖαι εἴτε ἄλλο τι τῶν οὕτω καιριωτάτων, εἴρηται μὲν ἤδη τοῖς πάλαι σοφοῖς καὶ ἀποδέδεικται, ῥᾴδιον δὲ, οἶμαι, καὶ παντὶ τῷ προσ- B τυχόντι διαγιγνώσκειν ἐκ τῶν ὁσημέραι ξυμφερομένων. οἱ δὲ Οὖννοι τὰ μὲν πρῶτα δίωξίν τινα ὑποτοπήσαντες, καὶ ξὺν θορύβῳ πολλῷ τῶν μακρῶν καλουμένων τειχῶν ὑπεκβάντες, ἐπειδὴ ἔγνωσαν, ὡς Βελισάριος μετάπεμπτος ἐγεγόνει, καὶ οὐδὲ ἕτερός τις αὐτοῖς ἐπεφοίτα, πάλιν σχολαίτερον ἐπορεύοντο.

1. *δὴ* R. 2. m., *δὲ* vulg. et R. 1. m. 8. *ἐκείνοις* R., *ἐκείνους* vulg. 9. *ἄπιστα* R. et Intpr. *vana omnia reddita.*

enim populus universus, victoria hac ipsis nuntiata, eum decantaret et in conventibus summis laudibus efferret, veluti ab illo apertissime conservatus, momordit vero id pessimeque habuit plerosque primores urbis, invidia et livore occupatos, vitiis adeo atrocibus et semper optima quaeque labefactantibus. Calumniati itaque sunt virum, ut arrogantem et popularis aurae blanditjis insolescentem, aliasque spes animo agitantem; quibus quidem de causis citissimeque eo ventum est, ut non absolutissimam gloriam reportaret, neque ob res praeclare a se gestas debito honore afficeretur; sed omnis victoriae laus ei quodammodo e manibus effluxit, quantum in illis erat, oblitterata praemiique expers et in universum silentio involuta. Porro quod praestantissimorum animorum acrimonia obtundatur, cum non collaudantur neque debito honore afficiuntur, quodque ex hoc res publicae detrimentum accipiant, quod non recte curentur et decorentur ea, quae contemta iacent, sive bellici sint labores, sive litterarum, disciplinae, sive aliud quippiam eorum, quae maximi sunt momenti, dictum iam antea est a veteribus sapientibus et demonstratum; facileque a quovis ex quotidianis eventibus intelligi potest. Hunni vero primum quidem insectationem quandam suspicati, et multo cum tumultu longis quos vocant muris egressi, posteaquam Belisarium revocatum fuisse cognorunt, neque alius quisquam in ipsos moveret, lentius rursum procedebant.

A. C. 558 κά. Ἐν τούτῳ δὲ ἅτερος τῶν βαρβάρων ἀποδασμὸς, οἳ
L. l. 32 δὴ ἐτύγχανον ἐφεδρεύοντες τῇ Χεῤῥονήσῳ, πολλάκις μὲν τῷ
V. 116 περιβόλῳ προσέβαλλον, κλίμακάς τε προσάγοντες καὶ τὰς μηχανὰς τὰς ἑλεπόλεις· πολλάκις δὲ ὑπὸ τῶν ἔνδον ὄντων Ῥωμαίων ἀπεκρούοντο σθένει παντὶ ἀμυνομένων. ἡγεῖτο δὲ τού-
C των Γερμανὸς ὁ Δωροθέου, νέος μέν γε ὢν κομιδῇ, καὶ πρῶτος ἤδη ὑπηνήτης, φρονήματι δὲ στρατηγικῷ διαπρέπων καὶ πολλῷ πλέον τῆς ἡλικίας τὸ μεγαλουργὸν κεκτημένος. πατρὶς δὲ ἦν αὐτῷ πόλις Ἰλλυρικὴ, Βεδερίανα μὲν ἐκ παλαιοῦ ὀνομαζομένη, ὕστερον δὲ Πρώτη Ἰουστινιανὴ μετακληθεῖσα· Ἰουστινιανὸς γὰρ ὁ βασιλεὺς, ἅτε δὴ κατ' αὐτὴν εἰς φῶς προηγμένος, ἐκόσμησέ τε εἰκότως τὴν πατρίδα ἔργοις ποικίλοις, καὶ ἐξ ἀφανοῦς εὐδαίμονα ἐξειργάσατο, καὶ τῆς οἰκείας αὐτῇ μεταδέδωκεν προσηγορίας. ἐκ τούτου δὲ τὸ γένος ἕλκων ὁ Γερμανὸς, σφόδρα οἱ ἐπεφρόντιστο. τοιγάρτοι ὀκταετῆ χρόνον ἐκγενετῆς διανύων, ἤχθη πρὸς αὐτοῦ ἐς πόλιν τὴν βασιλίδα, καὶ τημελείας ἀπώνατο πάσης. τοῖς δὲ γὰρ τῶν γραμματιστῶν
D ὡμίλει διδασκαλείοις, καὶ πρός γε ἀνὰ τὰ φροντιστήρια φοιτῶν, τὴν τῶν Λατίνων μετέσχε παιδείας. ἐπεὶ δὲ ἐς ἥβης μέτρον ἀφίκετο, ἔστειλέ γε αὐτὸν αὐτίκα ἐν Χεῤῥονήσῳ, ἄρχοντα τοῦ τῇδε στρατοῦ καταστησάμενος, ὡς ἂν αὐτῷ εὐθὺς τὸ τῆς νεότητος ὀξὺ καὶ ταχύῤῥοπον καὶ πρὸς τὰς δόξας ἠρμένον

1. ἀποδασμὸς R. (Cl.), ἀπόδρασμος vulg. 2. μὲν add. ex R. 6. Δωροθείου R. πρῶτον Par. 9. Βεδερίανα μὲν correxi ex Procopio; Βεδέρινα μὲν R. et Intpr. *Bederina*, Βεδεριαναμὰ vulg. 14. Pro ἐκ τούτου R. ἐκτός του.

21. Interea alia barbarici exercitus portio, quae ad Chersonesum consederat, frequenter murum adorti sunt, scalis aliisque machinis obsidionalibus admotis; frequenter item a Romanis, qui intus erant, omnibus viribus se tuentibus repulsi. Praeerat autem his Germanus Dorothei filius, admodum quidem ille iuvenis, et iam primum barbescens, sed animo duce digno praestans et rerum aetate longe grandiorum conatu. Patria huic erat urbs Illyrica, Bederiana olim dicta, postea vero Prima Iustiniana appellata. Iustinianus enim Imperator, utpote in ea primum in lucem editus, variis operibus ac fabricis merito patriam suam ornavit, et ex obscura opulentam illustremque effecit, suamque illi impartitus est appellationem. Ex hac vero genus ducens hic Germanus, vehementer illi carus erat. Quocirca cum octavum ab ortu annum exegisset, ductus est ab ipso in urbem regiam, summaque cura habitus. Nam et grammaticorum scholas adibat, et philosophica collegia frequentans, Latinorum etiam disciplina imbuebatur. Posteaquam vero ex ephebis excessit, statim eum in Chersonesum ablegavit, et exercitui, qui ibi erat, praefecit; ut ipsi statim iuventutis fervor et flexibilitas et gloriae appetentia con-

ἐν τοῖς προσήκουσι καὶ ἀναγκαίοις ἀποπιμπλάνοιτο, ἀλλὰ μὴ A. C. 558
προθέοι καὶ ἀνασκιρτῴη πρὸς κινήσεις ἀλόγους καὶ δημώδεις I. I. 32
ὁρμάς, καὶ ἵππων ἁμίλλας τοῖς χρώμασι μεμερισμένας, ἐν
οἷς ὡς ταπολλὰ τὸ νέον, εἰ μὴ ἔς ἕτερόν τι τῶν χρησίμων
ἐνασχοληθείη, ῥᾳδίως ῥέπει καὶ ἐκταράττεται. τότε δὴ οὖν P. 167
τῶν Οὔννων τῇ Χεῤῥονήσῳ προσκαθημένων καὶ ἐνοχλούντων,
οὐκ ἀνίει ὁ νεανίας τάς τε προσβολὰς ἀνακόπτων καὶ πᾶσαν
βουλὴν ἀμυντηρίαν διανοούμενος. αὐτός τε γὰρ οἴκοθεν τῷ
ἐπιβόλῳ τῆς φύσεως εὐστοχώτατα διεγίγνωσκε τὸ συνοῖσον,
καὶ τοῖς πρεσβυτέροις τῶν ἀμφ' αὐτὸν καὶ πολλοῖς ἤδη πρότερον πόνοις τοὺς τῶν πολέμων ἀγῶνας ἐκμεμελετηκόσι μάλα
σὺν εὐκολίᾳ ἐπείθετο τὰ πρακτέα ὑφηγουμένοις. ἐπεὶ δὲ οὐδέν τι πλέον εἶχον ἀνύειν οἱ βάρβαροι, οὔτε ὡς ἐν πολιορκίᾳ
ἐφεδρεύοντες τῷ ἐρύματι, οὔτε πρὸς τειχομαχίαν ἐγκείμενοι,
ἔγνωσαν τρόπου ἑτέρου αὐθάδους τε καὶ γενναίου καὶ λίαν
πρὸς τὸ φιλοκίνδυνον ἄγοντος ἀποπειραθῆναι, οὕτω τε ἢ B
θᾶττον ἑλεῖν τὸ χωρίον, ἢ μεθεῖναι τολοιπὸν καὶ ἀποπαύσασθαι καὶ ἐς τὰ σφέτερα ἤθη ἀπονοστῆσαι. καὶ τοίνυν καλάμους ὡς πλείστους ἀθροίσαντες εὐμήκεις τε ἄγαν καὶ ἐς ὅ, τι
στεῤῥοὺς καὶ παχίστους, καὶ τούτους ἐπ' αὐτοῖς ἐναρμοσάμενοι καὶ ξυνδήσαντες καλωδίοις τε καὶ τολύπαις, κώμυθας
πολλὰς ἀπειργάσαντο. τότε δὲ ξύλα ἰθυτενῆ καθάπου ζυγὰ
καὶ ἐγκαινίδας ὕπερθεν κατὰ τὸ ἐγκάρσιον ἐνθέντες, οὐ δια-

8. *αὐτός γε* R. 9. *διαγίγνωσκε* sph. Par. 10. Pro *τῶν* R. *τοῖς*. 11. *πολεμίων* R. 21. *τε* om. R. 22. *τότε δὴ* R. 23. *ἐγκαινίδας* R. 2. m. Lugd. 1. m. et Suid. s. v., *ἐγκενίδας* R. 1. m. et vulg. ex Lugd. corr. *ὕπερθε* R.

venientibus ac conducibilibus rebus expleretur, neque abriperetur ac prosiliret ad motus rationi parum consentaneos, populariaque studia et equestria certamina coloribus distincta, ad quae iuventus plerumque, nisi potiore aliqua in re occupetur, facile vergit et deturbatur. Per illud itaque tempus Hunnis Chersonesum insidentibns atque infestantibus, non desistebat hic iuvenis et eorum insultus infringere, omneque consilium propulsando hosti excogitare. Nam et ipse ex se naturali industria quid maxime consultum et ex re esset, optime collimabat, et senioribus, qui ipsi aderant multisque antea bellicis laboribus erant exercitati, facillime obtemperabat, quae facienda essent suggerentibus. Barbari itaque, cum nihil ipsis reliqui esset, quod exsequi possent, quippe qui neque, ut in obsidione, vallo insidebant, neque murorum oppugnationi intenti erant, statuerunt alium modum audaci et temerario periculique pleno facinore tentare, eaque ratione vel citius oppidum capere, vel deserere atque desistere et ad sua reverti. Arundinibus itaque quamplurimis collectis, quae et longae admodum et quam maxime firmae crassaeque essent, iisque inter se coaptatis,

A.C. 558 παντὸς, ἀλλὰ μόνον ἀμφὶ τὰ ἄκρα καὶ τὸ μεσαίτατον, καὶ
I. I. 32 μείζοσι δεσμοῖς περισφίγξαντες, ξυνῆπτον ἀλλήλαις αὐτὰς καὶ
ξυνεμίγνυον, λίαν ἐν χρῷ πεπιεσμένας, ὡς τρεῖς τυχὸν ἢ καὶ
C πλείους ἐς μίαν ἀποτελεῖσθαι σχεδίαν, εὖρος ἔχουσαν ἀρκοῦν
πρὸς ἀνδρῶν τεττάρων ὑποδοχὴν καὶ ἐπίβασιν, καὶ τῷ βάθει
ἐς τοσοῦτον διϊκνουμένην, ἐς ὅσον φέρειν βεβαίως τὰ ἄχθη,
καὶ τῇ λεπτότητι μὴ καταδύεσθαι. τοιαύτας δὴ οὖν οὐ μεῖον
ἢ πεντήκοντα καὶ ἑκατὸν ἐτεκτήναντο σχεδίας. ὡς ἂν δὲ αὐ-
τοῖς πλωϊμώτεραι εἶεν, οἱ δὲ τὰ ἐμπρόσθια τούτων ἠρέμα
πρὸς τὸ μετέωρον ἐς πρώρας τύπον περιαγαγόντες καὶ ὑπο-
κάμψαντες καὶ ὥσπερ ἀκροστόλια καὶ προέμβολα ἐκμιμησά-
μενοι, κωπητῆρας ἐφ' ἑκατέρᾳ πλευρᾷ καὶ οἷον παρεξειρεσίας
αὐτομάτους ἐμηχανήσαντο.

D κβ΄. Καὶ τοίνυν οὕτως ἕκαστα ὡς οἷόν τε ἦν αὐτοῖς ἐν
τῷ ἀσφαλεῖ καταστησάμενοι, ἐνῆκαν ἁπάσας τῇ θαλάττῃ λα-
θραίως ἀμφὶ τὴν ἑσπερίαν τοῦ κόλπου ἀκτὴν, τοῦ πρὸς τῇ
Αἴνῳ τῇ πόλει περιαγνυμένου· ἐμβάντες δὴ οὖν ἐν αὐταῖς
ἄνδρες ἐς ἑξακοσίους, καὶ πτύα ὡς πλεῖστα ταῖς ἐπικαλαμί-
σιν ἐντροπωσάμενοι, καὶ ἀμαθέστερόν πως ταύτῃ ἐρέττοντες,
ἀνήγοντο ὡς ἀπωτάτω τῆς χέρσου, ἐξωπλισμένοι τε εὖ μάλα
καὶ πρὸς τὸ ἐνεργὸν ἑστηκότες. οὕτω γὰρ ᾤοντο πελάγιοι

2. αὐτὰς ἀλλήλους (sic) R. 3. συνεμίγνυον vulg. 5. τῷ βάθ. ἐς τοσ. R., ἐς τοσ. τῷ βάθ. vulg. 9. πλωϊμότεραι edd. 12. προεξειρεσίας Suid. s. v. 14. ἐν τὸ sph. Par. 16. τῇ ἄνω R. 17. περιαγομένου Par. 20. ἀποτάτω R.

et restibus lanaque carpta colligatis, crates complures confecerunt; tum vero perticis in longum porrectis, tanquam iugis ac transtris transversim superiniectis, non perpetua serie, sed tantum circa extrema ipsaque media cratium, maioribusque vinculis eas circumligatas inter se committebant et coaptabant, valde arcte compressas, ita ut tres forte aut quatuor unam naviculam efficerent, latitudine satis ampla ad quatuor vectores excipiendum, eaque profunditate, ut ponderibus impositis tuto vehendis par esset, et prae tenuitate non demergeretur. Istiusmodi itaque naviculas minimum centum quinquaginta construxerunt. Ut vero navigationi aptiores essent, anteriores earum partes in prorae speciem leniter circumducentes atque recurvantes, et veluti acroteria ac pluteos navales imitantes, scalmos ex utroque latere et veluti spontaneas quasdam adremigationes sunt commenti.

22. Cum itaque in hunc modum tuto omnia ipsis, quoad fieri poterat, essent comparata, universas naviculas latenter mari immittunt, circa occidentale sinus littus, qui Aenum urbem versus circumagitur. Ingressi itaque eas viri sexcenti, et paleas quamplurimas in arundinum commissuras immittentes, ac imperitius quodammodo ea ex parte remigantes, longissime a terra provecti sunt, optime armati et ad opus parati. Putabant enim se ita sensim in mare evectos,

ἠρέμα γιγνόμενοι, ῥᾳδίως ὑπερβαλέσθαι καὶ περιπλεῦσαι τὸν A.C. 558
ἀγκῶνα τοῦ τείχους τὸν μέχρι τοῦ βάθους ἐκτεταμένον, καὶ I. I. 31
τολοιπὸν ἀδεῶς ἐπιβήσεσθαι τῶν ἐνδοτέρω χωρίων, ὡς δὴ V. 117
οὐδαμῶς ἐρύμασι περιεχομένων ἢ μόνῳ τῷ Ἑλλησπόντῳ.
ταῦτα δὴ ὁ Γερμανὸς ἐκ τῶν κατασκόπων πυθόμενος, καὶ
γινώσκων, ὡς οὐκ ἐς μακρὰν ὁ τῶν καλάμων στόλος ἐπιφοιτή- P. 168
σει, ἐπεκερτόμησε μὲν τοὺς πολεμίους τῆς ἀβουλίας, μάλα δὲ
ἥσθη ἐπ' αὐτῇ, ὡς δὴ πρὸς αὐτοῦ ἐσομένῃ. αὐτίκα γὰρ ἐπα-
κτρίδας εἴκοσι πολυήρεις τε καὶ ἀμφιπρύμνους ἀνδρῶν ἐμ-
πλήσας σιδήρῳ τεθωρακισμένων, ἀσπίδας τε φερόντων καὶ
τόξα καὶ πρός γε δορυδρέπανα, τούς τε ἐρέττοντας ἐμβα-
λών, καὶ τοὺς τοῖς πηδαλίοις ἐφεστηκότας ὑπὸ τὴν ἔνδον πα-
ρατεινομένην τῆς θαλάττης γλωχῖνα καθάπερ εἰς ἐνέδραν κα-
θορμίσας, ἐνέκρυψεν, ὡς ἂν μὴ πόρρωθεν προοφθεῖεν. ἐπεὶ
δὲ οἱ βάρβαροι ἤδη ὑπερβάντες τὸ προπετὲς τοῦ τείχους
καὶ ἀπολῆγον καὶ τοῦ αἰγιαλοῦ προεξέχον, ἐνέκλινον πρὸς
τὰ εἴσω, καὶ ἐπεφέροντο φρονήματι σὺν πολλῷ καὶ παρρησίᾳ, B
τότε δὴ καὶ τῶν Ῥωμαίων ὁλκάδες ἀντανήγοντο καὶ ἀντε-
πῄεσαν· καί πως αὐταῖς τοῦ ῥοῦ συλλαμβανομένου ἀντί-
πρωροι κατιοῦσαι, βιαιότερον προσπίπτουσι ταῖς ἐκ τῶν κα-
λάμων σχεδίαις. καὶ δῆτα αἱ μὲν τῇ προσκρούσει περιετρέ-
ποντο ἐς τοὔμπαλιν ὑπὸ τοῦ σάλου, καὶ ἐκαλινδοῦντο ὡς

5. ταῦτα δὲ R. 7. τῆς ἀβουλ. τοὺς πολ. vulg. μάλα R., μάλιστα vulg., Intpr. *vel potius* (μᾶλλον). 18. αἱ τῶν coni. Cl. 22. ἐκαλινδ. R., ἐκυλινδ. vulg.

facile superaturos et circumnavigaturos flexum muri in altum usque porrecti; ac deinceps citra periculum ad penitiora loca perventuros, utpote neutiquam vallis cincta, praeterquam solo Hellesponto. Quae cum Germanus per speculatores rescivisset, intellexissetque classem illam arundineam non diu tardaturam, quin appelleret, irrisit quidem hostium temeritatem, maxime vero de ea gavisus est, tanquam in rem suam futura. Confestim enim actuarias viginti multiplici remigio naves easque bipuppes viris complens loricatis clypeosque et arcus gestantibus atque harpagines, remigesque iis imponens et naucleros, sub interiorem mari protensum angulum veluti in insidiis applicans occultavit, ne eminus prospici possent. Posteaquam vero barbari, superata transmissaque iam prominentiore atque extrema et trans littus exstante muri parte, ad interiora deflectebant, magnaque animorum confidentia ferebantur: tum vero actuariae Romanorum solverunt, contraque in eas sunt delatae, et quidem secundo aestu adiuvante, adversis proris descendentes, violentius in arundineas naviculas irruunt, atque hae quidem impetus vi in contrarium pulsae, volutabantur circumagebanturque in salo, ita ut vectores subsistere in iis tuto non possent, sed alii in fluctus excussi perirent,

A. C. 558 L. I. 32 μηκέτι ἀσφαλῆ τὴν βάσιν παρέχεσθαι τοῖς ἐφεστηκόσιν, ἀλλὰ τοὺς μὲν ἐν τοῖς κύμασιν ἀποβληθέντας ἀπόλλυσθαι, τοὺς δὲ συνιζάνειν ἐν αὐταῖς πρὸς ἀνάγκης καὶ διαπορεῖν ὅ, τι καὶ δράσαιεν. οἵ γε μὴν ἔτι ἑστηκότες διεταράττοντο ὑπὸ τοῦ κλυδωνίου, μετρίου μὲν ὄντος καὶ ἐλαχίστου ὡς ἐς νηῶν κίνησιν καὶ ἀκάτων, τοῖς δὲ καλάμοις διὰ τὴν κουφότητα C καὶ μάλα χαλεπωτάτου. τοιγάρτοι μετέωροί τε θαμὰ ἐγίνοντο ὑπὸ κυρτῷ αἰρόμενοι τῷ ῥοθίῳ, καὶ συγκαθεῖλκοντο αὖθις κοιλαινομένῳ. καὶ τοίνυν οἱ ἄνδρες διαμάχεσθαι μὲν οὐδὲ ἐπειρῶντο, ἦν δὲ αὐτοῖς οὐδέν τι ἕτερον εὐκτόν τε καὶ ἐσπουδασμένον, ἢ ὅπως ἂν ἑστάναι γοῦν μόνον δύναιντο καὶ βεβηκέναι. οὕτω δὲ τῶν βαρβάρων ἐν θορύβῳ τε καὶ ἀφασίᾳ καθεστηκότων, οἱ Ῥωμαῖοι διέκπλους, ὅποι παρείκοι, ποιούμενοι, ὠθισμοῖς τε ἐχρῶντο καθάπερ ἐν πεζομαχίᾳ, καὶ ταύτῃ πολλοὺς τῶν ἐναντίων κατέβαλλον, ἅτε δὴ αὐτοὶ βεβαιότατα ἐν ταῖς ὁλκάσιν ἐρηρεισμένοι· ἐνίους δὲ τοῖς ξίφεσιν ἐκ χειρὸς πλήττοντες ἔκτεινον. ἐπεὶ δέ γε αὐτῶν πολλαχοῦ καὶ D ἀφειστήκεσαν, καὶ οὔπω ἐπέλαζον, ἐνταῦθα τοῖς δορατίοις ἐφικνούμενοι καὶ τὰς δρεπανώδεις τούτων αἰχμὰς ταῖς μηρίνθοις ἐκείναις, αἷς δὴ οἱ κάλαμοι ἐτύγχανον συμπεπλεγμένοι, ἐμβάλλοντες, ἐξέτεμνον στοιχηδὸν ἁπάσας, καὶ διέλυον τὴν συνέχειαν. τότε δὴ οὖν οἱ μὲν δόνακες ἀποτμηγέντες

5. Pro ὡς ἐς νηῶν R. εὐννῶν. 13. ὅπῃ R. παρείκοι R. (Cl.), παρήκοι vulg. 14. ὠθιασμοῖς R., ὠθισμῷ vulg. 18. δ... τίοις ἀφικούμενοι R. 20. κάλα... ἐτύγχαν.. R. 22. τοί... δὴ R.

alii in iis necessario considerent, quid consilii caperent nescientes: quique adhuc erecti stabant, aestus marini vi conturbabantur, moderato quidem illo atque exiguo ad navium lemborumque quassationem, arundinibus autem propter levitatem summopere noxio: quocirca frequenter intumescentibus in convexum undis, sublimes tollebantur, iisdemque residentibus, una in imum deferebantur. Viri itaque confligere ne tentarunt quidem, nihil vero magis vel optabant vel allaborabant, quam ut subsistere tantum possent et obfirmari. Barbaris vero in hac perturbatione et perplexitate constitutis, Romani excursiones navales, data opportunitate, facientes, impulsionibus perinde atque in pedestri certamine utebantur, eaque ratione multos ex hostibus deturbabant, quippe qui firmissime in suis actuariis stabiliti subsistebant; nonnullos autem ensibus cominus ferientes obtruncant. Cum vero longius ab ipsis remoti essent, neque propiores fierent, tum oblongis hastis eos adoriebantur, falcatasque harpagines restibus illis, quibus arundines erant colligatae, immittentes, dissecuerunt ex ordine universas et compagem dissolverunt. Tum demum dissectis ab invicem calamis, sparsimque mari innatantibus,

ἀλλήλων, καὶ σποράδην ἐπινηχόμενοι, ἄλλος ἄλλοθι ἀπεπτύε- A. C. 558
το. οἱ δὲ Οὖννοι, τῆς βάσεως αὐτοὺς ἐπιλειπούσης, ἀθρόον L. I. 32
κατεδύοντο ἐν τῷ βάθει καὶ ἔθνησκον ἀχρήστου ποτοῦ ἐμ-
πιπλάμενοι. οὕτω τε ἅπαντες διεφθάρησαν, καὶ οὐδεὶς ὅστις
αὑτῶν ἀνὰ τὴν ἤπειρον ἐπανῆκεν.

κγ'. Αὐτίκα δὲ οἱ Ῥωμαῖοι τὰ ὅπλα τῶν δυσμενῶν
ἀνελόμενοι, ὁπόσα γε ἄνω ἔτι ἐφέρετο καὶ ἐπέπλει, καὶ ἐς τὰ P. 169
πρότερα χωρία κατάραντες, μεγίστης ἡδονῆς καὶ θυμηδίας
ἅπαντα ἔπλησαν τὸν στρατὸν, γεγηθότας ἐπὶ τοῖς ξυνενε-
χθεῖσι. καὶ οὖν ἀθροισθέντες ἅπαντες ἐς ταὐτὸ, ἀποχρήσα-
σθαι ᾤοντο χρῆναι κἂν τοῖς ἐφεξῆς τῷ καιρῷ καὶ τῇ τάξει
τοῦ προτερήματος. τοιγάρτοι ὀλίγαις ὕστερον ἡμέραις εὖ μά-
λα καθοπλισθέντες, ἐκδρομὴν ἀθρόον ἐκ τοῦ περιβόλου πε-
ποίηνται, καὶ προσβάλλουσι τῷ λοιπῷ πλήθει τῶν ἐφεδρευόν-
των βαρβάρων ἀνιωμένων ἔτι ἐπὶ τῇ ξυμφορᾷ καὶ κατεπτη-
χότων. τότε δὴ οὖν ὁ Γερμανὸς, ἅτε δὴ νεώτατος ὢν καὶ
οὔπω ἐντελῶς τὰς τῆς φύσεως ἐπέχειν ὁρμὰς καὶ ἐγκατείρ-
γειν δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκότος
τῷ φιλοδοξοῦντι τοῦ τρόπου καὶ προθυμουμένῳ πέρα τοῦ B
μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς πολεμίοις καὶ προὐ-
κινδύνευε, οὐ στρατηγικῶς ἐπείγων καὶ διατάττων, ἀλλὰ στρα- V. 118
τιωτικώτερον συμπλεκόμενος· τῷ τοι ἄρα καὶ πλήττεται βέ-

